William H. Race

Digitized by the Internet Archive
in 2011 with funding from
University of North Carolina at Chapel Hill

http://www.archive.org/details/hippocratisopera02hipp

# HIPPOCRATIS OPERA
## QVAE FERVNTVR OMNIA.

VOLVMEN II

EX CODICIBVS ITALICIS EDIDIT

**HVGO KVEHLEWEIN.**

Dr. August u. Alexandra Mitscher
11 332 1/93

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI.
MCMII.

LIPSIAE: TYPIS B. G. TEUBNERI

HERMANNO DIELS BEROLINENSI

VIRO HUMANISSIMO ET DOCTISSIMO

DE HAC EDITIONE OPTIME MERITO

D. D. D.

EDITOR.

# PRAEFATIO.

M. van Herwerden in Musei Groningensis vol. IV, p. 107 huius editionis volumen primum (Lipsiae 1894) percensens conqueritur, quod Ermerinsii emendationes aut parum respexerim aut aliis viris doctis, nimirum Germanis, attribuerim. Hoc cum sine ullo documento protulisset, ne malae fidei iure viderer accusari, per litteras ab eo petivi, ut eos locos mihi indicaret, ubi talia peccassem. Atque ille privatis litteris clementior quam publicis de acerbitate sua, quae esset in additamento „nimirum Germanis" se excusans quattuor significavit locos, quos in exemplari suo notatos reperire potuisset. Primum igitur me reprehendit, quod I 64, 12 feliciter restitutum illud *Ἀναριεῖς* Gomperzio, non Ermerinsio attribuerim. At primum hic *ἀναρίες* scripsit, non *Ἀναριεῖς*, et in apparatu (vol. I, p. 277) haec adnotavit: „Optimo suo iure *ἐναρέες* coniecit Mercuriali, quod fortasse noster scripsit. Malui tamen *ἀνΑρίες* scribere, quod ad Ald. lectionem *ἀνΔριεῖς* propius accedit." Quodsi Batavi *ἀναρίες* adnotassem, etiam Veneti *ἐναρίες* commemorare debuissem, cui copiae commentariolus meus non patebat. Ceterum ne Gomperzius quidem in litteris Acad. Vindob. (tom. 103, p. 174), unde illud deprompsi, Ermerinsii mentionem facit.

Altero loco Herwerdenus videat, ne id quod mihi obicit, ipse peccet. Quod enim dicit I 145, 5 iam Ermerinsium verum dedisse *προσδεῖ*, vehementer errat. Legitur enim in editione Ermerinsiana eo ipso loco (vol. I, p. 327, l. 3) *προσδέεται*. Ea ipsa de causa fallitur, quod in censura

primi huius editionis voluminis p. 110 *προσδεῖ* meum esse negat et Littraeo Ermerinsioque attribuit. Nam Littraeus quoque (II 372, lin. 8) scribit *προσδέεται*. Qui error inde videtur natus esse, quod tribus versibus post *προσδεῖ* alterum legitur, quod neque Ermerinsii neque Littraei, sed codicum est.

Sequitur tertius locus, qui est *περὶ διαίτης ὀξ.* c. 2, ubi

Ermerinsius transposuit: *τῷ τοιούτῳ, ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ ἢ πτύσματα παχέα πτύσῃ ἢ ἀπόστημα περὶ τράχηλον γένηται ἢ σκελέων ἄλγημα ἢ ἰσχίου ὀδύνη ἢ αἰδοίου πελίωμα — ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίγνεται, — οὐ κρίνεται* et in commentario critico subscripsit: *καὶ ὄρχιες ἐνταθεὶς κριτικόν* nihil est nisi adnotatio lectoris recentioris.

ipse transposui (I 147, 11): *τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ ἢ ἀπόστημα περὶ τράχηλον γένηται ἢ σκελέων ἄλγημα ἢ ἰσχίων ὀδύνη ἢ αἰδοίου πελίωμα — ταῦτα δὲ συστάσης τῆς κοιλίης γίνεται — καὶ πτύσματα παχέα πτύσῃ, οὐ κρίνεται· καὶ ὄρχις ἐνταθεὶς κριτικόν.*

Quodsi ordinem mihi constitutum Ermerinsii esse dicit, res ante oculos proposita per se ipsa doceat, quo iure id contendat.

Restat quartus locus. I 63, 7 *βλαδέα* quod pro *πλατέα* codicum in textum non recepi, Wilamowitzio, cum quondam ad eum locum mihi adscripsisset, vindicavi. Confiteor me fugisse, Ermerinsium iam ante illum ex coniectura ita scripsisse, quam coniecturam cum non probassem, nihil erat, cur Herwerdenus mala fide eam homini Germano me vindicare voluisse diceret.

Quae cum ita sint, satis demonstrasse mihi videor Herwerdeni querimonias pro rei levitate nimias atque etiam iniquas esse. Quem aequius de hac nova Hippocratis editione iudicaturum spero, ubi hoc alterum volumen perlegerit. Nam, ut cetera omittam, videbit in libro, qui inscribitur *Μοχλικόν*, melius me consuluisse Ermerinsio quam, ne plures dicam, novissimum editorem Petrequinium,

qui per eum librum ita illum neglexit, ut ne semel quidem eius mentionem faciat eiusque editionem inspicere plane supersedisse videatur.

Sed ut iam ad codices veniamus, quibus in verbis huius voluminis constituendis usi sumus, nullum magis amplexi sumus quam antiquissimum Laurentianum 74, 7. Eum in libris *κατ' ἰητρεῖον*, *περὶ ἀγμῶν*, *περὶ ἄρθρων ἐμβολῆς*, in priore parte (cf. infra p. 23, 5) libri, qui est de capitis vulneribus, quasi fundamentum esse voluimus et ita secuti sumus, ut quidquid in apparatu critico non adnotatur, ex silentio illi certo vindicetur. Egregie de eo codice nuper meruit Hermannus Schoene, qui diligentissima perscrutatione iudiciique acumine et sollertia cum multis locis ea auxit et correxit, quae in primi voluminis proleg. p. XIII proferre potuimus, tum praeclarissime illud demonstravit, eum esse saeculi IX aut X, non, sicut nobis visum erat, XI vel XII.

Sed cum a Littraeo in eisdem libris chirurgicis codicis Medicei cuiusdam eadem littera B significati lectiones continuae adscribantur, moneo hunc a meo tantopere differre, ut idem esse nequeat. Quem Foesius, cuius ex editione Littraeus illas lectiones deprompsit (cf. oeuvres compl. II 378), codicem Mediceum intellexerit, neque editor Parisinus laboravit neque ego adhuc reperire potui. Eorum, qui nunc in bibliotheca Medicea asservantur, nullus est, qui cum Foesiano satis congruat. Proxime ad eum accedere Parisinos MN primo obtutu ex Littraei apparatu perspicitur, quorum uterque medio saeculo XVI ex Italia in Galliam translatus (cf. Schoene Apoll. Cit. p. XVII sqq.) ex Laurentiano 74, 7 originem duxit.[1]) Equidem existimo in illo titulo codicis Medicei a Foesio usurpato farraginem quandam latere lectionum ex pluribus collectionis Nicetae codicibus congestarum, sive ex eis promiscua in unum exemplar confluxerunt, sive variis lectionibus unius cuius-

1) H. Schoene Foesii Mediceum Parisinum N esse existimat, ita nominatum, quod quondam Catharinae Mediceae fuerit (cf. Apollonius Cit. p. XIX).

dam codicis, forsitan nunc deperditi (cf. Schoene p. XX), alia ex aliis exemplaribus nec non ex Hippocratis verbis Galeni commentariis praemissis (cf. infra Γ) admiscebantur aut medelae causa adhibebantur. Accedit quod ultra verba *καὶ ἐμπίπτει* apud Littraeum (IV 320, not. 29) nulla iam lectio varia cum signo B adnotatur. Utcunque res se habet, id pro certo dici potest, eum, cui illae lectiones debeantur, cod. Mediceum 74, 7 aut non inspexisse aut tam male temereque rem absolvisse, ut antiquissimum illum Laurentianum non agnoscas.[1])

Itaque codicem Mediceum Foesii, cum ita sit comparatus neque quidquam praebeat, quod non aliunde maximeque ex antiquissimo Laurentiano melius petiverim, plane ex apparatu critico seclusi. Nos littera B ubique Laurentianum 74, 7 significavimus, cuius variam lectionem haec editio prima proponit sinceram et integram.

Inest in eodem cod. Laurentiano 74, 7 (fol. 181—226) commentarius ille Apollonii Citiensis in librum *περὶ ἄρθρων ἐμβολῆς* tabulis pictis ornatus, cuius splendidissimam nuper editionem paravit Hermannus Schoene. In hoc commentario multis locis magnae partes illius libri Hippocratici ipsius inclusae sunt, quas insigni editoris scientia et cura emendatas variaque lectione diligentissime exstructas exoptatissimum in opere constituendo adiumentum et quasi alterum exemplar codicis Laurentiani in dubiis habebam. Nam haec testimonia, quae signo Ap. notavimus, codici B propinqua sunt et cum eo ita consentiunt, ut Apollonius si minus ex eodem libro, at certe ex simillimo videatur hausisse. Sed tamen in ea similitudine quaedam leviora discrepant. Primum ordo verborum a ceterorum omnium consensu, quamvis salva sententia, saepius discedit, velut c. 3 extr.: *προσβάντα τοῦ ἀκρωμίου πρὸς τὸ ὀστέον* Schoene p. 4, *προσβ. πρὸς τὸ ὀ. τοῦ ἀ.* cet., c. 42 extr.: *οἳ τρόποι*

1) Quantum Littraei B a Laurentiano 74, 7 differret, exemplo libri, qui est de capitis vulneribus, in Hermae vol. XX p. 181 sqq. iam ante hos quindecim annos demonstravi tum, cum opinione tenebar Littraei B esse Laurentianum 74, 7 male exscriptum.

οἱ τοιοῦτοι Sch. p. 25, οἱ τ. τρ. cet., c. 44 extr.: *πολὺν ὄχλον παρασχόντα καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον* p. 16 Sch., *πολὺν ὄ. καὶ π. ὄψιν καὶ π. λόγον παρασχ.* cet., p. 121, 3: *διὰ τὴν τῶν νεύρων ἀπάρτησιν* Ap. bis (p. 8 et p. 26 Sch.), *διὰ τῶν ν. τὴν ἀπαρτ.* cet. Interpretis haec videntur esse, qui, modo rem acu tangat, in verbis transscribendis liberius agit. Cuius generis copia tanta est, ut leviora in apparatu non adnotaverim.[1] Deinde ex testimoniis quibusdam bis ab Apollonio allatis, quanta libertate in verbis Hippocratis exscribendis usus sit, cognoscitur. Nam non modo raro congruunt, verum etiam crebrioribus deinceps commutationibus offendunt, velut

| | |
|---|---|
| p. 14 Sch. (167, 8 Kw.): | p. 25 Sch.: |
| *τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδένα πω ἐξίθυναν, ὧν ἐγὼ οἶδα. χρέονται δὲ ἰητροὶ αὐτῇ μάλιστα οὗτοι, οἳ ἐπιθυμοῦνται ἐκχαυνοῦν τὸν πολὺν λαόν. ἐν τοῖσι γὰρ τούτοισι ταῦτα θαυμαστά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥίπτομενα·* | *τ. μ. γ. αἱ ἐν τ. κλ. κ. οὐχ ἕνα πω ἐξίθυναν, ὧν ἐ. οἶδα. χρῶνται δὲ οἱ ἰ. αὐ. μ. οὕτως ἐπιθυμοῦντες ἐκχ. τ. π. λαόν. τοῖσι γὰρ τοιούτοις θαυμαστά ἐστιν, ἂν ἢ κρεμάμενον ἢ ῥιπτούμενον ἴδωσιν·* |
| p. 119 Sch. (224/5 Kw.): | p. 25 Sch.: |
| *ἀγαθὴ μὲν ἥδε κατὰ φύσιν καὶ δικαίη ἐμβολή.* | *ἀγ. μ. κατὰ φ. κ. δ. ἐ.* |

Hanc lectionum varietatem apparet non eius generis esse, quae ex scripturae ambiguitate nascatur, velut *οὐ κινήσειεν* p. 7 Sch. (120, 2 Kw.), *οὐκ ὀνήσειεν* p. 4 Sch., sed qualem is efficit, qui memoria magis quam oculis confisus sententias liberius solet transscribere. Nam ex duobus codicibus Hippocratis verba exscripsisse Apollonium quis credat?[2]

Idem inde concluseris, quod eiusmodi voces omitti

1) Nec dialecti discrepantiam ex Apollonio adscripsimus.

2) Eodem *ἐπειράθησαν* videtur pertinere, quod Apollonius (p. 235) exhibet pro imperfecto ceterorum *ἐπειρῶντο*.

solent, quae nullo graviore sententiarum detrimento praetermitti possunt. Nam c. 8 (p. 121 Kw.) cum integro ceterorum consensu legatur: *τοῖσι γὰρ βουσὶ τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροί*, Apollonius (p. 26 Sch.) solus scribit: *τ. γ. β. οἱ μηροὶ τότε ἐκπ.* Eadem licentia in iterata commemoratione utitur p. 19 Sch.: *κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην* (p. 225 Kw.), p. 25 Sch.: *κρ. χρὴ τ. ἄ. πρ. μ.* sine pedum mentione.

Quamquam igitur Apollonius non is est, cui in verbis Hippocratis recensendis temere confidamus, tamen ab eo solo compluribus locis verum genuinumque servatum invenitur, velut p. 143, 14: *ἐγγωνίῳ*, ubi ceteri omnes aberraverunt ad *κοινῷ*, p. 167, 11 *οὕτως ἐπιθυμέοντες*, de quo supra diximus, p. 232, 6 *οὕτω χρὴ ποιεῖσθαι ὥσπερ εἴρηται ἢ τοιουτοτρόπως*, ubi unus Apollonius *ἢ* voculam necessariam servavit, p. 242, 13 *κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχεῖ.* Idem vestigia veri solus prodit 235, 13, ubi Hugo Weber *ἕνα τῶν ποδεώνων* praeclare revocavit ex scriptura fragmenti Apolloniani: *ἐν δυοιν ποδεοιν ὄντων λελυμένων*, cum B ferat quod proxime accedit, *ποδῶν*, ceteri praebeant *πολλῶν.* Accedunt alia memorabilia et consideratione digna, velut 128, 2 *ἔπειτεν*, ubi ceteri omnes dant *ἔπειτα*, 197, 13 *μηροὶ* pro lectione vulgari *γλουτὸς*, 126, 8 *ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ μὴ ὑγιεῖ* (*καμνόντι* cet.), quod, ne participium modo ad hominem (v. 7), modo ad membrum referatur, Ilbergius vult recipi.

Sed ut omnia comprehendens quid sentiam proloquar, haec fragmenta, quamquam a medico, non a philologo transscripta imaginem formamque contextus Hippocratici minus integram reddunt, tamen, cum vera aut verisimilia praeter ceteros libros plus quam semel servaverint, utile artis criticae adiumentum esse iudico eademque memorabile exemplum, quo manifestum fit, cuius generis immutationes iam antiquitus subierint verba Hippocratis et quomodo subierint.[1])

---

1) Cf. Ilbergii de hac re iudicium in Apollonii Schoeniani censura Berl. philol. Wochenschr. 1897 p. 1 sqq.

Confirmatur insuper Apollonii auctoritas consensu quodam Galeni singulis commentarii sui interpretationibus verba Hippocratis praemittentis, qui consensus eiusmodi est, ut testimonia Citiensis et Pergameni inter se congruentia haud raro ceteris testibus omnibus obsistant. Commentarii Galeniani in librum, qui est *περὶ ἄρθρων ἐμβολῆς*, antiquissimus codex est idem ille Laurentianus 74, 7 (fol. 314[a]—467[a]). Sed male in eo codice factum est, quod librarius verba Hippocratis singulis commentarii partibus praemissa, quae littera *Γ* significavimus, multis locis ad initia paucorum versuum vel unius recidit, interiecta omisit. Illa folia codicis Laurentiani in usum Hermanni Schoene cum editione Kuehniana Ioannes Graeven primus, quod ego sciam, contulit. Graevenii collationem ille pro sua liberalitate mihi permisit una cum Graevenii litteris, unde haec paucis repeto: discernuntur praeter emendationes manus principalis manus correctrices duae, altera saeculi XI/XII, saeculi XIV altera, quae eaedem sunt atque illae, quas nos aliquot annis ante in eis partibus codicis, quae ad corpus Hippocraticum pertinent, deprehendimus et siglis $B^2$ et $B^3$ significavimus (cf. vol. I, p. XV). Deinde monendum est post verba *ἀπό* (!) *τε τῶν σκελετῶν* commentarii (vol. XVIII, A, p. 526, 4 ed. Kuehn.) sequi in codice 74, 7 *Ἁπάντων τῶν ζῴων ... ἐπὶ τῇ προκειμένῃ νῦν ῥήσει* (p. 536, 3—546, 10 K.). Inde sequuntur verba antea omissa et post haec illa verba *Ἁπάντων ... ῥήσει* iterum leguntur. Quae ex iteratione intellegendum est illud $Γ^{I}$ et $Γ^{II}$ in nostro apparatu critico p. 173 obvium.

Cuius auctoritatis *Γ* sit, vel inde cognoscitur, quod cum optimae memoriae codice B cognatione quadam coniungitur. Unum praecipio pro multis testimonium *τεονεος* pro *τεθνεός* (cf. p. 222), quod his libris commune est. Plura dabit apparatus, ex quo satis apparet in duas partes discedere codices, quarum alterius dux est B, adversantibus quodammodo ex altera parte MV. Ap. et *Γ* magis cum illo faciunt et rursus ipsi quaedam peculiaria habent, velut p. 113 *ὦμος* om. *Γ* Ap., 115, 2 *οἷον*,

126,1 *τοῖσδε*, 127,2 *μὲν*, alia. Sed etiam per se propria virtute valere *Γ* docet subtile artis vocabulum *ἀτονέουσι* (p. 122, 3), quod solus mihi praebuit pro vulgari *πονέουσι*. Item p. 214, 2 *κρηπῖδες*, quod omnes editiones ferunt, non Hippocratis esse cum omnium codicum consensus indicat, tum maxime *Γ* ex nova Graevenii collatione docet. Nam secundum eam Galenus non modo in lemmate (vol. XVIII, A, p. 678 ed. Kuehn.) sed etiam in citatione subdito commentario inclusa *κρηπῖδες* omittit. Verum ut omnem dubitationem diluam, commentarium ex Graevenii collatione adscribo: *Ὁποῖον μὲν ῥυθμὸν εἶχον αἱ χιοι κρηπῖδες οὐχ οἷόν τε γνῶναι σαφῶς. οὐδὲ γὰρ κατ' αὐτὸν ἔτι τὸν Ἱπποκράτην ἐσώζετο. διὰ τοῦτο γοῦν εἶπεν· οἷον αἱ Χῖαι ῥυθμὸν εἶχον, δυνάμενος εἰπεῖν ἔχουσιν. εὔδηλον δ' ὅτι τὸ συνέχον μὲν ἀκριβῶς τὸν πόδα, μὴ θλῖβον δὲ τὸν χρῶτα τοῖς διαπλασσομένοις παιδίοις ἐπιτηδειότατόν ἐστιν ὑπόδημα, ὥστε πρὸς τούτους ἀποβλέπων τις τοὺς σκόπους καὶ νῦν ἂν δύναιντο ποιεῖν ὑπόδημα χρήσιμον ἄνευ τοῦ ζητεῖν ὁποῖαί τινες ἦσαν αἱ Χῖαι κρηπῖδες.* Ergo Galenus, ubi verbis Hippocratis utitur, non exhibet *κρηπῖδες*, ubi de suo interpretatur, adhibet. Sequitur *κρηπῖδες* non Hippocratis esse, sed ex Galeni commentario illatum.

Ad ea, quae de codice M(arciano 269) in prolegomenis (vol. I, p. XVIII) Ilbergius disputavit, hic videtur addendum in hac editione primum eum adhibitum esse ad verba Mochlici constituenda. Nam etiam apud Petrequinium huius codicis Mochlici longe antiquissimi varia lectio frustra quaeritur. Contulit eum in usum meum O. Tueselmann Havelbergensis, de Oppiani carminibus iam pridem optime meritus, vir probatae scientiae et liberalitatis, pro quo officio maximas gratias etiam nunc ei persolvo.

Sequitur, ut de dialecto pauca addam. Nam forsitan quispiam miretur, quod in duobus prioribus libris *ὁκόσος*, *ὁκόταν*, *ὅκως*, in posterioribus *ὁπ-* scripserim. Atque ex ea ipsa re, quod ab initio voluminis illas formas recipere non dubitavi, intellegat, quantam fidem primo eis habuerim. Sed iam in libro, qui est de capitis vulneribus, illae me

illuserunt. Haesitavi enim in verbis cap. 21 (p. 27, 15), ubi verum non modo latet in Parisini E ἐσάπῃ, sed etiam servatur codicibus MNV τελευτῶσά πῃ, quod erat recipiendum. Nam formae κῃ, κως, κω, κοτε, κοσος tam alienae sunt a dialecto horum medicorum, ut ne una quidem in codicibus reperiatur. Quare cum hae breviores formae litteram κ constanter respuentes singulari consensu incipiant a littera π (πῃ, πως, πω, ποτε, ποσος), quid est, cur in illo altero genere formarum a praefixa littera ὁ ordientium recipienda esse existimemus ὅκῃ, ὅκως, ὁκότε, ὁκόσος, praesertim cum ὁποῖον, ὅπῃ, ὅπως, ὁπότε toties omnibus codicibus conservata reperiantur? Numero praestet sane illud, veri satis multa exempla integra exstant. Nam in libris, qui sunt de fractis et de articulorum repositione, quamquam triginta quattuor locis omnes uno consensu codices praebent ὁκ-, tamen undecies eodem concentu ὁπ- exhibetur; reliquis sexaginta quinque locis codices dissentiunt et plerumque ita inter se adversantur, ut Laurentianus (B) ferat ὁπ-, Marcianus (M) Vaticanusque (V) tueantur ὁκ-. Illius auctoritas confirmatur antiquissimo cod. Vindobonensi (ϑ) saeculi decimi, qui fere semper ὁπ- pro recentiorum ὁκ-, ὅσος, non ὁκόσος exhibet, cf. Litt. X, LXVIII, l. 4 sqq. Itaque quod in duobus libris, qui sunt de capitis vulneribus et de officina medici, continuo ὁκ- scripsi, veniam mihi praesertim in tam difficili quaestione futuram esse spero. Id confiteor, si iterum mihi edendi essent, ubique ὅπ- edere me non dubitaturum. Sed etiam sic res ita ferenda videatur, ut utriusque speciei continua exempla iuxta in medium proferantur et suis quisque oculis illico (27, 15) ipse cernat, quam non verisimile evaserit illud κῃ, quo studium formarum κ includentium me abripuit.

Deinde dicendum mihi videtur de formis in -εες cadentibus, quas omnes non mutatas recepi. Etenim Adolfus Fritsch, novissimus Herodoti editor, ubique formas contractas dedit. Cui assentitur Otto Hoffmann (Die griech. Dialekte, 3. Bd. Der ionische Dialekt, Götting. 1898), cum p. 466 dicit illas formas ab antiquissimis grammaticis

ex similitudine ceterarum in -εων et -εας desinentium fictas esse. Sit hoc verum, ego hanc mihi legem scribendam esse existimavi, ut reperirem, quo optimorum codicum auctoritas maxime vergeret. Pseudionismos igitur, quos vocant, ubi satis multa vestigia veri apparebant, sustuli, velut coniugationis illas corruptelas, quae sunt -έειν, -έεις, -έει, -εε, quoniam in vulgari copia falsi sescenta testimonia veri ex melioribus codicibus facile quispiam collegerit, quin etiam Vindobonensis ille antiquissimus nisi contractas formas nullas gerit. Sed stirpium in -ες exeuntium syllaba -εις ex -εες contracta per omnes huius voluminis libros non plus ter singulis codicibus exhibetur: p. 99, 17 λιγνυώδεις M in forma omnino perversa, 156, 11 νευρώδεις B, 170, 1 προπετεις B. Nam quod 259, 3 στολιδώδεις omnes codices ferunt, quoniam per Mochlicum formae atticae insolenter grassantur, nullius momenti est. Haec igitur testimonia non tantum valent, ut eorum gratia -εις introduxerim. Nam eodem iure, cum p. 35, 9 κατάντη, 35, 10 ἀπόξη, 43, 4 κατάντη, 243, 7 ῥοιώδη omnes codices ferant, inde sic, non κατάντεα cet. legenda esse quis demonstraverit? Utcunque res se habet, antiquissimas illas formas esse docet 184, 3 ἀκρατέος pro ἀκρατέες B. Idem, quod de formis in -εες exeuntibus, de psilosi quae vocatur sentio. Unum praebuit exemplum B ἀπ' ὅτευ p. 50, 9, cui alterum ipse addidi p. 49, 14. Sed plura immutare vel omnem aspirationem tollere in tam exilibus vestigiis non ausus sum.

Restat, ut eis, qui in hoc opere aerumnoso et auctoritate commendationeque et consilio operaque me adiuverunt, debitam gratiam referam. Quo ex numero Hermannum Diels Berolinensem, Ioannem Ilberg Lipsiensem, Hugonem Weber Vimariensem grato pioque animo nuncupo.

Scripsi Kiliae mense Martio MDCCCCII.

# INDEX NOTARVM.

B = Laurentianus 74, 7 saec. IX/X } a me ipso collati.
M = Marcianus 269 saec. XI } a me ipso collati.

V = Vaticanus 276 saec. XII a Ioanne Tschiedel auctore Ilbergio Regiae societatis litterarum Saxonicae iussu collatus.

*Γ* cf. praefationis p. XI.

Ap. cf. praefationis p. VIII.

H = Par. 2142 saec. XIII.

E = „ 2255 }
D = „ 2254 }
F = „ 2144 }
I = „ 2140 } saec. XIV.
J = „ 2143 }
K = „ 2145 }
O = „ 1868 }
P = „ 1849 }

N = „ 2248 saec. XVI (cf. Schoene, Apollonius v. Kitium p. XIX).

Ald. = Hippocratis opera, Venetiis 1526 (in aedibus Aldi).

Vidus Vidius = Chirurgia e Graeco in Latinum conversa Vido Vidio Florentino interprete, Lutet. 1544.

Zwing. = Hippocratis viginti duo commentarii Theod. Zwingeri studio et conatu, Basileae 1579.

Merc. sive Mercur. = Hippocratis Coi opera quae exstant ... illustrata a Hieron. Mercuriali, Venetiis 1588.

Foes. = Magni Hippocratis opera omnia . . . illustrata Anutio Foesio Mediomatrico authore, Francof. 1595.

Bosq. = Hippocratis de officina et de fractis edente Fr. Mar. Bosquillon, Parisiis 1816.

Litt. = Oeuvres complètes d'Hippocrate par É. Littré, Paris 1849—1861.

Erm. = Hippocratis et aliorum medicorum veterum reliquiae, ed. F. Z. Ermerins, Traiecti ad Rhenum 1859—1864.

Rhd. = *Ἱπποκράτης κομιδῇ* Car. H. Th. Reinhold I et II, *Ἀθήνησι* 1865, 1866.

Pq. = Chirurgie d'Hippocrate par J. E. Petrequin, t. I et II, Paris 1878.

ed. = editores.

rec. = codices recentiores, maxime Littraei Parisini.

add. = addidit, addiderunt.

mut. = mutavit, mutaverunt.

om. = omisit, omiserunt.

ss. = superscripsit.

Gal. sive Gal. i. t. = Galenus in textu.
Gal. comm. = Galenus in commentario.
Gal. in cit. = Galenus in citatione.
i. m. = in margine.
i. t. sive in tit. = in titulo.
l. = loco, locus.
m. (numero praesertim antecedente) = manus.
alt. = alter, -a, -um.
Ilb. = Ilberg.
Wb. = Weber.

---

## Corrigenda.

p. 75, 6 lege *ἀμβλακεύειν*, non *βλακεύειν*.
p. 82, 2 lege *εἰρίοισι*, non *εἰρίοις* (B).
p. 90, 2 lege *εἴρια*, non *εἰρία*.
p. 142, 1 lege *καταγεὶς*, non *κατεαγεὶς*.
p. 145, 16 lege *ἐμβολὴ δέ·*, non *ἐ. δὲ*.
p. 179, 16 lege *τρυχίον*, non *τρύχιόν*.
p. 243, 11 *μελανθῇ* Wb., cf. 261, 20.

Vol. I, p. 1, 7/8 legendum est, sicut codices ferunt, *ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶ ἁμαρτάνοντες*. Quod Hermannus Schoene coniecerat, *και⟨νοῖσι⟩ οἷσι*, iam dudum me paenitet recepisse.

# ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΕΦΑΛΗΙ ΤΡΩΜΑΤΩΝ.

*Τῶν ἀνθρώπων αἱ κεφαλαὶ οὐδὲν ὁμοίως σφίσιν* III,182L. *αὐταῖς οὐδὲ αἱ ῥαφαὶ τῆς κεφαλῆς πάντων κατὰ ταὐτὰ πεφύκασι. ἀλλ' ὅστις μὲν ἔχει ἐκ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς προβολήν — ἡ δὲ προβολή ἐστιν αὐτοῦ τοῦ ὀστέου ἐξέχον στρογγύλον παρὰ τὸ ἄλλο —, τούτου εἰσὶν αἱ ῥαφαὶ πεφυκυῖαι ἐν τῇ κεφαλῇ ὥσπερ γράμμα τὸ ταῦ γράφεται. τὴν μὲν γὰρ βραχυτέρην γραμμὴν ἔχει πρὸ τῆς προβολῆς ἐπικαρσίην πεφυκυῖαν, τὴν δ' ἑτέρην μακροτέρην γραμμὴν ἔχει διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πεφυκυῖαν πρὸς τὸν τράχηλον αἰεί. ὅστις δ' ὄπισθεν τῆς κεφαλῆς τὴν προβολὴν ἔχει, αἱ ῥαφαὶ τούτῳ πεφύκασι τὰ ἐναντία ἢ τῷ προτέρῳ· ἡ μὲν γὰρ βραχυτέρη γραμμὴ πρὸ τῆς προβολῆς πέφυκεν ἐπικαρσίη, ἡ δὲ μακροτέρη γραμμὴ διὰ μέσης τῆς κεφαλῆς πέφυκε κατὰ μῆκος ἐς τὸ μέτωπον αἰεί. ὅστις δὲ ἀμφοτέρωθεν τῆς κεφαλῆς προβολὴν ἔχει, ἔκ τε τοῦ ἔμπροσθεν καὶ | ἐκ τοῦ ὄπισθεν, τούτῳ αἱ ῥαφαί εἰσιν* 184

1 *ιπποκρατους* in tit. praescr. B 2 *φησὶν* B, *σφῆσιν* V 3 *πεφύκασι* B, *-ν* V vulg. 5 *ἐστι(ν* B[2]) *αὐτέου* B, *ἐστι τὸ* V vulg. 6 *τουτέου* B *τέ εἰσιν* B, *δ' εἰσὶν* V, *τε* vel *δ'* om. vulg. 7 *πεφυκοῖαι* ut saepius B *ὡς* V 8 post *ταῦ* add. T vulg., om. BV 10 *μακροτέρην* om. V 11 *πεφυκυῖαν* om. V *ἐς* pro *πρὸς* V 13 *τουτέῳ* B, *τούτων* V, *τούτου* vulg. *τἀναντία* V *ἢ* om. B 14 *πρὸ* om. B 15 *ἐπικαρσίη*, *ἐπι* in raso loco V · *γραμμὴ* om. V 16 *ἀεὶ* V *ὅστις δὲ καὶ ἀμφοτ.* V 18 alterum *ἐκ* om. V *τουτέῳ* B

ὁμοίως πεφυκυῖαι ὡς γράμμα τὸ ἦτα γράφεται. πεφύκασι δὲ τῶν γραμμέων αἱ μὲν μακραὶ πρὸ τῆς προβολῆς ἑκατέρης ἐπικάρσιαι πεφυκυῖαι, ἡ δὲ βραχεῖα διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πρὸς ἑκατέρην τελευτῶσα τῇσι μακρῇσι γραμμῇσιν. ὅστις δὲ μηδετέρωθι μηδεμίαν προβολὴν ἔχει, οὗτος ἔχει τὰς ῥαφὰς τῆς κεφαλῆς ὡς γράμμα τὸ χεῖ γράφεται· πεφύκασι δὲ αἱ γραμμαὶ ἡ μὲν ἑτέρη ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφήκουσα, ἡ δ' ἑτέρη κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς.

*Δίπλοον* δέ ἐστιν τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν· σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκε τό τε ἀνώτατον, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ ὑπὸ τῇ σαρκί, |
186 καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω, ἀποχωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου ὀστέου καὶ τοῦ κατωτάτου, ἀπὸ τῶν σκληροτάτων καὶ πυκνοτάτων ἐπὶ τὸ μαλθακώτερον καὶ ἧσσον πυκνὸν καὶ ἐπικοιλότερον ἐς τὴν διπλόην αἰεί. ἡ δὲ διπλόη κοι-
188 λότατον καὶ μαλθακώτατον καὶ | μάλιστα σηραγγῶδές ἐστιν. ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν

1 post ἦτα add. *H* vulg., om. BV 2 *γραμμαιων* B, *γραμμάτων* V, *γραμμῶν* vulg. *πρὸ* BV, *πρὸς* vulg. 3 *ἑκάτεραι* B, *ἑκατέρη* V, *-τέρης* vulg. *ἐπικάρσιοι* V *βραχείη* codd., scripsi *-εῖα* 5 *τῇσι(ν* B) *μακρῇσι γραμμῇσι(ν* B) BV, *τὴν μακρὴν γραμμὴν* vulg. *δὲ* om. V *μηδ' ἑτ.* B, *μὴδ' ἑτ.* V *μὴ δὲ μίαν* V 7 *χεῖ* B, *χῖ* V post *χεῖ* add. *X* vulg., om. BV 9 *ἀφήκουσαν* B, *ἀφίκουσαι* V, *-σα* vulg. 11 *διπλόον* B *δ' ἐστὶ* V 12 *αὐτέου* B 13 *τε* om. V *ἧν ὁμ.* B, *ἢ ἡ ὁ.* utr. l. Litt. ex Parr. MN *ὁμόχροια* utr. l. B *ἡ* ante *ὑπὸ* om. V 14 *μηνιγγιῆι* B 15. 16 *ἀπὸ τοῦ . . . . κατωτ.* delenda censet Wb. 17 *μαλθακότατον* B 18 *ἐπικοινότερον* V, *ἐπὶ κοινότ.* vulg., *ἐπικοιλότερον* Litt. ex Parr. MN *ἀεὶ* B, om. vulg. 19 *μαλθακότ.* B *σειραιτῶδες* V 20 *ἐστιν* om. B

*κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ τοῦ κατωτάτου σπόγγῳ ὅμοιον, καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὅμοια σαρκία πολλὰ καὶ ὑγρά, καὶ εἴ τις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισι, αἷμα ἂν διαγίνοιτο ἐξ αὐτῶν. ἔνεστι δ' ἐν τῷ ὀστέῳ καὶ φλέβια λεπτότερα καὶ κοιλότερα, αἵματος πλέα.*

2. *Σκληρότητος μὲν οὖν καὶ μαλθακότητος καὶ κοιλότητος ὧδε ἔχει. παχύτητι δὲ καὶ λεπτότητι συμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστι καὶ ἀσθενέστατον τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχει ἐπὶ ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον, καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς πλεῖστος ὕπεστιν. καὶ δὴ ὅτι οὕτως ταῦτα ἔχει, τῶν τε τρω|σίων καὶ τῶν βελέων ἴσων τε ἐόντων κατὰ μέ-* 190
*γεθος καὶ ἐλασσόνων καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, τὸ ὀστέον ταύτῃ τῆς κεφαλῆς φλᾶται τε μᾶλλον καὶ ῥήγνυται καὶ ἔσω ἐσφλᾶται, καὶ θανασιμώτερα καὶ χαλεπώτερά ἐστιν ἰητρεύεσθαί τε καὶ ἐκφυγγάνειν τὸν θάνατον ταύτῃ ἤ κου ἄλλοθι τῆς κεφαλῆς· ἐξίσων τε ἐόντων τῶν τρωμάτων καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ὁ ἄνθρωπος, ὁκόταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ*

1 *τοῦ* ante *κατωτ.* BV, om. vulg. 2 *ὁκοῖα* pro *ὅμοια* Litt. ex I. Martini epist. 3 *ὑγρὰ καὶ πολλά* B, temptavi *ὅμοια σαρκὶ καὶ ὑγρὰ πολλά* 4 *δακτύλοισιν* V *διαγίγν.* B *αὐτέων* B 4. 5 *ἔνεστιν ἐν* B, *ἔνι δ'* Vvulg., scripsi *ἔνεστι δ'* 5 *φλεβία* codd. 7.8. *σκληρότητος . . μαλθακότητος . . κοιλότητος* BV, dativos vulg. Pq. 7 *νῦν* codd., *οὖν* Litt. 8 post *λεπτότητι* add. *οὕτως·* vulg. Pq., om. BV 8. 9 *ξυμπ.* B 11 *ἐφ'* V *ἑωυτέω* B, *ἑαυτῶ* V *ταύτης* B 13 *ὕπεστι* V *δὴ ὅτι* B, *διότ* V, *διότι* vulg. *οὕτω* V *ταῦτ'* V 17 *εἴσω* B 17. 18 *θαν. καὶ ἐστι χαλ. ἰητ.* V 19 *ἢ* V *κου* scripsi, *που* codd. *ἐξ ἴσων* Erm. 20 post *τρωμ.* add. *καὶ ἡσσόνων* Litt. 21 *ἀποθνήσκειν* V *ὁ* om. V *ὅταν* V

*ταύτῃ ἔχον τὸ τρῶμα τῆς κεφαλῆς ἤ κου ἄλλοθι. ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γινομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ· ὑπὸ λεπτοτάτῳ τε γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλιγίστῃ σαρκί, καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. τῶν δὲ ἄλλων τὸ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστι. συμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον καὶ κίνησις ἔνεστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου, καὶ ἡ ἀκοὴ πλησίον γίνεται αὐτοῦ, καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.*

*Ἰσχυρότερον δ' ἐστὶ τῆς κεφαλῆς τὸ ὀστέον ἅπαν*
192 *τὸ ὄπισθεν τῆς κορυφῆς καὶ τῶν | οὐάτων ἢ ἅπαν τὸ πρόσθεν, καὶ σάρκα πλείονα καὶ βαθυτέρην ἐπὶ ἑωυτῷ ἔχει τοῦτο τὸ ὀστέον. καὶ δὴ τούτων οὕτως ἐχόντων ὑπό τε τῶν τρωσίων καὶ τῶν βελέων ἴσων ἐόντων καὶ ὁμοίων καὶ μεζόνων καὶ [μειόνων] ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται ἔσω, κἢν μέλλῃ ὥνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα ἐν πλείονι χρόνῳ ἀποθανεῖται· ἐν πλείονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυίσκεταί*

1 *ἥ* V *πον* codd. 4 *λεπτῷ* B Ilb. *ὑπολεπτώτεταος* V pro *ὑ. λ. τ. γὰρ* 4. 5 *ταύτην* BV, *η* ss. B[3] 5 *ολιγήστη* B, ss. B[3], *ὀλίγη* V 8 *ἐστιν* V 10 *γίγν.* B *αὐτέου* codd. 12. 13 *τοῦ ὀστέου πᾶν τὸ ὀστέον τῆς* V 13 *πᾶν* V 14 *πλείονα* B, *πλέονα* V *ἐφ'* V *ἑωυτέω* B 15 *τουτέων* B 16 *ἐόντων* Litt., *ἁπάντων* codd. 17 *ὁμοίως* B *μειζ.* V post *μεζ.* add. *ἢ* B *μειόνων* (*μιονος* B[1]) del. Litt. *τιτρωσκομενος* B[1], mut. in *-μενω* B[3] 19 *εἴσω* B, *ἔσω* om. V vulg. *καὶ ἢν* V *ἄνθρ.* V 20 *ἄλλος* B *ὁ ἐκ τοῦ* B, *ἐν τῶ* V vulg. 21 *πλέονι* bis V *ἐν πλ. χρ. ἀποθ.* om. B[1], add. i. m. B[2]

*τε καὶ διαπυίσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον διὰ τὴν παχύτητα τοῦ ὀστέου, καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι, καὶ πλέονες ἐκφυγγάνουσιν τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπὶ τὸ πολὺ ἢ τῶν ἔμπροσθεν. καὶ ἐν χειμῶνι πλείονα χρόνον ζῇ ὤνθρωπος ἢ ἐν θέρει, ὅστις ἂν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὅκου ἂν τῆς κεφαλῆς ἔχῃ τὸ τρῶμα.*

3. *Αἱ δὲ ἕδραι τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων, αὐ|ταὶ ἐπὶ σφέων αὐτέων γινόμεναι ἐν τῷ* 194 *ὀστέῳ ἄνευ ῥωγμῆς τε καὶ φλάσιος καὶ ἔσω ἐσφλάσιος — αὗται δὲ γίνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῷ ὄπισθεν —, ἐκ τούτων ὁ θάνατος οὐ γίνεται κατά γε δίκην, οὐδ' ἢν γένηται. ῥαφὴ δὲ ἐν ἕλκει φανεῖσα ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γενομένου, ἀσθενέστατον γίνεται τῇ τρώσει καὶ τῷ βέλει ἀντέχειν, εἰ τύχοι τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν στηριχθέν — πάντων δὲ μάλιστα, ἢν τὸ βέλος ἐν τῷ βρέγματι γενόμενον κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς ⟨ᾖ⟩ —, καὶ αἱ ῥαφαὶ εἰ τύχοιεν ἐοῦσαι περὶ τὸ ἕλκος καὶ τὸ βέλος αὐτέων τύχοι τῶν ῥαφέων.*

2 *ἐλάσσω ταύτης* B 3 *ἐκφυγγάνουσι* V 5 *πλέονα* V 6 *ἄνθρ.* V ante *ὅστις* add. *ἢ* B *ὅστις* BV, *εἴ τις* vulg. *ἂν* om. V 7 *μέλλει* V *ὅκου ἂν* B, *ὅπου οὖν* V, *ὁπουοῦν* vulg. 8 *ἔχων* V vulg., *ἔχει* B, scripsi *ἔχῃ* 10 *αυται* B[1], ʽ ss. B[3], *αὗται* cet. codd. *σφῶν* codd. *αὐτῶν* V 11 *τὰ νεῦρα ἀγμῆς* pro *ἄνευ ῥωγμ.* V *καὶ* ante *ἔσω* codd., *ἢ* edd. *εἴσω* B 12 *δ' ἐπιγίνονται* B *καὶ ἐν τῶ* V 13 *ἐξ ὧν* pro *ἐκ τούτων* B *τουτέων* V *ὁ* BV, om. vulg. 16 *γίγν.* B 17 *τύχοι* BV, *-ῃ* vulg. 18 *ἑωυτὴν* pro *αὐτὴν* B 18. 19 *ἢν τὸ βέλ.* om. Litt. Scaligerum secutus post *ἢν* add. *τύχῃ* Rhd. 19 *ἕλκος* pro *βέλος* Erm. Rhd. Pq. 20 ⟨*ᾖ*⟩ Wb. 21 *οὖσαι* V ante *περὶ* add. *ἡ* B, *ἢ* V 22 *ῥαφῶν* codd.

4. *Τιτρώσκεται δὲ ὀστέον τὸ ἐν τῇ κεφαλῇ τοσούσδε τρόπους· τῶν δὲ τρόπων ἑκάστου πλείονες ἰδέαι*
196 *γίνονται τοῦ κατήγματος | ἐν τῇ τρώσει. ὀστέον ῥήγνυται τιτρωσκόμενον καὶ τῇ ῥωγμῇ ἐν τῷ περιέχοντι ὀστέῳ τὴν ῥωγμὴν ἀνάγκη φλάσιν προσγενέσθαι, ἥνπερ ῥαγῇ· τῶν γὰρ βελέων ὅ τι περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον ἢ μᾶλλον ἢ ἧσσον, αὐτό τε ἐν ᾧπερ καὶ ῥήγνυσι τὴν ῥωγμὴν καὶ τὰ περιέχοντα ὀστέα τὴν ῥωγμήν· εἷς οὗτος τρόπος. ἰδέαι δὲ ῥωγμέων παντοῖαι γίνονται· καὶ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ, ὥστε οὐ καταφανέες γίνονται ἔστιν αἳ τῶν ῥωγμέων οὔτε αὐτίκα μετὰ τὴν τρῶσιν οὔτ' ἐν τῇσιν ἡμέρῃσιν ἐν ᾗσιν ἂν καὶ πόνων*
200 *ὄφελος γένοιτο | τοῦ θανάτου τῷ ἀνθρώπῳ. αἱ δ' αὖ παχύτεραί τε καὶ εὐρύτεραι ῥήγνυνται τῶν ῥωγμέων, ἔνιαι δὲ καὶ πάνυ εὐρεῖαι. ἔστι δὲ αὐτέων καὶ αἳ μὲν ἐπὶ μακρότερον ῥήγνυνται, αἳ δ' ἐπὶ βραχύτερον, καὶ αἱ μὲν ἰθύτεραι, αἱ δὲ ἰθεῖαι πάνυ, αἱ δὲ καμπυλώτεραί τε καὶ ⟨πάνυ⟩ καμπύλαι· καὶ*

1 *τῇ* om. V *κατὰ τόσους* pro *τοσούσδε* Gal. in cit. XVIII B 672 2 *πλέονες* V 3 *γίγν.* B 4 *τῇ ῥωγμῇ ἐν* om. V vulg., *τῆς ῥωγμῆς ἐν* B 5 *ῥώγμην* V ut saepius *τ. ῥ.* del. Wb. *προσγίγν.* B 8 *ὀτιτερρηγνυσι* B 8. 9 *κ. τ. π. ὀ. τ. ῥ.* B, om. V vulg. 10 *ρωγμαιων* B[1], mut. in *ῥωγμῶν* B[3] *παντοῖαι* BV, *τοῖαι* vulg. *γίγν.* B 11 *λεπτόταται* B *γίγν.* B *ὥστε οὐ* B, *ὀστέου* V vulg. 12 *ἔστι τε τῶν* B[1], *αἴτιον* ss. B[2], *ἔστι δ' αἴτιον* V vulg. Pq. 13 *οὐδὲ* B *ὅσησιν* B *ποίεων* B, *πόνων* V vulg. *ἂν* ante *ὀφ.* iterat vulg., om. BV pro *πόνων* coniectura scrib. *πάνυ* Martinus, *πλέον* Litt., *πολλὸν* Erm., *προνοέειν* Rhd., *ποιὸν* Wb., pro *τοῦ θανάτου*: *ἐκ τούτου* Litt., *τούτου* Erm., *τοῦ λοιποῦ* Wb. *ἐν ᾗσιν ἂν καὶ πόνων ὄφελος γένοιτο καὶ τοῦ θανάτου τῷ ἀνθρώπῳ* Litt. X, p. XXIII 14 *αὐτέων* pro *αὖ* B 15 *ῥήγν.* B, *γίνονται* V vulg. 16 *εὔριαι* B[1], mut. in *-ρεῖαι* B[2] *ἐ. δ. αὐτ.* B, om. V vulg. 18 *εὐθ.* bis B *ἰθ. τε καὶ πάνυ* V *πάνυ* ante *καμπ.* add. Erm.

*βαθύτεραί τε ἐκ τοῦ κάτω καὶ διὰ παντὸς τοῦ ὀστέου ⟨καὶ ἧσσον βαθεῖαι ἐκ τοῦ κάτω καὶ οὐ διὰ παντὸς τοῦ ὀστέου⟩.*

5. *Φλασθείη δ' ἂν ὀστέον μένον ἐν τῇ ἑωυτοῦ φύσει, καὶ ῥωγμὴ τῇ φλάσει οὐκ ἂν προσγένοιτο ἐν τῷ ὀστέῳ οὐδεμία· δεύτερος οὗτος τρόπος. ἰδέαι δὲ τῆς φλάσιος πλείους γίνονται· καὶ γὰρ μᾶλλόν τε καὶ ἧσσον φλᾶται καὶ ἐς βαθύτερόν τε καὶ διὰ παντὸς τοῦ ὀστέου καὶ ἧσσον ἐς βαθὺ καὶ οὐ διὰ παντὸς τοῦ ὀστέου καὶ ἐπὶ πλέον τε καὶ ἔλασσον μήκεός τε καὶ πλατύτητος. ἀλλὰ οὐ τούτων τῶν ἰδεῶν οὐδεμίαν ἔστιν ἰδόντα τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁκοίη τίς ἐστι τὴν ἰδέην καὶ ὁκόση|τις τὸ μέγεθος· οὐδὲ γὰρ εἰ πέ-* 202
*φλασται ἢ μὴ πέφλασται, ἐόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, γίνεται τοῖσιν ὀφθαλμοῖσιν καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν, ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι ἑκὰς ἐοῦσαί τε καὶ ἐρρωγότος τοῦ ὀστέου.*

6. *Ἐσφλᾶται τὸ ὀστέον ἐκ τῆς | φύσιος τῆς ἑωυτοῦ* 204
*ἔσω σὺν ῥωγμῇσιν· ἄλλως γὰρ οὐκ ἂν ἐσφλασθείη· τὸ γὰρ ἐσφλώμενον, ἀπορρηγνύμενόν τε καὶ καταγνύμε-*

1 *βαθύτεραι . αἱ δὲ ἐς τὸ* V    2. 3 *καὶ ἧσσον . . . ὀστ.* om. codd., add. Litt.    *φλασθ.* Gal. in cit. (comm. de off. med.) XVIII B 672    4 ante *ὀστ.* add. *τὸ* V    *μένον* om. V, *μόνον* Gal. ibid.    *ἐν* om. V    6 *τρόπος* BV, om. vulg.    7 *γίγν.* B    9 *οὐ* om. V    11 *οὐ* om. V    *τουτεων* B    *οὐδεμίαν* B, *οὐδὲ μίαν* V, *οὐδεμία* vulg.    12 *ἰδόντι* V    *ὀφθαλμοῖσιν* B    *ὁπ.* V    12. 13 *ἔστιν. ἡ δὲ* pro *ἐστι τὴν ἰδέην* (vulg.) B, *ἔστιν τὴν ἴδην* V    13 *ὁπ.* V    *τις* om. V    14 *ἢ μὴ π.* om. V    *ἐοντεπεφλ.* B[1], *τῶν* (*ὀστέων*?) i. m. B[2]    *ἐόντων τε π.* NPq.    15 *γίγν.* B    *ὀφθαλμοῖσι* V    17 *εκασεαιουσαι* B, *ἑκὰς ἐ.* V; huc referunt Galeni (Lex. Hipp. p. 94 K.): *ἐγκὰς, ἐν βάθει* Foesius in Oecon. p. 176 et L. Dindorfius in Thes. l. g. s. v. *ἐγκάς*    *τε* add. BV, om. vulg.    20 *εἴσω* B    21 ante *ἀπορρ.* add. *εἴσω* B

*νον, ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσει τῇ ἑωυτοῦ, καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσει· τρίτος οὗτος τρόπος. ἐσφλᾶται δὲ τὸ ὀστέον πολλὰς ἰδέας· καὶ γὰρ ἐπὶ πλέον τοῦ ὀστέου καὶ ἐπ' ἔλασσον, καὶ μᾶλλόν τε καὶ ἐς βαθύτερον κάτω καὶ ἧσσόν τε καὶ ἐπιπολαιότερον.*

7. *Καὶ ἕδρη δὲ τοῦ βέλεος γίνεται ἐν τῷ ὀστέῳ· ἕδρη γὰρ καλεῖται, ὅταν μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον δῆλον ποιήσῃ ὅκου ἐστήριξεν. καὶ ἕδρης ἐγγενομένης ἐν τῷ ὀστέῳ βέλεος προσγένοιτ' ἂν ῥωγμὴ τῇ ἕδρῃ. καὶ* 206 *φλάσιν προσγενέσθαι ἀναγκαῖόν ἐστιν ἢ | μᾶλλον ἢ ἧσσον, ἥνπερ καὶ ῥωγμὴ προσγένηται, ἔνθαπερ καὶ ἕδρη ἐγένετο καὶ ἡ ῥωγμή, ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν τε ἕδρην καὶ τὴν ῥωγμήν· τέταρτος οὗτος τρόπος. καὶ ἕδρη μὲν ἂν γένοιτο φλάσιν ἔχουσα τοῦ ὀστέου περὶ αὐτήν, ῥωγμὴ δὲ οὐκ ἂν προσγένοιτο τῇ ἕδρῃ καὶ τῇ φλάσει ὑπὸ τοῦ βέλεος· πέμπτος οὗτος τρό-*

1 *εἴσσω* B 2 *ῥώγμη* V ut solet 3 *φλάσει* B *ἔσφλασται* V 4 *εἰδέας* B *ἐπιπλειον* B 5. 6. *βαθ. καὶ τὸ ἧσσ.* B 6 *ἐπὶ πολαιότερον* V Post *ἐπιπολ.* ordo sententiarum in B hic est: *καὶ ἕδρης ἂν ἐνγενομένης . . . πέμπτος οὗτος τρ.*, sequitur *καὶ ἕδρη δὲ τοῦ βέλεος . . . ἐστήριξεν*, inde *ἐν δὲ τῷ τρ. ἐκ.*, in V et vulgo hic est: *καὶ ἕδρης γενομένης . . . τέταρτ. οὗτος τρ.*, sequitur *καὶ ἕδρη δὲ . . . ἐστήριξεν*, inde *ἐν δὲ τῷ τρ. ἐκ. κτλ.*, *καὶ ἕδρη μὲν . . . πέμπτος οὗτος τρ.* B, om. V vulg. Sententias ipse transposui. 8 *δὲ* pro *γὰρ* V *καλέε.* V *μένοντος ὀστέου* Schneider in diss. Bonn. (1885) p. 34 10 *ὅκ.* scripsi, *ὅπη* V, *ὅπου* cet. post *ἐστήρ.* add. *ἕκτος οὗτος τρ.* Erm. *γεν.* V, *ἂν ἐν γεν.* B 11 *βέλεος* del. Wb. *προσγένοιτο* V *ἑδραιηι* B, *ἑδρέῃ* V vulg., *ἕδρῃ* Erm. post *ἕδρ.* add. *τῇ τε ῥώγμῃ* V vulg., om. B 12 *προσγίγνεσθαι* B 13 *ἥνπερ* B, *ἢ ἧπερ* V vulg. *ῥώγμη* BV *ἔνθάπερ* V *ἐνθ. καὶ ἕδ.* codd., *ἡ* pro *καὶ* Litt. 14 *ῥωγμὴ* ⟨*καὶ*⟩ *ἐν* Litt. punctum post *περιέχ.* B 15 *ῥώγμην* B, *φλάσιν* V vulg. 17 ante *προσγένοιτο* signum interpositionis sive transpositionis (·/.) ss. B[2]

πος. ἐν δὲ τῷ τρόπῳ ἑκάστῳ πλείονες ἰδέαι γίνονται. καὶ περὶ μὲν φλάσιός τε καὶ ῥωγμῆς, κἢν ἄμφω ταῦτα προσγένηται τῇ ἕδρῃ καὶ ἢν φλάσις μούνη γένηται, ἤδη πέφρασται ὅτι πολλαὶ ἰδέαι γίνονται καὶ τῆς φλάσιος καὶ τῆς ῥωγμῆς. ἡ δὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γίνεται μακροτέρη καὶ βραχυτέρη, ἐοῦσα καὶ καμπυλωτέρη καὶ ἰθυτέρη καὶ κυκλοτερής· καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου, ὁκοῖον ἄν τι καὶ τὸ στόμα τοῦ βέλεος ᾖ. αἵ δ' αὐταὶ βαθύτεραι τὸ κάτω καὶ μᾶλλον καὶ ἧσσον, καὶ στενότεραί τε καὶ ἧσσον στεναὶ καὶ εὐρύτεραί τε καὶ πάνυ εὐρεῖαι, ᾗ διακεκόφαται. διακοπὴ δὲ ὁκοσητισοῦν γινομένη μήκεός τε καὶ εὐρύτητος ἐν τῷ ὀστέῳ ἕδρη ἐστίν, ἢν τὰ ἄλλα | ὀστέα τὰ 210 περιέχοντα τὴν διακοπὴν μένῃ ἐν τῇ φύσει τῇ ἑωυτῶν καὶ μὴ συνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν· οὕτω δὲ ἔσφλασις ἂν εἴη καὶ οὐκ ἔτι ἕδρη.

8. Ὀστέον τιτρώσκεται ἄλλῃ τῆς κεφαλῆς ⟨ἢ⟩ ᾗ τὸ ἕλκος ἔχει ὤνθρωπος καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός· ἕβδομος οὗτος τρόπος. καὶ ταύτην τὴν συμφορήν, ὁκόταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν·

1 πλέονες V εἰδεας B γιγν. B 2 τε om. V κἢν B, ἢ V vulg. 3 προσγίν. V μόνη V 5 αυτη B, αὕτη V 6 μηκροτερη B 7 ευθυτερη B κυκλωτερὴ V 8 εἰδ. B τοιουτεον B, τοῦ τοιούτου V, τούτου τοῦ Erm. Epim. p. CI ὁπ. V στόμα B, σχῆμα V vulg. 9 καὶ δ' αὐταὶ καὶ βαθύτεραί τε κ. V 10 τε καὶ ἧσσον στεναὶ om. V 11 τε om. V εὐρέαι V ηι διακέκοπται B, ἢ διακεκόφαται V vulg. 12 διακοπὴν δ' V ὁπόση τίς οὖν V γιγν. B 13 ἕδρην V τἆλλ' V 13 ἐν om. B 14 τοιεωυτεων pro τῇ ἑ. B 15 η διακοπη B εἰσω B 16 ἑωυτεων B δ' V ηι pro εἴη B 18 ἀλλ' ἢ V ἢ om. V, add. Martin, Litt. ἢν pro ἢ ᾗ B 19 ἄνθρ. V 20 ἑβδομαίος B, πέμπτος Cornar. Litt. Pq. ξυμφ. B 21 ὅταν V

*οὐδὲ γὰρ εἰ πέπονθεν τὸ κακὸν τοῦτο, οὐκ ἔστιν ὅκως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι, εἰ πέπονθε τὸ κακὸν τοῦτο ὤνθρωπος, οὐδὲ ὅκοι τῆς κεφαλῆς.*

9. *Τούτων τῶν τρόπων τῆς κατήξιος ἐς πρίσιν ἀφήκει ἥ τε φλάσις ἡ ἀφανὴς ἰδεῖν καὶ ἤν κως τύχῃ φανερὴ γενομένη, καὶ ἡ ῥωγμὴ ἡ ἀφανὴς ἰδεῖν καὶ ἢν φανερὴ ᾖ. καὶ ἢν ἕδρης γενομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ προσγένηται ῥωγμὴ καὶ φλάσις τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. τὸ δὲ ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ὀλίγα τῶν πολλῶν πρίσιος*
212 *προσδεῖται, | καὶ τὰ μάλιστα ἐσφλασθέντα καὶ μάλιστα καταρραγέντα, ταῦτα πρίσιος ἥκιστα δεῖται. οὐδὲ ἕδρη αὐτὴ ἐπὶ ἑωυτῆς γενομένη ἄτερ ῥωγμῆς καὶ φλάσιος, οὐδὲ αὐτὴ πρίσιος δεῖται, οὐδ' ἢν διακοπὴ μεγάλη καὶ εὐρεῖα ⟨ᾖ⟩, οὐδ' αὕτη· διακοπὴ γὰρ καὶ ἕδρη τὠυτόν ἐστιν.*

10. *Πρῶτον δὲ χρὴ τὸν τρωματίην σκοπεῖσθαι, ὅκῃ ἔχει τὸ τρῶμα τῆς κεφαλῆς, εἴτ' ἐν τοῖσιν ἰσχυροτέροισιν εἴτ' ἐν τοῖσιν ἀσθενεστέροισιν, καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ καὶ διακεκόφαται ὑπὸ τοῦ βέλεος καὶ εἰ ἔσω εἴησαν ἐς τὸ τρῶμα, καὶ ἢν τοῦτο ᾖ, φάναι κινδυνεύειν τὸ ὀστέον ψιλὸν*

1 *πέπονθε* V *ὁπῶς* V 3 *ἄνθρ.* V *οὐδε ὅκοι* (*ὅκου* Erm.) B, *οὐδ' ὅπῃ* V vulg. punctum post *κεφ.* om. B 5 *ἀφήξει* B *φάσις* V *πως* codd. 6 *ἡ* om. V *ἡ* ante *ἀφ.* om. B, *ἢν* V, *ἡ* Litt. 9 *μοῦνον* V 10 *αυτη* B, *αὐτὴ* V *δὲ εἴσω* B, *δ' ἔσω* V 12 *δεῖται* B *καὶ τὰ μ. ἐσφ.* om. B 13 *κέχρηται* pro *δεῖται* V 14 *αὕτη* V *ἐπιοιαυτης* B, *ἐφ' ἑωυτῆς* V *γιγν.* B 15 *αυτη* B, *αὐτὴ* V vulg. *οὐδηνδιακοπη μεγ.* B *οὐδ' ἡ δ.*, *ἢν μ.* V vulg. 16 *ευρέη* V, *-ειη* B, *-εῖα ᾖ* scripsi *αυτη* B *τὠυτό ἐστι* V 19 *ὅκῃ* scripsi, *ὅπῃ* codd. *εἰτ' ἐν τ. ἰσχ.* om. V 21 *εἰ καὶ διακεκομεναι εἰσιν* B 22 *καὶ* om. V vulg. *ἤϊσαν* Litt. 23 *ἢν* pro *ᾖ* B *καὶ ἢν τουτο ᾖ, φάναι* post *σαρκός·* VPq.

*εἶναι τῆς σαρκὸς ⟨καὶ⟩ ἔχειν τι σῖνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. ταῦτα μὲν οὖν χρὴ ἀπόπροσθεν σκεψάμενον λέξαι μὴ ἁπτόμενον τοῦ ἀνθρώπου· ἁπτόμενον δὲ τοῦ ἀνθρώπου ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἴ ἐστι ψιλὸν τὸ ὀστέον τῆς σαρκὸς ἢ οὔ. καὶ ἢν μὲν καταφανὲς ᾖ τὸ ὀστέον τοῖς ὀφθαλμοῖς ψιλόν· εἰ δὲ μή, τῇ μήλῃ σκέψασθαι. καὶ ἢν μὲν εὕρῃς | ψιλὸν ἐὸν τὸ* 214
*ὀστέον τῆς σαρκὸς καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἐόντος τὴν διάγνωσιν πρῶτα ποιεῖσθαι, ὁρῶντα ὁκόσον τέ ἐστι τὸ κακὸν καὶ τίνος δεῖται ἔργου. χρὴ δὲ καὶ ἐρωτᾶν τὸν τετρωμένον, ὅκως ἔπαθεν καὶ τίνα τρόπον. ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον, εἰ ἔχει τι νόσημα ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιεῖσθαι ψιλοῦ τ' ἐόντος τοῦ ὀστέου, τὸ τρῶμα ὅκως ἐγένετο καὶ ὅντινα τρόπον. τὰς γὰρ φλάσιας καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δέ, ἐκ τῆς ἀποκρίσιος τοῦ τετρωμένου πρῶτον διαγινώσκειν πειρᾶσθαι, εἴ τι πέπονθε τούτων τὸ ὀστέον ἢ οὐ πέπονθεν, ἔπειτα δὲ καὶ λόγῳ καὶ ἔργῳ ἐξελέγχειν πλὴν μηλώσιος. μήλωσις γὰρ οὐκ ἐξελέγχει, εἰ πέπονθέ τι τούτων τῶν κακῶν τὸ ὀστέον*

1 ⟨*καὶ*⟩ add. Litt. *σαρκὸς, ἔχειν τε σίνος* Rhd., *ἔχ.* ⟨*τέ*⟩ *τι σ.* Wb., *ἔχειν τοι σινὸς* V 2 *αποπρισθεν* B 4 *τοῦ ἀνθρ.* ante *ἤδη* add. B, om. V vulg. 4 *εστιν* B 5 *εἰ* pro *ἢ* B 6 *τοῖσιν ὀφθαλμοῖσι τὸ ὀστέον* V post *ὀστέον* add. *ἐὸν* Rhd. Erm. 7 *σκέπτεσθαι* V 10 *ποιέε.* B *ὁρεωντα* B *ὁκόσον* B, *ὅσον* V vulg. *τε* om. B 11 *ἐρίου* pro *ἔργου* V *ὅπως* V 12 *ἔπαθε* V 13 *εἰ* pro *ᾖ* B *τί* V *νόσ.* B, *κακὸν* V vulg. *εἰ* pro *ἢ* B 14 *ποιέε.* B *τεοντος* B, *τε ἐόντος* V, *τε* del. Litt. 15 *ὅπως* V 16 *φάσηας* V 17 *ὑποκρίσηος* V 18 *πειρᾶσθαι* scripsi, *πειρῆσθαι* codd. 19 *τουτεω* B, *τούτω* V, genetivum restituit Litt. 20 *ἐξελεγχην* B, *-χοντα* V *μήλωσις, μή* in raso l. V 21 *πέπονθε τούτω* (*τι* om.) V *τουτεων* B

*καὶ εἴ τι ἔχει ἐν ἑωυτῷ ἢ οὐ πέπονθεν· ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐξελέγχει μήλωσις, καὶ ἢν ἐμφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ, καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον, ἅπερ καὶ τοῖς ὀφθαλμοῖς καταφανέα ἐστὶ ὁρῶντα γινώσκειν.*

11. *Ῥήγνυται δὲ τὸ ὀστέον τάς τε ἀφανέας ῥωγμὰς
καὶ τὰς φανερὰς καὶ φλᾶται τὰς ἀφανέας φλάσιας καὶ
ἐσφλᾶται ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ μάλιστα, ὁκό-*
216 *ταν ἕτερος ὑφ' ἑτέρου τιτρωσκόμενος ἐπίτηδες τρῶσαι
βουλόμενος ἢ ὁκόταν ἀέκων, καὶ ὁκόταν ἐξ ὑψηλοτέρου
γίνηται ἡ βολὴ ἢ ἡ πληγή, ὁκοτέρη ἂν ᾖ, μᾶλλον ἢ
ὁκόταν ἐξ ἰσοπέδου τοῦ χωρίου, καὶ ἢν περικρατῇ τῇ
χειρὶ τὸ βέλος, ἤν τε βάλλῃ ἤν τε τύπτῃ, καὶ ἰσχυρό-
τερος ἐὼν ἀσθενέστερον τιτρώσκῃ. ὁκόσοι δὲ πίπτον-
τες τιτρώσκονται πρός τε τὸ ὀστέον καὶ αὐτὸ τὸ ὀστέον,
ὁ ἀπὸ ὑψηλοτάτου πίπτων καὶ ἐπὶ σκληρότατον καὶ*
218 *ἀμβλύτατον, τούτῳ κίνδυνος τὸ | ὀστέον ῥαγῆναι καὶ
φλασθῆναι καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς
ἑωυτοῦ. τῷ δ' ἐξ ἰσοπέδου τοῦ χωρίου μᾶλλον πί-*

1 *ἔνεχει* B, *ἓν ἔχει* Wb. *ἑωϋτεω* B, *ἑαυτῷ* V *τὲ* V 2 *ἐλέγχει* B *εἰ ἐνεφλασθῇ* B 3 *εἴσω* B *τῆσ φύσηος* V *ἑωυτεου* B *ἰσχυρος* B 4 *τοῖσιν ὀφθαλμοῖσι* V 5 *ἐστὶν* V *γιγνώσ.* B, *γιν.* V *ὁρῶντα γινώσκ.* supervacanea putat Lobeck Paralip. p. 526 8 *ἑωυτέου* B ut solet *ὅταν*, ut solet, utroque loco V 9 *τρωσαν* B, *ἔτρωσαν* (ε suprascr.) N, *ἔτρωσεν* Pq. 10 *ἀέκ. καὶ ὁκ.* om. V *ακεων κ. ὁκ.* B *ὑψηλοτέρης* V, *-ρους* B 11 *γίγνεται* B *ὁκοτερη ἡ* B, *ὁποτερ' ἂν ᾖ* V 11 comma post *ᾖ μᾶλλον* codd. Litt. *ὅτ' ἂν* ut saepius V 12 *περικρατέῃ* codd. 14 *ἀσθενέστερος* B, *-τέρως* V, *-έστερον* N *τιτρώσκει* codd., *-σκῃ* Litt. *ὅσοι* V 16 *πίπτον* B 17 *τουτέω δὲ* B *ῥαγῆναί τε και* V 18 *εἴσω* B *φυσηος* ut solet V 19 *τῶ δεξιω πέδου του χωριου μᾶλλον* B *τ. δ' ἐξισοπέδου μᾶλλον χωρίου* V

*πτοντι καὶ ἐπὶ μαλθακώτατον, ἧσσον ταῦτα πάσχει τὸ ὀστέον ἢ οὐκ ἂν πάθοι. ὁκόσα δ' ἐσπίπτοντα ἐς τὴν κεφαλὴν τιτρώσκει βέλεα πρός τε τὸ ὀστέον καὶ αὐτὸ τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐμπεσὸν καὶ ἥκιστα ἐξ ἰσοπέδου, καὶ σκληρότατόν τε ἅμα καὶ ἀμβλύτατον καὶ βαρύτατον καὶ ἥκιστα κοῦφον καὶ ἥκιστα ὀξὺ καὶ μαλθακόν, τοῦτο ἂν ῥήξειε τὸ ὀστέον καὶ φλάσειεν. καὶ μάλιστά γε κίνδυνος ταῦτα πάσχειν τὸ ὀστέον, ὁκόταν ταῦτά τε γίνηται καὶ ἐς ἰθὺ τρωθῇ καὶ κατ' ἀντίον γένηται τὸ ὀστέον τοῦ βέλεος, ἤν τε πληγῇ ἐκ χειρὸς ἤν τε βληθῇ ἤν τέ τι ἐμπέσῃ αὐτῷ καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ καὶ ὁκωσοῦν τρωθεὶς κατ' ἀντίον γενομένου τοῦ ὀστέου τῷ βέλει. τὰ δ' ἐς πλάγιον τοῦ ὀστέου παρασύραντα βέλεα ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον καὶ φλᾷ καὶ ἔσω ἐσφλᾷ, κἢν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός. ἔνια δὲ τῶν τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός.*

*Τῶν δὲ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον τάς τε φανερὰς ῥωγμὰς καὶ* | *τὰς ἀφανέας καὶ φλᾷ τε καὶ ἐσφλᾷ* 220 *ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον τὰ στρογγύλα τε καὶ περιφερέα καὶ ἀρτίστομα, ἀμβλέα τε ἐόντα καὶ*

1 *μαλθακότατον* B, *-κώτερον* V  2 *ὅσα δὲ* V  3 *βέλεα τιτρώσκειν* V  *πρὸς τὸ* V  *ἐς τε τὸ* B  3. 4 *καὶ αὐτὸ τ. ὀστ.* om. V  4 *ἐμπεσων* B, *ἐσπεσόν* Rhd.  5 *ἐπισκληρ.* B  *ἅμα* om. V  6 *ἥκιστά τε καὶ ὀξὺ* V  *κοῦφόν* [*καὶ ἥκιστα*] *τε καὶ ὀξὺ* Rhd.  7 *φλάσειε* V  8 *τε* B  *ταῦτα πάσχ. τ. ὀστ. κινδ.* V  *ὅταν* V  9 *γίνεται* B  *τρωθῆναι κατ' ἐναντίον* V  10. 11 *ἄν τε πληγηι . . . ἄν τε βληθηι* B  11 *αὐτεω* B  *ὅπως οὖν* V  12 *γένοιτο* V  13 *τὰ δὲ πλάγ.* V  15 *φλάσει εἴσω ἐς κεφαλήν* pro *φλ. κ. ἔ. ἐσφλᾷ* V  *εἴσω* B  *κἂν* V  15 *ἐνίοτε* Rhd.  *γὰρ* pro *δὲ* V  17 *ψιλοῦται* codd., temptavi *ψιλοῖ τι* cf. Herm. XX p. 189  19 *φλέται* B, *φλᾶται* V, *φλᾷ τε* Erm. Rhd.  20 *εἴσω* B  *ἑωυτέου* B  *στρογγυλά* V  21 *ἀμβλϊα* B  *ὄντα* V

*βαρέα καὶ σκληρά· καὶ τὴν σάρκα ταῦτα φλᾷ τε καὶ πέπειραν ποιεῖ καὶ κόπτει· καὶ τὰ ἕλκεα γίνεται ὑπὸ τῶν τοιούτων βελέων ἔς τε πλάγιον καὶ ἐν κύκλῳ ὑπόκοιλα καὶ διάπυά τε μᾶλλον γίνεται καὶ ὑγρά ἐστιν καὶ ἐπὶ πλέονα χρόνον καθαίρεται. ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας πῦον γενομένας ἐκτακῆναι. τὰ δὲ βέλεα τὰ προμήκεα ἐπὶ πολὺ λεπτὰ ἐόντα καὶ ὀξέα καὶ κοῦφα τήν τε σάρκα διατάμνει μᾶλλον ἢ φλᾷ καὶ τὸ ὀστέον ὡσαύτως· καὶ ἕδρην μὲν ἐμποιεῖ αὐτὸ καὶ διακόψαν — διακοπὴ γὰρ καὶ ἕδρη τωὐτόν ἐστι —, φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαῦτα βέλεα οὐδὲ ῥηγνῦσιν οὐδ᾽ ἐκ τῆς φύσιος ἔσω ἐσφλᾷ.*

*Ἀλλὰ χρὴ πρὸς τῇ ὄψει τῇ ἑωυτοῦ ὅ τι ἄν σοι φαίνηται ἐν τῷ ὀστέῳ καὶ ἐρώτησιν ποιεῖσθαι πάντων τούτων. τοῦ γὰρ μᾶλλόν τε καὶ ἧσσον τρωθέντος ταῦτά ἐστι σημεῖα καὶ ἢν ὁ τρωθεὶς καρωθῇ καὶ σκότος περιχυθῇ καὶ ἢν δῖνος ἔχῃ καὶ πέσῃ.* |

222 12. *Ὁκόταν δὲ τύχῃ ψιλωθὲν τὸ ὀστέον τῆς σαρκὸς ὑπὸ τοῦ βέλεος καὶ τύχῃ κατ᾽ αὐτὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος, χαλεπὸν γίνεται καὶ τὴν ἕδρην τοῦ βέλεος φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φανερὴν γενομένην, εἴτ᾽ ἔνεστιν ἐν τῷ ὀστέῳ, εἴτε μὴ ἔνεστιν,*

1 *φλεται* B, *φλᾶται* V, *φλᾷ τε* Erm. Rhd. 2 *πέπειρον* V *ποιέει* codd. 3 *τοιουτεων* B *ἐς τὸ πλ.* V 4 *ὑπόκοιλα . καὶ διάποιά* B *γίγνεται* B *ἐστι* V *ἐστιν.* B 5 *καθερεται* B 6 *πυος* B, *πύον* V 7 *καὶ* pro *τὰ* ante *προμ.* 8 *ὀξεια* B 9 *ὠσαύτος* B *καὶ* ante *ἕδρην* om. B 10 *ἐμποιέει* codd. *διακόψαντα* Erm. *αὐτῷ καὶ διακοπὴν* Rhd. 13 *εἴσω* B 14 *ἑωυτέου* B 15 *ποιέε.* codd. 16 *τουτεων* B 17 *ταῦτ᾽* V 18 *καὶ δίνος* (*ἣν* om.) V *ἢ* pro *ἔχῃ* V *ἔχει* B 19 *ὅταν* V 21 *γίγνεται* B 22 *φράσεσθαι* B 23 *γινομένην* V *ενὲστιμεντω* B

*καὶ ἢν τύχῃ γενομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥαφῇσιν. συγκλέπτει γὰρ αὐτὴ ἡ ῥαφὴ τρηχυτέρη ἐοῦσα τοῦ |*
*ἄλλου ὀστέου, καὶ οὐ διάδηλον ὅ τι τε αὐτοῦ ῥαφή* 224
*ἐστι καὶ ὅ τι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα μεγάλη γένηται ἡ ἕδρη. προσγίνεται δὲ καὶ ῥῆξις τῇ ἕδρῃ ὡς ἐπὶ τὸ πολὺ τῇ ἐν τῇσι ῥαφῇσι γινομένῃ, καὶ γίνεται καὶ αὐτὴ ἡ ῥῆξις χαλεπωτέρη φράσασθαι ἐρρωγότος τοῦ ὀστέου, διὰ τοῦτο ὅτι κατ᾽ αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆξις γίνεται, ἢν ῥηγνύηται, ὡς ἐπὶ τὸ πολύ. ἕτοιμον γὰρ ταύτῃ ῥήγνυσθαι τὸ ὀστέον καὶ διαχαλᾶν διὰ τὴν ἀσθε|-*
*νείην τῆς φύσιος τοῦ ὀστέου ταύτῃ καὶ διὰ τὴν ἀραιό-* 226
*τητα καὶ δὴ ἅτε τῆς ῥαφῆς ἑτοίμης ἐούσης ῥήγνυσθαι καὶ διαχαλᾶν. τὰ δ᾽ ἄλλα ὀστέα τὰ περιέχοντα τὴν ῥαφὴν μένει ἀρραγέα, ὅτι ἰσχυρότερά ἐστι τῆς ῥαφῆς. ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν γινομένη καὶ διαχάλασίς ἐστι*
*τῆς ῥαφῆς καὶ φράσασθαι οὐκ εὐ|μαρὴς οὔτε ἢν ἀπὸ* 228
*ἕδρης τοῦ βέλεος γενομένης ἐν τῇ ῥαφῇ, ἐπειδὰν ῥαγῇ, καὶ διαχαλάσῃ οὔτε ἢν φλασθέντος τοῦ ὀστέου κατὰ τὰς σάρκας ῥαγῇ καὶ διαχαλάσῃ· ἀλλ᾽ ἔστι χαλεπώτε-*

1 *ἥν τε* pro *καὶ ἢν* V *γινομένη* V *αὐτέησι τ. ῥαφΐησιν* B *ῥαφῇσι* V 2 *συνκλεπτη* B, *συμβλέπει* V, *συγκλέπτεται* Erot. p. 119, 6 Kl., Wb. 3 *ῥαφην* B 4 *ἐστι* V *βέλ. ἡ ἕδ.* B 5 *προσγίγν.* B 6 *τόπου αυτησιν ἐν* B, *τὸ πουλὺ αὕτη ἐν* V, *τὸ πουλὺ τῇ ἐν* Litt., *ἐ. τ. πουλύ, αὐτῇσιν ἐν τῇσι ῥαφῇσι γιγνομένῃσι* Pq. *γινομένῃσι* BV, *-μένῃ* vulg. 7 *αὐτῇ* V *χαλεποτ. φρασεσθαι* B 8 *διατοῦτο* V *ῥαφὴν ἡ ἡ* B 9 *πουλὺ* V 11 *ἀσθένειαν* V *διὰ τὴν* om. V 12 *διά τε* pro *δὴ ἅτε* V *ῥΐγν.* B 13 *τὰ δ᾽ ἄ. τὰ π. ὀστέα* B, *τ᾽ ἄ. τὰ ὀ. τὰ π.* V 14 post *ἀρραγέα* add. *τε και* B *ἰσχυρότατα* B 15 *ῥΐξις* B *διαχαλασιης* B 16 post *εὐμαρὴς* add. *ᾗ* V *οὔτε ἡ ἀπὸ ἕδ.* B, *οὔτε εἰ ἀ. ἕ.* N, *οὔτε ὑπὸ ἕ.* V 17 *ἐπ. ῥαγῇ* scil. *ἡ ῥαφή*, *ἐπ.* om. Litt. *ἐπειδ᾽ ἂν* V 18. 19 *οὔτε ἢν . . . διαχαλάσῃ* om. V, *διαχαλάσθῃ* B 19 *ἔστι* N, *ἔτι* Litt.

*ρον φράσασθαι τὴν ἀπὸ τῆς φλάσιος ῥωγμήν. συγκλέπτουσι γὰρ τὴν γνώμην καὶ τὴν ὄψιν τοῦ ἰητροῦ αὐταὶ αἱ ῥαφαὶ ῥωγμοειδέες φαινόμεναι καὶ τρηχύτεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου, ὅτι μὴ ἰσχυρῶς διεκόπη καὶ διέχαλασεν· διακοπὴ δὲ καὶ ἕδρη τὠυτόν ἐστιν. ἀλλὰ χρή, εἰ κατὰ τὰς ῥαφὰς τὸ τρῶμα γένοιτο καὶ πρός γε τὸ ὀστέον καὶ ἐς τὸ ὀστέον στηρίξειε τὸ βέλος, προσέχοντα τὸν νόον ἀνευρίσκειν ὅ τι ἂν πεπόνθῃ τὸ ὀστέον. ἀπὸ γὰρ ἴσων τε βελέων τὸ μέγεθος καὶ ὁμοίων καὶ πολλὸν [τε] ἐλασσόνων καὶ ὁμοίως τε τρωθεὶς καὶ πολὺ ἧσσον πολλῷ μέζον ἐκτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ ὁ ἐς τὰς ῥαφὰς δεξάμενος τὸ βέλος ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος. καὶ τούτων τὰ πολλὰ πρίεσθαι δεῖ. ἀλλ' οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ' ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιεῖσθαι, ἢν πρίῃς.*

13. *Περὶ δὲ ἰήσιος τρωσίων τῶν ἐν τῇ κεφαλῇ καὶ ὅκως χρὴ ἐξελέγχειν τὰς πάθας τὰς ἐν τῷ ὀστέῳ γινομένας τὰς μὴ φανεράς, ὧδέ μοι δοκεῖ· ἕλκος ἐν κεφαλῇ οὐ χρὴ τέγγειν οὐδενί, οὐδὲ οἴνῳ, ἄλλως ἥκι-*
230 *στα· οὐδὲ καταπλάσσειν οὐδὲ μοτῷ τὴν | ἴησιν ποιεῖ-*

1 *ξυνκλ.* B 2 *αυται* B, *αὗται* V, *αὐταὶ* Erm. 3 *ῥωμοειδέες* V 5 *διεχάλασε* V 7 *καὶ ἐστοοστον* B, *καὶ ἐς τὸ ὀστ.* om. V 8 *χρηστὸν* pro *τὸν* B *ἂν πεπονθῄ* B, *πέπονθε* V 9 *τε* om. V 10 *πολλων* B post *πολλ.* add. *τε* vulg., del. Litt. *τε* ante *τρωθ.* om. V 11 *πολλω* B *μεῖζον* V 12 *ἐς* ss. V *δεξάμενον* B 12. 13 *ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος* V vulg., om. B Scaliger 13 *τουτέων* B 13. 14 *περιεσθαι ται δεῖ* B 15 *ἀποχωρίσαι τὰ* pro *ἀποχωρήσαντα* V *ποιέεσθαι* codd. 16 *περίῃς* B 17 *τρώσηων* V 18 *ὡς* V *ἐλεγχειν* B *γεν.* Erm. Pq. 19 *δοκέει* codd. ante *κεφ.* add. *τῇ* V 20 *τείνειν* V *πλὴν* pro *οὐδὲ* Rhd. *ἀλλ|ωσηκ.* B, *ἄλλως ἡκ.* V, *ἀλλ' ὡς ἥκ.* N 21 *μοτω* V *ἴασιν* V *ποιέεσθαι* codd.

*σθαι· οὐδ' ἐπιδεῖν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος ἐν τῷ ψιλῷ τῶν τριχῶν ἢ περὶ τὴν ὀφρῦν καὶ τὸν ὀφθαλμόν. ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα καταπλάσιος καὶ ἐπιδέσιος μᾶλλον κέχρηται ἤ κου ἄλλοθι τῆς κεφαλῆς τῆς ἄλλης· περιέχει γὰρ ἡ κεφαλὴ ἡ ἄλλη τὸ μέτωπον πᾶν· ἐκ δὲ τῶν περιεχόντων τὰ ἕλκεα καὶ ἐν ὅτῳ ἂν ᾖ τὰ ἕλκεα φλεγμαίνει καὶ ἐπανοιδίσκεται δι' αἵματος ἐπιρροήν. χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ' ἐπειδὰν παύσηται φλεγμαίνοντα καὶ τὸ οἴδημα καταστῇ, παύσασθαι καταπλάσσοντα καὶ ἐπιδέοντα. ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρὴ οὔτε καταπλάσσειν οὔτ' ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς δέοιτο.*

*Τάμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν κεφαλῇ γινομένων | καὶ ἐν μετώπῳ, ὅκου ἂν τὸ μὲν ὀστέον ψιλὸν* 232 *ᾖ τῆς σαρκὸς καὶ δοκῇ τι σίνος ἔχειν ὑπὸ τοῦ βέλεος, τὰ δὲ ἕλκεα μὴ ἱκανὰ τὸ μέγεθος τοῦ μήκεος καὶ τῆς εὐρύτητος ἐς τὴν σκέψιν τοῦ ὀστέου, εἴ τι πέπονθεν ὑπὸ τοῦ βέλεος κακὸν καὶ ὁκοῖόν τι πέπονθε καὶ ὁκόσον μὲν ἡ σὰρξ πέφλασται καὶ τὸ ὀστέον ἔχει τι σίνος, καὶ δ' αὖτε εἰ ἀσινές τέ ἐστι τὸ ὀστέον ὑπὸ τοῦ βέλεος καὶ μηδὲν πέπονθε κακόν, καὶ ἐς τὴν ἴησιν, ὁκοίης τινὸς δεῖται τό τε ἕλκος ἥ τε σὰρξ καὶ ἡ πάθη τοῦ*

1 *οὐδὲ πιέζειν* V 2 ante *ἐν* add. *ἢ* V, om. B 3 *ἐνταῦθα . . . ἐπιρροήν* (8) del. Rhd., *ἐκ δὲ τῶν . . . ἐπιρροήν* del. Erm. 5 *κου* B, *που* V vulg. 6 *ἡ ἄλλη* om. B 7 ante *ὅτω* add. *τῷ* Lind. 8 *ἐπιρροῆς* V 10 *ἐὰν* B, *ἐπειδ' ἂν* V 13 *ἐπειδεῖν* B, *ει* postea ex *ϊ* videtur factum esse 15 *τῇ κεφ.* V *γεν.* Erm. 16 *τῷ μετώπῳ* B *ὅπη* V 17 *δοκέῃ* codd. 18 *μὴ* ⟨*ᾖ*⟩ *ἱκ.* Rhd. *ἱκινα* B 20 *ὅσον* V 21 *ἡ μὲν σ.* V *τι σῖνος* B, *τί σινὸς* V, *τὸ* (vulg.) *σίνος* Litt. Pq. 22 *δ' αυται εἰ* B 23. 24 *ὁκοιηστεινος δειτετο ἕλκ.* B, *οἵης δεῖται τινος τό τε ἕ.* V

*ὀστέου. τὰ δὴ τοιαῦτα τῶν ἑλκέων τομῆς δεῖται. καὶ ὅταν τὸ μὲν ὀστέον ψιλωθῇ τῆς σαρκός, ὑπόκοιλα δὲ ᾖ, ἐς πλάγιον ἐπὶ πολύ, ἐπανατάμνειν τὸ κοῖλον, ὅκου*
234 *μὴ | εὐμαρές ἐστι τῷ φαρμάκῳ ἀφικέσθαι, ὁκοίῳ ἄν τινι χρῇ· καὶ τὰ κυκλοτερέα τῶν ἑλκέων καὶ ὑπόκοιλα ἐπὶ πολὺ καὶ τὰ τοιαῦτα ἐπανατάμνων τὸν κύκλον διχῇ κατὰ μῆκος, ὥσπερ πέφυκεν ὤνθρωπος, μακρὸν ποιεῖν τὸ ἕλκος.*

*Τάμνοντι δὲ κεφαλὴν τὰ μὲν ἄλλα τῆς κεφαλῆς ἀσφαλείην ἔχει ταμνόμενα, ὁ δὲ κρόταφος καὶ ἄνωθεν ἔτι τοῦ κροτάφου, κατὰ τὴν φλέβα τὴν διὰ τοῦ κροτάφου ἐπιφαινομένην, τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν· σπασμὸς γὰρ ἐπιλαμβάνει τὸν τμηθέντα. καὶ ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τμηθῇ κροτάφῳ, τὰ ἐπὶ δεξιὰ ὁ σπασμὸς ἐπιλαμβάνει· ἢν δ' ⟨ἐν τῷ⟩ ἐπὶ δεξιὰ τμηθῇ κροτάφῳ, τὰ ἐπ' ἀριστερὰ ὁ σπασμὸς ἐπιλαμβάνει.*

14. *Ὅταν οὖν τάμνῃς ἕλκος ἐν κεφαλῇ τοῦ ὀστέου εἵνεκα τῆς σαρκὸς ἐψιλωμένου, θέλων εἰδέναι εἴ τι ἔχει τὸ ὀστέον κακὸν ὑπὸ τοῦ βέλεος ἢ καὶ οὐκ ἔχει, τάμνειν χρὴ τὸ μέγεθος τὴν τομήν, ὁκόση ἂν δοκῇ*

1 *τατετοιαυτα* B *ὀστεων* pro *ἑλκέων* B 1. 2 *καὶ ον ἂν το μεν* B, *κακὸν ἂν τὸ μὲν* V *καὶ ἂν μὲν τὸ* Litt. Pq. *καὶ ἂν τὸ μὲν* N Erm., scripsi *καὶ ὅταν τὸ μὲν* 3 *πλάγιον· ἐπιπολὺ ἀνατάμνειν* B *ὁκου* B, *ὅπου* i. m. B², *ὅπη* V 4 *εὐχερές* V *ἐστι* om. V *ἐφικ.* Scaliger, Litt. *ὁκοιω* B, *ὁποιω* i. m. B², *ὁποίῳ* V 5 *χρὴ* codd. *κοι~~κ~~λοτερ$\overset{ε}{α}$* B, *κυκλώτερα* V 6 *πουλὺ* B *ἐπανατάμνειν* Wb. 7 *ὡς* V *ωνθρ.* B, *ἄνθρ.* V 8 *ποιέειν* codd. 10 *ἀσφαλείαν* B *τεμν.* V 11 *φλέβαν* B 12 *ἐπιφενομένην* B, *φερομένην* V 13. 14 *καὶ ἢν μ. ἐπ' ἀρ. τμ. κροτάφου* vulg. 14 *ἐν τῷ* B, om. V *κροτάφῳ* BV 15. 16 *ἢν . . . ἐπιλαμβάνει* om. B 15 ⟨*ἐν τῷ*⟩ add. Rhd. 16 *κροτάφῳ* V, *-ου* vulg. 17 *τάμνεις* B *τοῦ* om. V 18 *ἐπέχει* pro *εἴ τι ἔχει* V 19 *ἢ* V 20 *της τομης* B, *τὴν τολίην* V, *τὴν ὠτειλήν* vulg., scripsi *τὴν τομήν* *ὁκοσηι ἢν* B, *ὅση ἂν* V *δοκέῃ* codd.

*ἀποχρῆναι. τάμνοντα δὲ χρὴ ἀναστεῖλαι τὴν σάρκα ἀπὸ τοῦ ὀστέου, ᾗ πρὸς τῇ μήνιγγι καὶ πρὸς τῷ ὀστέῳ | πέφυκεν· ἔπειτα διαμοτῶσαι πᾶν τὸ ἕλκος μοτῷ, ὅστις* 236 *εὐρύτατον τὸ ἕλκος παρέξει ἐς τὴν ὑστεραίην σὺν ἐλαχίστῳ πόνῳ· μοτώσαντα δὲ χρὴ καταπλάσματι χρῆσθαι, ὁκόσον ἄνπερ χρόνον καὶ τῷ μοτῷ, μάζῃ ἐκ λεπτῶν ἀλφίτων· ἐν ὄξει δὲ μάσσειν, ἕψειν δὲ καὶ γλίσχρην ποιεῖν ὡς μάλιστα.*

*Τῇ δ' ὑστεραίῃ ἡμέρῃ ἐπειδὰν ἐξέλῃς τὸν μοτόν, κατιδὼν τὸ ὀστέον ὅ τι πέπονθεν, ἐὰν μή σοι καταφανὴς ᾖ ἡ τρῶσις, ὁκοίη τίς ἐστιν ἐν τῷ ὀστέῳ, μηδὲ διαγινώσκῃς, εἴτε τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ ἢ καὶ οὐκ ἔχει, τὸ δὲ βέλος δοκῇ ἀφικέσθαι ἐς τὸ ὀστέον καὶ σίνασθαι, ἐπιξύειν χρὴ τῷ ξυστῆρι κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀνθρώπου ὡς πέφυκε καὶ αὖτις ἐπικάρσιον τὸ ὀστέον τῶν ῥηξίων εἵνεκα τῶν ἀφανέων ἰδεῖν καὶ τῆς φλάσιος εἵνεκα τῆς ἀφανέος τῆς οὐκ ἐσφλωμένης ἔσω ἐκ τῆς φύσιος τῆς κεφαλῆς τοῦ ἄλλου ὀστέου. ἐξελέγχει γὰρ ἡ ξῦσις μάλα τὸ κακόν, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι ἐοῦσαι ἐν | τῷ ὀστέῳ. καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ ὀστέῳ* 238 *τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην καὶ τὰ*

1 *ἄνω χρῆναι* V *ἀναστεῖλαι* V, *διαστ.* B 2 *ἧι* B, *ἣ* V 2. 3 *ᾗ . . . πέφυκεν* eiecit Erm. 3 *τὸ ἕ. πᾶν* V post *ὅστις* add. *ἂν* V, om. B 4 *ξὺν* codd. 5 *χρὴ* om. V 6 *ὅσον* V *περ* om. V *μάζῃ* V, *-ης* Pq. *μαζησκλεπτων* B 7 ⟨*ἣν*⟩ *ἐν ὄξει δεῖ μάσσειν* Wb. *εψιν* B 8 *ποιέειν* codd. 9 *ἐπειδ' ἂν* ut solet V *ἐξέλεις* B 11 *ὁποίη* V 12 *ἑωυτεω* B 13 *δοκέῃ* B 14 *σίνεσθαι* B, *σινᾶσθαι* V, *σίνασθαι* Litt. post *σίν.* add. *τὴν σαρκα* B ante *χρὴ* add. *τε* B 15. 16 *καὶ αὖτις εἰ ἡ κάρσιον τ. ὀ.* V *αὖθις* B 16 *ῥήξεων* codd. *ενεκα* B 18 *ἐσφαλωμένης* B *εἴσω* B 19 *ξύσ.* cet. *μᾶλλον* pro *μάλα τ. κ.* V 20. 21 *αἱ οὖσαι* B, *οὖσαι* V, *αἱ ἐ.* NPq. 21 post *ὀστέῳ* add. *τοῦ βέλεος* V, om. B post *ἕδρην* add. *τοῦ βέλεος* V, om. B

*περιέχοντα αὐτὴν ὀστέα, μὴ πολλάκις τῇ ἕδρῃ προσγένηται ῥῆξις καὶ φλάσις ἢ μούνη φλάσις, ἔπειτα λανθάνῃ οὐ καταφανέα ἐόντα.*

*Ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκῇ ἐς πρίσιν ἀφήκειν ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ καὶ οὐ δεῖ τὰς τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἄπρίωτον, ἀλλ᾽ ἐν ταύτῃσι πρίειν ἄλλως τε καὶ τῆς θερμῆς ὥρης, ἢν ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα. ἢν δὲ ὑποπτεύῃς μὲν τὸ ὀστέον ἐρρωγέναι ἢ πεφλάσθαι ἢ ἀμφότερα ταῦτα, τεκμαιρόμενος ὅτι ἰσχυρῶς τέτρωται ἐκ τῶν λόγων τοῦ τρωματίου, καὶ ὅτι ὑπὸ ἰσχυροτέρου τοῦ τρώσαντος, ἢν ἕτερος ὑφ᾽ ἑτέρου τρωθῇ, καὶ τὸ βέλος ὅτῳ ἐτρώθη ὅτι τῶν κακούργων βελέων ἦν, ἔπειτα τὸν ἄνθρωπον εἰ δῖνός τε ἔλαβεν καὶ σκότος καὶ εἰ ἐκαρώθη καὶ κατέπεσεν, τούτων δὲ οὕτω γινομένων, ἢν μὴ διαγινώσκῃς, εἰ ἔρρωγεν τὸ ὀστέον ἢ πέφλασται ἢ καὶ ἀμφότερα ταῦτα μηδὲ ἄλλως ὁρέων,*
240 *δεῖ δὴ | ἐπὶ τὸ ὀστέον τὸ τηκτὸν τὸ μελάντατον δεύσαντα τῷ μέλανι φαρμάκῳ τῷ τηκομένῳ στεῖλαι τὸ ἕλκος ὑποτείνας ὀθόνιον ἐλαίῳ τέγξαι, εἶτα καταπλάσας*

1 *μὴ* ⟨*ἃ*⟩ *πολλ. τ. ἕ. προσγεγένηται, ῥ. κ. φλ.*, Rhd. *προστένηται* V 2 *ἢ μούνη φλάσις* in textu omissum in marg. inferiore add. B[2] 5 *δοκείη* V, *-έῃ* rel. codd. *ἀφήκειν* B Erm. Pq., *ἀφίκ.* V cet. 6 *οὐ δὴ* B, *οὐ δεῖ* N, om. V 8 *ὥρησιν* pro *ὥρης, ἢν* B *ὑποπτεύσῃς* V 9 *πεφλᾶσθαι* V 10 *ἰσχυροῦ* V 12 *ἕτερον* pro *ἕτερος* B *καὶ τὸ β. ὅ. ἐτ.* om. B[1], in m. adscr. B[2] 14 *ὅτι* pro *εἰ* V *δίνος* V *ἔλαβε* V 15 *εἰ* ante *ἐκαρ.* om. V *κατέπεσε* V 16 *διαγιγν.* B *ἔρρωγε* V 17 *μήτε* codd., *μηδὲ* Rhd., *μή τι* Wb. *ὁρῶν* V *ὅλως ὁρῶν δύνῃ* E, *ὅλ. ὁρᾶν δύνῃ* Litt., *ὅ. ὁρέων δύνῃ* Pq. 18 *τὸ τηκτον* B, *τίκτον* V, *τήκειν* pro *τὸ τ.* vulg. *δεύσας* Pq. 19 *στεῖλαι* B, om. V vulg. *τό τε ἕλκ.* vulg., *τε* om. BV *στεῖλαι . τὸ* ⟨*δὲ*⟩ *ἕλκ.* Wb. 20 *τέγξας* B V Pq., *τέγξαι* vulg.

*τῇ μάζῃ ἐπιδῆσαι. τῇ δὲ ὑστεραίῃ ἀπολύσας, ἐκκαθήρας τὸ ἕλκος ἐπιξῦσαι, καὶ ἢν μὴ ὑγιὲς ᾖ, ἀλλ' ἐρρώγῃ καὶ πεφλασμένον ᾖ, τὸ μὲν ἄλλο ἔσται ὀστέον λευκὸν ἐπιξυόμενον, ἡ δὲ ῥωγμὴ καὶ ἡ φλάσις κατατακέντος τοῦ | φαρμάκου δεξαμένη τὸ φάρμακον ἐς ἑωυτὴν μέ-* 242
*λαν ἐὸν ἔσται μέλαινα ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλλῳ. ἀλλὰ χρὴ αὖτις τὴν ῥωγμὴν ταύτην φανεῖσαν μέλαιναν ἐπιξύειν κατὰ βάθος· καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν ἐξέλῃς καὶ ἀφανέα ποιήσῃς, φλάσις μὲν γεγένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον, ἥτις περ ἔρρηξεν καὶ τὴν ῥωγμὴν τὴν ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος, ἧσσον δὲ φοβερὸν καὶ ἧσσον ἂν πρῆγμα ἀπ' αὐτῆς γίνοιτο ἀφανισθείσης τῆς ῥωγμῆς. ἢν δὲ κατὰ βάθος ᾖ καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, ἐς πρίσιν ἀφήκει ἤδη ἡ τοιαύτη συμφορή. ἀλλὰ χρὴ πρίσαντα τὰ λοιπὰ ἰητρεύειν τὸ ἕλκος.*

15. *Φυλάσσεσθαι δὲ χρὴ ὅκως μή τι κακὸν ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκός, ἢν κακῶς ἰητρεύηται. ὀστέῳ γὰρ καὶ πεπρισμένῳ καὶ ἄλλως ἀπρίστῳ, ἐψιλωμένῳ δέ, καὶ ὑγιεῖ [δὲ] ἐόντι καὶ ἔχοντί τι σίνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιεῖ εἶναι, κίνδυνός ἐστι*

1 *δ'* V 2 *ἐπιξυσαι* B *ᾖ ὑγιὲς* V 4 *ξυόμενον* V 6 *μέλαν ἐὸν* corr. in *μελάνεον* V *μέλαν* codd., *μέλαινα* Scaliger *μὲν* pro *ἐν* B 7 *αὖτις* V, *αὖθις* B vulg. 8 *ἐπιξέειν* codd., *ἐπιξύειν* Aemilius Portus, Wb. *βαθους* B post *ῥώγμην* add. *ταύτην φανεῖσαν μέλαιναν* V, om. B 9 *ἐξέλεις κ. ἀφανεαν ποιησεις* B 10 *περιέρρηξεν* BPq. *περ ἔρρηξε* V 12 *τα πραγματα* pro *πρῆγμα* B *αυτεης* B *γιγνοιτο* B, *γέν.* V, scripsi *γίν.* 13 *βάθους* BV 14 *ἐς πρ. ἀφήκει* B, *ἀφίκει ἐς πρ.* V 14. 15 *ἡ δὴ τοιαύτη* BV, *δὴ* om. vulg., *ἤδη ἡ* Rhd. 15 *ξυμφ.* codd. 17 *ὅπ.* V et i. m. B[2] 19 *ἄλλως ἀπριστω ἐψ. δὲ καὶ* B *ἀπρ.* et *δὲ καὶ* om. cet. 20 *δὲ* post *ὑγ.* del. Wb. *σινὸς* V

*μᾶλλον ὑπόπυον γενέσθαι, ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται καὶ φλεγμαίνῃ τε καὶ περισφίγγηται. πυρετῶδες γὰρ γίνεται καὶ πολλοῦ φλογμοῦ πλέον· καὶ δὴ τὸ ὀστέον ἐκ τῶν περιεχουσέων σαρκῶν ἐς ἑωυτὸ θέρμην τε καὶ φλογμὸν καὶ ἄραδον ἐμποιεῖ καὶ σφυγμὸν καὶ ὁκόσα περ ἡ σὰρξ ἴσχει κακὰ ἐν ἑωυτῇ καὶ ἐκ τούτων οὕτως ὑπόπυον γίνεται. κακὸν δὲ καὶ ὑγρήν τε εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει καὶ μυδῶσαν καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα. οὕτω γὰρ ἂν ἥκιστα*
244 *φλεγμαίνοι τὰ περιέχοντα | τὸ ἕλκος καὶ τάχιστα καθαρὸν εἴη· ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος ὑποπύους γενομένας ἐκτακῆναι. ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γίνεσθαι τὸ ἕλκος· οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς, καὶ οὕτως οὐκ ἂν ὑπερσαρκήσειεν τὸ ἕλκος. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῆς μήνιγγος τῆς περὶ τὸν ἐγκέφαλον· ἢν γὰρ αὐτίκα ἐκπρίσας τὸ ὀστέον καὶ ἀφελὼν ἀπὸ τῆς μήνιγγος ψιλώσῃς, αὐτὴν καθαρὴν χρὴ ποιῆσαι ὡς τάχιστα καὶ ξηρήν, ὡς μὴ ἐπὶ πολὺν χρόνον ὑγρὴ ἐοῦσα*

1 *ὑπὸ πύθη* pro *ὑπόπυον* V *ἢν μὴ καὶ ἄλλ.* B, *ἢν κ. ἄ. μὴ* V 3 *φλεγμαίνητε* B, *-μαίνηται* V, *φλεγμαίνῃ τε* Ern. ante *περισφ.* add. *ἰώμενον* B Pq., *ἰαινόμενον* Wb. *πυρετῶδες* codd., *-τώδης* Rhd. 4 *γίγν.* B *φλεγμοῦ* B *πλέον* B, *πλέων* V 5 *περιεχουσῶν* codd. *σαρκέων* V 6 *ἐμποιέει* codd. 7 *ὅσα περ* V *ἔχει* V *ἑωυτέῃ* B 8 *τουτέων* codd. *ὧδε* V, *οὗτος* B 9 *μαδ.* B 10 *πολλυν* B 11 *οὕτως* B 12 *τάχιστ' ἂν* V 13 *εἴηι* B 14 *ὑποποιους γιγν.* B 15 *γίγν.* B 17 *οὕτως* B 18 *ὑπερσαρκίσῃ* V *δ'* V 19 *ὑπὲρ τ. μήν.* V *τω ἐγκεφαλω* B 22 *πουλῦν* V

*μυδῇ τε καὶ ἐξερῆται· τούτων γὰρ οὕτω γινομένων σαπῆναι αὐτὴν κίνδυνος.* |

16. *Ὀστέον δὲ ὅ τι δεῖ ἀποστῆναι ἀπὸ τοῦ ἄλλου* 246
*ὀστέου ἐξ ἕλκεος ἐν κεφαλῇ γενομένου ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ ἢ ἄλλως ἐπὶ πολὺ ψιλωθέντος τοῦ ὀστέου ἀφίσταται ἐπὶ πολὺ ἔξαιμον γενόμενον. ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν πλείστων. τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοι τὸ λοιπὸν τό τε ἕλκος καὶ τὸ ὀστέον, καὶ τὸ μέζον καὶ τὸ ἧσσον. τὸ γὰρ τάχιστα ἀποξηρανθὲν καὶ ἀποστρακωθὲν τούτῳ μάλιστα ἀφίσταται ἀπὸ τοῦ ἄλλου ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος, αὐτὸ ἔξαιμόν τε γενόμενον καὶ ξηρὸν [τῷ ἐναίμῳ καὶ ζῶντι μάλα ἀφίσταται].* |

17. *Ὅσα δὲ τῶν ὀστέων ἐσφλᾶται ἔσω ἐκ τῆς φύ-* 248
*σιος τῆς ἑωυτῶν καταρραγέντα ἢ καὶ διακοπέντα πάνυ εὐρέα, ἀκινδυνότερα τὰ τοιαῦτα γίνεται, ἐπὴν ἡ μῆνιγξ ὑγιὴς ᾖ· καὶ τὰ πλέοσι ῥωγμῆσιν ἐσκαταρραγέντα καὶ εὐρυτέρῃσιν ἔτι ἀκινδυνότερα καὶ εὐμαρέστερα ἐς τὴν ἀφαίρεσιν γίνεται. καὶ οὐ χρὴ πρίειν τῶν τοιούτων*

1 *μυδαι* B, *μηδύῃ* V, *μυδήῃ* vulg. *ξαινηται* B, *ἐξαίρηται* V vulg., *ἐξερῆται* Wb. *τουτεων* B *οὕτως γιγν.* B 3 *δὴ ἀποστ. δεῖ* V *ὅτου* pro *ἀπὸ τοῦ* V 4 ante *ἕλκ.* add. *ἐξ* B, om. cet. 5 *βέλ. ἐν τῷ ὀ* desinit hic B, duodeviginti (cf. H. Schöne, Apollon. v. Kit. p. IX) foliis evulsis. Sequitur *Γαληνοῦ περὶ καταγμάτων*, cf. vol. I, p. XIV. In illius locum succedunt duo eiusdem collectionis Parisini M et N, de quibus cf. H. Schöne, l. l., p. XIX et XX 5 *πουλυ*, ut solet, utroque loco V 6 *γενόμ.* Erm., *γιν.* cod. 10 *ξηραίνοι τὸ* MN *ξηραίνοιτο* V 11 *μεῖζον* codd. 12 *ἀπεστρακὸς, ἐν* codd., *ἀποστρακωθὲν* Litt. *τοῦτο* pro *τούτῳ* Erm. *ἀφίεται* V, *ἀφί$^{στα}$εται* MN 13 *αὐτέον* codd., *αὐτὸ* Erm. 14 *ἐφίσταται* Litt. *τῷ ἐναίμῳ . . . ἀφ.* del. Erm.

*οὐδὲν οὐδὲ κινδυνεύειν τὰ ὀστέα πειρώμενον ἀφαιρεῖν πρὶν ἢ αὐτόματα ἐπανίῃ [εἰκὸς πρῶτον χαλάσαντος].*
250 *ἐπανέρχεται δὲ τῆς σαρκὸς | ὑποφυομένης· ὑποφύεται δὲ ἐκ τῆς διπλόης τοῦ ὀστέου καὶ ἐκ τοῦ ὑγιέος, ἢν ἡ ἄνωθεν μοῖρα μούνη σφακελίσῃ. οὕτω δ' ἂν τάχιστα ἥ τε σὰρξ ὑποφύοιτο καὶ βλαστάνοι καὶ τὰ ὀστέα ἐπανίοι, εἴ τις τὸ ἕλκος ὡς τάχιστα διάπυον ποιήσας καθαρὸν ποιήσειεν. καὶ ἢν διὰ παντὸς τοῦ ὀστέου ἄμφω αἱ μοῖραι ἐσφλασθῶσιν ἔσω ἐς τὴν μήνιγγα, ἥ τε ἄνω μοῖρα τοῦ ὀστέου καὶ ἡ κάτω, ἰητρεύοντι ὡσαύτως τὸ ἕλκος ὑγιὲς τάχιστα ἔσται, καὶ τὰ ὀστέα τάχιστα ἐπάνεισι τὰ ἐσφλασθέντα ἔσω.*

18. *Τῶν δὲ παιδίων τὰ ὀστέα καὶ λεπτότερά ἐστι καὶ μαλθακώτερα διὰ τοῦτο, ὅτι ἐναιμότερά ἐστι καὶ κοῖλα καὶ σηραγγώδεα καὶ οὔτε πυκνὰ οὔτε στερεά. καὶ ὑπὸ τῶν βελέων ἴσων τε ἐόντων καὶ ἀσθενεστέρων καὶ τρωθέντων ὁμοίως τε καὶ ἧσσον τὸ τοῦ νεωτέρου παιδίου καὶ μᾶλλον καὶ θᾶσσον ὑποπυίσκεται ἢ τὸ τοῦ πρεσβυτέρου καὶ ἐν ἐλάσσονι χρόνῳ· καὶ ὅσα ἂν ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὁ νεώτερος τοῦ πρεσβυτέρου θᾶσσον ἀπόλλυται.*

*Ἀλλὰ χρή, ἢν ψιλωθῇ τῆς σαρκὸς τὸ ὀστέον, προσέχοντα τὸν νόον πειρᾶσθαι διαγινώσκειν, ὅ τι μὴ ἔστι τοῖσιν ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνῶναι, εἰ ἔρρωγε τὸ*

1 *κινδεύειν* V *ἀφαιρέειν* codd. 2 *οἴδεος* pro *εἰκὸς* Litt. Glossema (ita etiam Litt. iudicat X, p. XXI) expunxi, sicut ante me expunxerunt Erm. et Rhd. 4 *δ'* V 5 *μοῖρα* vulg., *μοίρα* V post *μοῖρα* add. *τοῦ ὀστέου* V, *τοῦ ὀστ.* om. MN 7 *διαπύθῃ* V 8 *ποιήσηται* vulg., *πυήσηται* V, scripsi *ποιήσειεν* 10 *μοίρα* V, *μοίρῃ* vulg. 15 *καὶ σηραιτώδεα* V, *καὶ οὔτε σηραγγώδεα* vulg., *καὶ οὔτε σκληρώδεα* MN, *καὶ σηραγγ. καὶ οὔτε σκληρὰ* (*ξηρὰ* Rhd.) *οὔτε πυκνὰ κτλ.* Erm. 23 *πειρῆσθαι* V, *-ᾶσθαι* MN *μὴ ἔστι* V, *μή ἐ.* vulg.

*ὀστέον καὶ [εἰ] πέφλασται ἢ μοῦνον πέφλασται καὶ εἰ
ἕδρης γενομένης τοῦ βέλεος πρόσεστι φλάσις ἢ ῥωγμὴ
ἢ ἄμφω ταῦτα· καὶ ἤν τι τούτων πεπόνθῃ τὸ ὀστέον,
ἀφεῖναι τοῦ αἵματος τρυπῶντα τὸ ὀστέον σμικρῷ τρυ-
πάνῳ φυλασσόμενον ἐπ' ὀλίγον· λεπτότερον γὰρ τὸ
ὀστέον καὶ ἐπιπολαιότερον τῶν νέων ἢ τῶν πρεσβυτέρων.*

19. *Ὅστις δὲ μέλλει ἐκ τρωμάτων ἐν κεφαλῇ ἀπο-
θνήσκειν καὶ | μὴ δυνατὸν αὐτὸν ὑγιᾶ γενέσθαι μηδὲ* 252
*σωθῆναι, ἐκ τῶνδε τῶν σημείων χρὴ τὴν διάγνωσιν
ποιεῖσθαι τοῦ μέλλοντος ἀποθνήσκειν καὶ προλέγειν
τὸ μέλλον ἔσεσθαι· πάσχει γὰρ τάδε· ὁκόταν τις ὀστέον
κατεηγὸς ἢ ἐρρωγὸς ἢ πεφλασμένον ἢ ὅτῳ γοῦν τρόπῳ
κατεηγὸς ἐννοήσας ἁμάρτῃ καὶ μήτε ξύσῃ μήτε πρίσῃ
μήτε δεόμενον, μήτε δὲ ὡς ὑγιέος ἐόντος τοῦ ὀστέου,
πρὸ τῶν τεσσαρεσκαίδεκα ἡμερέων πυρετὸς ἐπιλήψεται
ὡς ἐπὶ πολὺ ἐν χειμῶνι· ἐν δὲ [τῷ] θέρει μετὰ τὰς
ἑπτὰ ἡμέρας ὁ πυρετὸς ἐπιλαμβάνει. καὶ ἐπειδὰν τοῦτο
γένηται, τὸ ἕλκος ἄχροον γίνεται καὶ ἐξ αὐτοῦ ἰχὼρ
ῥεῖ σμικρὸς καὶ τὸ φλεγμαῖνον ἐκτέθνηκεν ἐξ αὐτοῦ
καὶ βλιχῶδες γίνεται | καὶ φαίνεται ὥσπερ τάριχος* 254
*χροιὴν πυρρόν, ὑποπέλιον, καὶ τὸ ὀστέον σφακελίζειν
τηνικαῦτα ἄρχεται καὶ γίνεται περκνόν, λευκὸν ἐόν,*

1 *εἰ* del. Erm. Rhd. 8 *μὴ δὲ* codd., *μηδὲ* Lind. 10 *ποιέεσθαι* codd. 11 *τόδε* MN *ὁπ.* codd. *τίς* V 12 *γ' οὖν* V 13 ante *ἐνν.* add. *μὴ* Litt. Erm., *ἀγνοήσας* Rhd. 14 *μήτε πρ. δεόμ., μεθῇ δὲ* Litt. Erm. Rhd. *ὄντος* codd. 16 *πουλὺ* MN *ἐν* ante *χειμ.* om. M *τῷ* ipse delevi, cf. p. 5, 6 18 *γ////νεται* V 19 *ῥέει* MN, *ῥέοι* V, scripsi *ῥεῖ* 20 *γλισχρῶδες* codd., *βλιχῶδες* Erotianus (p. 58 ed. Klein). Idem probatur ab Archigene Hippocratis verba imitante (Oribasius ed. Bussemaker et Daremberg IV, 194) 22 *λεῖον* codd. Pq., *λευκὸν* Litt. Erm. ex Manialdi (Hipp. Coi chirurgia, Paris. 1619, p. 406) emendatione *ὂν* codd. *μελανέον* pro *λ. ἐὸν* Rhd.

*τελευταῖον δὲ ἔπωχρον γενόμενον ἢ ἔκλευκον. ὅταν δ' ἤδη ὑπόπυον ᾖ, ἐπὶ τῇ γλώσσῃ φλυκταῖναι γίνονται καὶ παραφρονέων τελευτᾷ· καὶ σπασμὸς ἐπιλαμβάνει τοὺς πλείστους τὰ ἐπὶ θάτερα τοῦ σώματος. ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπὶ δεξιὰ τοῦ σώματος ὁ σπασμὸς λαμβάνει· ἢν δ' ἐν τῷ ἐπὶ δεξιὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπ' ἀριστερὰ τοῦ σώματος ὁ σπασμὸς ἐπιλαμβάνει. εἰσὶ δ' οἳ καὶ ἀπόπληκτοι γίνονται· καὶ οὕτως ἀπόλλυνται πρὸ ἑπτὰ ἡμερέων ἐν θέρει ἢ τεσσάρων καὶ δέκα ἐν χειμῶνι. ὁμοίως δὲ τὰ σημεῖα ταῦτα σημαίνει καὶ ἐν πρεσβυτέρῳ ἐόντι τῷ τρωματίῃ καὶ ἐν νεωτέρῳ. ἀλλὰ χρή, εἰ ἐννοοίης τὸν πυρετὸν ἐπιλαμβάνοντα καὶ τῶν ἄλλων τι σημεῖον τούτῳ προσγενόμενον, μὴ διατρίβειν, ἀλλὰ πρίσαντα τὸ ὀστέον πρὸς τὴν μήνιγγα ἢ καταξύσαντα τῷ ξυστῆρι — καπυρὸν δὲ γίνεται καὶ εὔξυστον — ἔπειτα τὰ λοιπὰ οὕτως ἰητρεύειν ὅκως ἂν δοκῇ συμφέρειν πρὸς τὸ γινόμενον ὁρέων.*

20. *Ὅταν δ' ἐπὶ τρώματι ἐν κεφαλῇ ἀνθρώπου ἢ πεπριωμένου ἢ ἀπριώτου, ἐψιλωμένου δὲ τοῦ ὀστέου οἴδημα ἐπιγένηται ἐρυθρὸν καὶ ἐρυσιπελατῶδες ἐν τῷ*
256 *προσώπῳ καὶ ἐν τοῖσιν ὀφθαλμοῖσιν | ἀμφοτέροισιν ἢ τῷ ἑτέρῳ, καὶ εἴ τις ἅπτοιτο τοῦ οἰδήματος ὀδυνῷτο, καὶ πυρετὸς ἐπιλαμβάνῃ καὶ ῥῖγος, τὸ δὲ ἕλκος αὐτὸ*

1 *ἀπάνωχρον* V *γενόμ.* del. Fuchs III 277 *ἢ* del. Rhd. *ὅτ' ἂν* V 2 *ἢ* codd., *ᾖ* Foes *γίνωνται* codd. 3 *ἐπιλαμβάνῃ* V 5. 6 *ἐν τῷ ἐπ' ἀρ. . . . ἢν δ' ἐν* om. MN 7 *ἐπιδέξια* V *τὸ* V 12 *τρώματι ἢ* codd., *τρωματίῃ* Erm. 13 *εἰ* om. V *ἐννοίης* V, *ἐννοοίης* MN 16 *καπυρὸν δ. γ. καὶ εὔξυστον* VMN, *εὔπριστον δ. γ. κ. εὔξ.* vulg., *καπ.* om. Litt. Erm. Pq., *καπ. δ. γ. κ. εὔξ.* Rhd. 17 *ὅπως* V *δοκέῃ ξυμφ.* V 18 *ὁρῶν* codd., scripsi *ὁρέων* 23 *ὀδυνῶτο* codd., *ὀδυνᾶται* Rhd. 24 *ἐπιλαμβάνει* codd., *-νοι* Litt., *-νῃ* Rhd. *ῥίγος* V 24 sq. *αὐτό τε ἀπὸ* MN, *αὐτὸ τὲ ἀπὸ* V

⟨τά⟩ τε ἀπὸ τῆς σαρκὸς καλῶς ἔχῃ ἰδέσθαι καὶ τἀπὸ τοῦ ὀστέου καὶ τὰ περιέχοντα τὸ ἕλκος ἔχῃ καλῶς, πλὴν τοῦ οἰδήματος τοῦ ἐν τῷ προσώπῳ, καὶ ἄλλην ἁμαρτάδα μηδεμίαν ἔχῃ τὸ οἴδημα τῆς ἄλλης διαίτης, τούτου χρὴ τὴν κάτω κοιλίην ὑποκαθῆραι φαρμάκῳ, ὅ τι χολὴν ἄγει. καὶ οὕτω καθαρθέντος ὅ τε πυρετὸς ἀφίησι καὶ τὸ οἴδημα καθίσταται καὶ ὑγιὴς γίνεται. τὸ δὲ φάρμακον χρὴ διδόναι πρὸς τὴν δύναμιν τοῦ ἀνθρώπου ὁρέων, ὡς ἂν ἔχῃ ἰσχύος.

21. *Περὶ δὲ πρίσιος*, ὅταν καταλάβῃ ἀνάγκη πρῖσαι ἄνθρωπον, ὧδε γινώσκειν· ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα πρίῃς, οὐ χρὴ ἐκπρίειν τὸ ὀστέον πρὸς τὴν μήνιγγα αὐτίκα· οὐ γὰρ συμφέρει τὴν μήνιγγα ψιλὴν εἶναι τοῦ ὀστέου ἐπὶ πολὺν χρόνον κακοπαθέουσαν, ἀλλὰ τελευτῶσά κῃ καὶ διεμύδησεν. ἔστι δὲ καὶ ἕτερος κίνδυνος, ἢν αὐτίκα ἀφαιρῇς πρὸς τὴν μήνιγγα ἐκπρίσας τὸ ὀστέον, τρῶσαι ἐν τῷ ἔργῳ τῷ πρίονι τὴν μήνιγγα. ἀλλὰ χρὴ πρίοντα, | ἐπειδὰν ὀλίγου πάνυ δέῃ 258 διαπεπρῖσθαι καὶ ἤδη κινῆται τὸ ὀστέον, παύσασθαι πρίοντα καὶ ἐᾶν ἐπὶ τὸ αὐτόματον ἀποστῆναι τὸ ὀστέον. ἐν γὰρ τῷ διαπριωτῷ ὀστέῳ καὶ ἐπιλελειμμένῳ τῆς πρίσιος οὐκ ἂν ἐπιγένοιτο κακὸν οὐδέν· λεπτὸν γὰρ

1 ⟨τά⟩ add. Rhd. ἔχοι codd., ἔχῃ Rhd. τ' ἀπὸ V 2 ἔχοι MN, ἔχῃ V vulg. Rhd. 4 μὴ δὲ μίαν V ἔχοι NV vulg., ἔχει M, ἔχῃ Rhd. 9 ὁρῶν codd., scripsi ὁρέων 12 περιῆς codd., πρίῃς Scaliger. 14 πουλὺν MN, -λῦν V κακοπαθοῦσαν codd., -έουσαν Rhd. 15 τελευτῶσά πη (scripsi κῃ) καὶ δ. MNV, τελευταῖον σάπη (ἐσάπη EL Littraei) καὶ δ. vulg., πολλάκις γὰρ διεμύδησε καὶ τελευτῶσα ἐσάπη pro ἀλλὰ . . . διεμ. Rhd. 16 ἀφαιρέῃς codd., scripsi -ῇς 18 ὀλίγον codd. Litt. Pq., ὀλίγου cet. edit. 19 κινέεται codd., -έηται vulg., scripsi -ῆται 21 διαπρίω τῶ MNV ἐπελεληιμμένω MV, ἐπελελησμένω (μ supra σ) N

*τὸ λειπόμενον ἤδη γίνεται. τὰ δὲ λοιπὰ ἰᾶσθαι χρή, ὡς ἂν δοκῇ συμφέρειν τῷ ἕλκει.*

*Πρίοντα δὲ χρὴ πυκινὰ ἐξαιρεῖν τὸν πρίονα τῆς θερμασίης εἵνεκα τοῦ ὀστέου καὶ ὕδατι ψυχρῷ ἐναποβάπτειν. θερμαινόμενος γὰρ ὑπὸ τῆς περιόδου ὁ πρίων καὶ τὸ ὀστέον ἐκθερμαίνων καὶ ἀναξηραίνων κατακαίει καὶ μέζον ποιεῖ ἀφίστασθαι τὸ ὀστέον τὸ περιέχον τὴν πρίσιν ἢ ὅσον μέλλει ἀφίστασθαι. καὶ ἢν αὐτίκα βούλῃ ἐκπρῖσαι τὸ πρὸς τὴν μήνιγγα, ἔπειτα ἀφελεῖν τὸ ὀστέον, ὡσαύτως χρὴ πυκινά τε ἐξαιρεῖν τὸν πρίονα καὶ ἐναποβάπτειν τῷ ὕδατι τῷ ψυχρῷ.*

*Ἢν δὲ μὴ ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα, ἀλλὰ παρ' ἄλλου παραδέχῃ ὑστερίζων τῆς ἰήσιος, πρίονι χρὴ χαρακτῷ ἐκπρίειν μὲν αὐτίκα τὸ ὀστέον πρὸς τὴν μήνιγγα, θαμινὰ δὲ ἐξαιρεῦντα τὸν πρίονα σκοπεῖσθαι καὶ ἄλλως καὶ τῇ μήλῃ πέριξ κατὰ τὴν ὁδὸν τοῦ πρίονος· καὶ γὰρ πολὺ θᾶσσον διαπρίεται τὸ ὀστέον, ἢν ὑπόπυόν τε ἐὸν ἤδη καὶ διάπυον πρίῃς, καὶ πολλάκις τυγχάνει ἐπιπόλαιον ἐὸν τὸ ὀστέον, ἄλλως τε καὶ ἢν ταύτῃ τῆς κεφαλῆς ᾖ τὸ τρῶμα, ᾗ τυγχάνει λεπτότερον ἐὸν τὸ ὀστέον ἢ παχύτερον. ἀλλὰ φυλάσσεσθαι χρή, ὡς μὴ λάθῃς προσβαλὼν τὸν πρίονα, ἀλλ' ὅκῃ δοκεῖ πάχιστον εἶναι τὸ ὀστέον, ἐς τοῦτο αἰεὶ ἐνστηρίζειν τὸν*

1 *ἰῆσθαι* MN 2 *δοκέῃ ξυμφ.* codd. 3 *πυκνὰ* M *ἐξαιρέειν* codd., scripsi *-ρεῖν* 4 *θερμασίας* codd., *-ίης* vulg. 5 *ὁ* om. V 7 *μεῖζον* codd.; scripsi *μέζ.* *ποιέει* codd., scripsi *-εῖ* 8 *βούλει* MN 9 *ἀφελέειν* codd., scripsi *-εῖν* 10 *πυκνὰ* M *ἐξαιρέειν* codd., scripsi *-εῖν* 13 *παραδέχῃ* om. Rhd. *ὑστερίζων* MNV, *-ρίζειν* vulg., *ὑστερίζον* Rhd. Wb. 14 *ἐκπρίειν* MNV, *ἐμπ.* vulg. 17 *πουλὺ* MN 20 *ἡ* pro *ᾖ* MN *ᾗ* om. MN 22 *τὴν* V *ὅπῃ* codd., *ὅκῃ* Rhd. *δοκέει* MNV, *-κέῃ* vulg., scripsi *-κεῖ* *πάχιστον* MNV, *παχύτατον* vulg.

πρίονα, θαμινὰ σκοπεόμενος καὶ πειρᾶσθαι ἀνακινέων τὸ ὀστέον | ἀναβάλλειν, ἀφελὼν δὲ τὰ λοιπὰ ἰητρεύειν, 260 ὡς ἂν δοκῇ συμφέρειν τῷ ἕλκει πρὸς τὸ γινόμενον ὀρέων.

Καὶ ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα αὐτίκα βούλῃ ἐκπρίσας τὸ ὀστέον ἀφελεῖν ἀπὸ τῆς μήνιγγος, ὡσαύτως χρὴ πυκινά τε σκοπεῖσθαι τῇ μήλῃ τὴν περίοδον τοῦ πρίονος, καὶ ἐς τὸ παχύτατον αἰεὶ τοῦ ὀστέου τὸν πρίονα ἐνστηρίζειν καὶ ἀνακινέων βούλεσθαι ἀφελεῖν τὸ ὀστέον. ἢν δὲ τρυπάνῳ χρῇ, πρὸς δὲ τὴν μήνιγγα μὴ ἀφικνεῖσθαι, ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἴημα τρυπᾷς, ἀλλ᾽ ἐπιλιπεῖν τοῦ ὀστέου λεπτόν, ὥσπερ καὶ ἐν τῇ πρίσει γέγραπται.

1 σκοπούμ. codd., scripsi σκοπεόμ. 3 δοκέῃ ξυμφ. codd. post ἕλκει fragmenta libri qui est de aëre aqu. l. inserta habet duo V: ὅτι τὸ παχύτατον (vol. I 48) . . . ἕλκος ἐγγένηται (p. 51) et τοῦ δὲ χειμῶνος ψυχροῦ (p. 35) . . . οὐρέουσιν οἱ λιθιῶντες (p. 48), post λιθ. add. πρὸς τὸ γινόμενον ὀρρόν, unde πρ. τ. γ. ὁρῶν (scr. ὀρέων) vindicavit Ilberg, Philol. N. F. VI, 424
4 Καὶ ἢν … 12 γέγραπται om. MN 6 τὴν V, καὶ pro τὴν vulg. 7 ἀεὶ V, scripsi αἰεὶ 8 ἀφελέειν V, scripsi -λεῖν 9 χρὴ V, χρῇ Foes. Litt. δὴ pro δὲ Rhd., probante in Epimetro (III., CVIII) Ermerinsio 10 ἀφικνέεσθαι V, scripsi -εῖσθαι τρυπαῖς V, -ᾷς Litt. Erm. Rhd. 12 post γέγραπται add. ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἰήμα πρίεις V

## ΚΑΤ᾽ ΙΗΤΡΕΙΟΝ.

III, 272 L. 1. *Ἢ ὅμοια ἢ ἀνόμοια, ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντη πάντως γινωσκομένων, ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστιν, ἃ καὶ τῇ ὄψει καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι, ἅ, οἷς γινώσκομεν ἅπασιν, ἔστιν γνῶναι.*

2. *Τὰ δὲ ἐς χειρουργίην κατ᾽ ἰητρεῖον· ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ὄργανα, τὸ φῶς, ὅκου, ὅκως, ὅσα, οἷς· ὡς, ὅκου τό τε σῶμα τά τε ἄρμενα· ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος.* |

278 3. *Ὁ δρῶν ἢ καθήμενος ἢ ἑστεώς, συμμέτρως πρὸς ἑωυτόν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν.*

*Αὐγῆς μὲν οὖν δύο εἴδεα, τὸ μὲν κοινόν, τὸ δὲ τεχνητόν. τὸ μὲν οὖν κοινὸν οὐκ ἐφ᾽ ἡμῖν, τὸ δὲ*

1 *ἰητρίον* V  2. 3 *μεγ. καὶ ῥηίστ.* Gal. in cit. De plac. Hipp. et Plat. p. 733 Iw. Müller  3 *πάντως πάντη* Gal. ibid. *γιγν.* V  4 *καὶ θιγ.* om. Gal. ibid.  5 *καὶ τ. ἁ. κ. τ. ἀκ.* om. Gal. ib.  *καὶ τ. ῥ. κ. τ. ἀ.* V  6 *γλώττῃ* BMV  *γι(γ MV)νωσκόμενα* BMV  7 *πᾶσι* MV  *γιγνώσκομεν* Gal. ibid. (cod. M et edd. antiquiores)  *ἐστὶ* M, *ἔσται* V  8 *δ᾽* M  *χειρουργείην* B  *ἰητρίον* BV, *ἰητρείην* quaedam antigrapha et Asclepiades, cf. Gal. comm. XVIII, 2, 665 et 666 Kühn  10 *ὅσαι* B, *ὁκόσα* V  *οἷσιν* V  *εισως* pro *οἷς· ὡς* B[1], mut. in *οσως* (?) B[2]  *ὅκου* B[1], mut. in *ὁκότε* B[2]  *οἷς* (var. *οἷσι*) *ὅκως ὁκότε* (alia antigrapha *ὅκου*) Gal. comm. p. 668—673  *τε . . . τε* om. M  *ἅρμ.* V  ad *ἅρμ.* scholion: *Βακχεῖός φησιν τὰ ἐναρμόζοντα· οὐκ ὀρθῶς· ἅρμενα γὰρ ἰδίως λέγεται τὰ πρὸς τὴν ἰατρικὴν χρείαν ἐπιτήδεια ἐργαλῖα οἷον σμιλία, φλεβοτόμα καὶ τὰ τούτοις ὅμοια* B[2] in marg. inf., cf. Erotian. p. 11 Kl.  11 *ὁ τόπος ὁ τρόπος* B  12 *ἑστὼς* M  *ξυμμ.* M  14 *αὐγέης* BM  15 *ἀλλὰ τὸ μὲν κοινὸν* M  *τὸ μὲν οὖν . . . τεχν.* om. V

*τεχνητὸν καὶ ἐφ᾽ ἡμῖν. ὧν ἑκατέρου δύο αἱ χρήσιες, ἢ πρὸς αὐγὴν ἢ ὑπ᾽ αὐγήν. ὑπ᾽ αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις καταφανής τε ἡ μετριότης. τὰ δὲ πρὸς αὐγήν, ἐκ τῶν παρεουσέων, ἐκ τῶν συμφερουσέων αὐγέων πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον — πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ ἢ ὁρᾶν αἰσχρόν —, οὕτω δὲ τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ, τὸν δὲ χειρίζοντα ἐναντίον τῷ χειριζομένῳ, πλὴν ὥστε μὴ ἐπισκοτάζειν. οὕτως | γὰρ ἂν ὁ μὲν δρῶν ὁρῴη, τὸ δὲ* 280 *χειριζόμενον οὐχ ὁρῷτο.*

*Πρὸς ἑωυτὸν δέ, καθημένῳ μὲν πόδες ἐς τὴν ἄνω ἴξιν κατ᾽ ἰθὺ γούνασιν· διάστασιν δὲ ὀλίγον συμβεβῶτες· γούνατα δὲ ἀνωτέρω βουβώνων σμικρόν, διάστασιν δέ, ἀγκῶσιν, θέσει καὶ παραθέσει. ἱμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισιν.*

*Πρὸς δὲ τὸ χειριζόμενον τοῦ πρόσω καὶ ἐγγὺς ὅριον καὶ τοῦ ἄνω καὶ τοῦ κάτω, καὶ ἔνθα ἢ ἔνθα ἢ μέσον. τοῦ μὲν πρόσω καὶ ἐγγὺς ὅριον, ἀγκῶνας ἐς μὲν τὸ πρόσθεν γούνατα μὴ ἀμείβειν, ἐς δὲ τοὔπισθεν πλευράς· τοῦ δὲ ἄνω μὴ ἀνωτέρω μαζῶν ἄκρας | χεῖρας* 282

1 *δισσαὶ* pro *δύο αἱ* V et rec. 2 *ἢ ὑπ᾽ αὐ. ἢ πρὸς αὐ.* BV 4 *παρεουσῶν* BV *ξυμφ.* codd., scripsi *σ.* 5 *λαμπρότητα* M 6 *ἢ* ante *λαθ.* om. M *ὁρῆν* codd. *οὕτω δὲ* om. Rhd. 7 *τὸ . . . αὐγῇ* om. V *τὸν μὲν χειρίζοντα* V 9 *δεῖ* pro *ἂν* B 10 *οὐχ᾽* V ut saepius 11 *μὲν* om. V 12 *ἴξ.* ut solet V *εὐθὺ* BV, Gal. comm. 690 *γούνασι* MV *ξ.* V, *ξυμβεβαῶτες* Pq. 13 *ἀνωτερων* B, *-τέρωι* M, *ἀνώτερον* Gal. in cit. 700 14 *δὲ* om. M *ἀγκῶσι* M, *ἀγκωσίων* V, *-κώνων* Par. P Litt. Erm. Pq. *θεσι* B *ἱματίων* V 15 ad *εὐστ.* i. m. *περιεσταλμένως* B², cf. Erot. 68, 14 Kl., ad *εὐκρ.* i. m. *διακεκριμένως* B² *ὁμοίως* om. V *ἀγκῶσι* M *ὤμοισιν ἀγκῶσι* V 16 ante *πρόσω* add. *μὲν* omnes praeter V 17 *ὅριον* V, om. BM cet. *τοῦ* et ante *ἄνω* et ante *κάτω* om. M *καὶ ἢ ἔ.* V 18 *ἀγκῶνες* M, *αγκωναις* pro *ἀγκ. ἐς* B 18. 19 *εἰς* utroque loco V 19 *πρόσωθεν* V *ἀμείβησθε* V *τούπισθε* M, *τὸ ὄπ.* V

*ἔχειν· τοῦ δὲ κάτω μὴ κατωτέρω ἢ ὥστε στῆθος ἐπὶ γούνασιν ἔχοντα ἔχειν χεῖρας [ἄκρας] ἐγγωνίους πρὸς βραχίονας· τὰ μὲν κατὰ μέσον οὕτως. τὰ δ' ἔνθα ἢ ἔνθα μὴ ἔξω τῆς ἕδρης, κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προσβαλλόμενον τὸ σῶμα καὶ τοῦ σώματος τὸ ἐργαζόμενον.*

*Ἑστεῶτα δέ, ἰδεῖν μὲν καὶ ἐπ' ἀμφοτέρων βεβῶτα ἐξ ἴσου τῶν ποδῶν ἅλις, δρᾶν δὲ τῷ ἑτέρῳ ἐπιβεβῶτα, μὴ τῷ κατὰ τὴν δρῶσαν χεῖρα. ὕψος· γούνατα πρὸς βουβῶνας ὡς ἐν ἕδρῃ· καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά.*

*Ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ μέρει τοῦ σώματος ὑπηρετείτω ἢ ἑστεὼς ἢ καθήμενος ἢ κείμενος ὡς ἂν ῥήϊστα ὃ δεῖ σχῆμα ἔχων διατελῇ, φυ-*
284 *λάσσων ὑπόρρυσιν, | ὑπόστασιν, ἔκτρεψιν, καταντίαν, ὡς ὃ δεῖ σῴζηται καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει.*

4. *Ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν δακτύλων*

1 *ἔχειν* om. V *ἢ* om. BM *ὡς τε* BM, *ὡς τὸ* V 2 *ἄκρας* delevi neque est in citatione Galeni p. 696 3 *δὲ* MV 5 *προβ.* MV, *πρόσω β.* Rhd. *σώματος* om. B¹, ss. B³ 7 *δεῖ· δεῖν δε* pro *δέ, ἰδ. μ.* M *ἑστ. δὲ δεῖ, μὴ ἐπ. ἀ.* Rhd. *καὶ* del. Litt. *ἀμφοτέρω* V 8 *τῶν ποδ.* uncis inclusit Erm. *ἅλις* cf. Erotian. p. 40 Kl.: *ἅλις, ἀρκούντως*; scribendum videtur *ἅμα δρῆν* codd. *δὴ* pro *δὲ* Pq. *ἐπιβεβαῶτα* BM, *-βεβηκωτα* i. m. B² 9 *τὸ* pro *τῷ* M *γούνατα* B¹M, mut. in *-νάτων* B³, *γονάτων* V, *γούνατι* vulg. 10 *καὶ ἄλλα* M 12 *τοῦ σ. τῷ ἄλ. μ.* V, *τοῦ* om. B¹, ss. B² *ἢ* ante *ἑστ.* om. M 13 *ἢ ὅκως* pro *ὡς* V *ἄριστα* B¹, mut. in *ἂν ρηιστα* B² *ὁδ' εἰ* B, *ὅδε* M, *ὅδε εἱς* V *διατελέει* B, *-λέῃ* M *φυλάσσον* BV 14 *ὑπορυσιν* BV *εκστερψειν* B, *ἐκστρέψιν* M, *ἔκτριψιν* V, *ἔκτρεψιν* FIJK, editores *κατανέαν* V 15 ante *ὡς* littera una eras. B *δὴ* M *ὁ δὶ* V *σώζειται* B, *-εται* MV, *-ηται* Bosq. Litt. 16 post *χειρ.* add. *καὶ* B¹, del. B³ *ἐν τῇ ἐπὶ τὰ καὶ ἐπὶ τὰ ἕξει* Corais, op. postuma tom. V, 81 17 *περὶ ὀνύχων* tit. M duplicem Galenus (comm. p. 709) tradit scripturam: *μήτε ἐλλ. δακτύλων κορυφάς. ἐς χρῆσιν ἀσκεῖν δακτύλοισι μὲν κ. τ. λ.*, alteram: *μήτε ἐλλείπειν. δακτύλων κορυφῇσι χρῆσις. ἀσκεῖν δακτ. μὲν κ. τ. λ.*

*κορυφῆς· ἐς χρῆσιν ἀσκεῖν δακτύλοισιν μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν, ὅλῃ δὲ καταπρηνεῖ, ἀμφοτέρῃσι δὲ ἐναντίῃσι. δακτύλων εὐφυΐη· μέγα τὸ ἐν μέσῳ τῶν δακτύλων καὶ ἀπεναντίον τὸν μέγαν τῷ λιχανῷ· νοῦσος δέ, δι' ἣν καὶ βλάπτονται, οἷς ἐκ γενεῆς ἢ ἐν τροφῇ εἴθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων | δακτύλων κατέχεσθαι [δῆλον]. τὰ ἔργα πάντα ἀσκεῖν* 288 *ἑκατέρῃ δρῶντα καὶ ἀμφοτέρῃσιν ἅμα — ὅμοιαι γάρ εἰσιν ἀμφότεραι — στοχαζόμενον ἀγαθῶς, καλῶς, ταχέως, ἀπόνως, εὐρύθμως, εὐπόρως.*

5. *Ὄργανα μὲν καὶ ὅτε καὶ οἵως εἰρήσεται· ὅκου δεῖ· μὴ ἐμποδὼν τῷ ἔργῳ μηδὲ ἐκποδὼν τῇ ἀναιρέσει, παρὰ τὸ ἐργαζόμενον δὲ τοῦ σώματος· ἄλλος δὲ ἢν διδῷ, ἕτοιμος ὀλίγῳ πρότερον ἔστω, ποιείτω δέ, ὅταν κελεύῃς.*

6. *Οἱ δὲ περὶ τὸν ἀσθενέοντα τὸ μὲν χειριζόμενον παρεχόντων, ὡς ἂν δοκῇ, τὸ δὲ ἄλλο σῶμα κατεχόντων, ὡς ὅλον ἂν ἀτρεμῇ, σιγῶντες, ἀκούοντες τοῦ ἐφεστεῶτος.* |

1 *κορυφάς* BMV, *-φῆς* Severinus ap. Foesium, Gal. in cit. de usu part. I, c. 7 *ἐς* om. V *ἀσκέειν* BV *δακτύλοισι μὲν* M, *-λοισιν ἐν* V 2 *λειχ.* M et hic et l. 5 *ἀμφοτέραις* B 3 *ἐναντίαις* BV *δάκτυλον* M *εὐφυείαι ἔσα το* B[1], *ἔσα* mut. in *μέγα* B[2] *εὐφυΐα* MV cet. codd., *-ίη* Pq. (cf. de art. rep. 82) 5 *τοῖς ἐν γενετῆσιν* B, Asclepiades (Gal. comm. 715) *τοῖσι δ' ἐκ γενεῆς* M, *οἷσιν ἐν γένεσιν* V 6 *ἢ* om. V *τροφαῖς* M *εἴθισθαι* B *ὑπὲρ* M 7 *δῆλον* del. Erm. *πάντα ἑ.* V *ἀσκέειν* codd. 8 *ἑκατερησι* B, *ἑκατέρης ἱδρῶντα* M *ὅμοια* M 9 *ἀμφότεροι* BV, *-τέραισι* M, *ἀμφότεραι* cet. codd. et ed. rec. ad *ἀγ.* i. m. *συμφεροντος*, ad *καλ.* i. m. *εὐπρεπως* B[2] 10 *εὐπ. εὐρ.* BV 11 ante *ὅτε* add. *οἷα καὶ* V *ὡς* pro *οἵως* V *οὐ* pro *ὅκ.* BV 12 *τὸ ἔργον* M *μὴ δὲ* V ut solet *μὴ ἐνπ.* B *ἐμποδῶν* V 13 post *παρὰ* add. *καὶ* B[1], del. B[3] post *σώμ.* add. *ἐστιν* B[1]V, del. B[3], *ἔστω* Pq. ex textu Gal. *δὲ* om. B[1], ss. B[2], *δ'* V *διδοῖ* M 14 *ἔτυμος* B, *ἑτοίμως* V *κελευεις* B[1], corr. B[2] 15 *τὸν* pro *τὸ* M 16 *δοθῇ* BMPq. *δ'* V 17 *ὅλον* om. BM, *ἂν ὅλον* Bosq. *ἀτρεμέη* BV, *ἠρεμῇ* i. m. B[2]

290 7. *Ἐπιδέσιος δύο εἴδεα, εἰργασμένον καὶ ἐργαζό-
μενον. ἐργαζόμενον μὲν ταχέως, ἀπόνως, εὐπόρως,
εὐρύθμως· ταχέως μὲν ἀνύειν τὰ ἔργα· ἀπόνως δέ,
ῥηϊδίως δρᾶν· εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη· εὐρυθμίη δὲ
ὁρᾶσθαι ἡδέως· ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται.
εἰργασμένον δὲ ἀγαθῶς, καλῶς· καλῶς μὲν ἁπλῶς,
εὐκρινέως· ἢ ὅμοια καὶ ἴσα, ἴσως καὶ ὁμοίως· ἢ ἄνισα
καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως. τὰ δὲ εἴδεα, ἁπλόον, |
292 σκέπαρνον, σιμόν, ὀφθαλμὸς καὶ ῥόμβος καὶ ἡμίτομον.
ἁρμόζον τὸ εἶδος τῷ εἴδει καὶ τῷ πάθει τοῦ ἐπιδεο-
μένου.*

8. *Ἀγαθῶς δὲ δύο εἴδεα τοῦ ἐπιδεομένου· ἰσχύος
294 μὲν | ἢ πιέξει ἢ πλήθει ὀθονίων. τὸ μὲν οὖν αὐτὴ
ἡ ἐπίδεσις ἰᾶται, τὸ δὲ τοῖς ἰωμένοις ὑπηρετεῖ. ἐς
μὲν οὖν ταῦτα νόμος· ἐν δὲ τούτοισι μέγιστα ἐπι-
δέσιος. πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι
μηδὲ ἐρηρεῖσθαι ⟨κάρτα⟩, ἀλλ' ἡρμόσθαι μέν, προσ-*

2 *ἐργαζόμενον* om. BV *εὐπόνως* B 4 *δρῆν* codd. *εὐπόρως* V, Gal. de fasc. c. 1 et 5 et comm., Litt. Pq. *ἑτοίμως* BV, Gal. ibid., ed. rec., *ἕτοιμος* M *εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη* Gal. comm. 722 *εὐρυθμῶς* V, Gal. de fasc. c. 1 et 5, ed. rec. 5 *ὁρῆ.* codd.
6 *ἐργασάμενον* V *ἀπαλῶς* V 7 *ἢ* pro *καὶ* M *ἶσα* BMV, *ἴσα* DK *δὲ καὶ* B, *καὶ* add. $B^3$ 8 *ἀνίσως καὶ ἀνομοίως* in priscis exemplaribus errore omissa esse dicit Gal. comm. 730 post *ἁπλ.* add. *εὔκυκλον* BMV, *ἔγκυκλον* vulg., del. Litt., cum Artemidoro et Dioscuridi debeatur teste Gal. in comm. 729 *ἁπλοῦν* codd.
9 ad *σκέπ.* i. m.: *εἶδός ἐστι χιασμοῦ, ὅτι ὁ ἐπίδεσμος πλάγιος ἐπιδεθῇ* $B^2$ post *ῥόμβ.* add. *ὃ* M *ιοτομα* V, *ἐπιδέσμου ὄνομα* i. m. $B^2$ 10 *ἁρμόζοντα* B, *ἁρμόσσ(ττ* Gal. 732)*ον* M *ἐπιδευομ.* M
12 *ἀγαθὸς* M, *ἀγαθὰ* $DI^1KQ'$ Litt. *ἀγαθῶς . . . ἐπιδ.* om. V
13 *πιέξι* B, *πτέσει* V *αὕτη* codd., *αὐτὴ* Erm. 14 *ἴῆται* codd., om. M *ἦται ἡ ἐπ. τὸ δὲ* B *ἰωμένοισι* M *ὑπηρετέειν'///* (duae litt. erasae) B *ὑπηρέταις* pro *ὑπ. ἐς* V, *ὑπηρετέει* cet. 15 *τουτέοις* V, *-τέοισι* cet. *ἐπιδ. μάλιστα* sine puncto pro *μέγ. ἐπιδ.* Gal. de fasc. c. 1 16 *πιέξεις* $B^1$, mut. in *πίεξις* $B^2$ *πιισμεν* pro *π. μ.* V 17 *ἐσκίμφθαι* pro *ἐρ.* Rhd. *κάρτα* add. Litt. ex cit. Gal. de fasc. c. 1 *ἀλλὰ* MV ad *ἡρμ.* i. m. *ἑδρασθαι* $B^2$

*ηναγκάσθαι δὲ μή, ἧσσον τὰ ἔσχατα, ἥκιστα δὲ τὰ
μέσα.*

*Ἅμμα καὶ ῥάμμα νεμόμενον | μὴ κάτω, ἀλλ' ἄνω* 296
*ἐν παρέξει καὶ σχέσει καὶ ἐπιδέσει καὶ πιέξει. ἀρχὰς
βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθα τὸ ἅμμα. τὸ
δὲ ἅμμα μήτε ἐν τρίβῳ μήτε ἐν ἔργῳ, | μήτε ἐκεῖσε,* 298
*ὅκου ἐνεόν, ὡς μὴ ἐς τὸ ἐνεὸν κείσεται. ἅμμα δὲ καὶ
ῥάμμα μαλθακόν, μὴ μέγα.*

9. *Εὖ γε μὴν γνῶναι, ὅτι ἐς τὰ κατάντεα καὶ
ἀπόξεα φεύγει | πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ* 300
*ἄνω, κνήμης δὲ τὸ κάτω.*

*Ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερά, ἀριστερὰ ἐπὶ δεξιά,
πλὴν κεφαλῆς· ταύτην δὲ κατ' ἴξιν. τὰ δ' ἐναντία
ἀπὸ δύο ἀρχέων· ἢν δὲ ἀπὸ μιῆς, ἐφ' ἑκάτερα ὅπερ
ὅμοιον ἐς τὸ μόνιμον, οἷον τὸ μέσον τῆς κεφαλῆς ἢ ὅ
τι ἄλλο τοιοῦτο. τὰ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅκῃ*

1 post *ἧσσον* add. *μὲν* V 3 *ἄμμα* V *ἀλλὰ* V 4 *καὶ σχέσει* om. B[1], add. B[2] *καὶ ἐπιδεσει* (*καὶ ἐπιδ.* in raso l.) *καὶ* (in raso l.) *επιταεξει καὶ ἐπιδεσει και πιεξει* (quattuor ultimas voces linea transversa del.) B *ἐπιέσει* V 5 *ἐπὶ* om. V *ἔνθα ἢ ἔνθα* BV *τὸ ἅμμα* om. V 6 *μήτ' ἐν τρ.* M *ἀργῷ* V *μήτ' ἐκ.* B 7 *ὅπη* V *ὡς . . . ἐνεὸν* om. B[1], *ως μη ἐν ε{* i. m. B[2] *ἔστω* M, *εἰς τὸ* V, Gal. comm. 751, *ἔσω* vulg. ante *κείσ.* add. *του* B[1], del. B[3] *ἐκκείσεται* V *ὡς . . . κείσ.* del. Litt. *ὡς μὴ ἐς τὸ κενεὸν* (cf. Gal. comm. 750 sqq.) *κείσηται* Pq. et locum sibi videtur sanasse *ἐκ. ὅκου ἐς κενεὸν κείσ.* Rhd. 7. 8 *τὸ δὲ ῥάμμα* pro *ἅ. δὲ κ. ῥ.* BMV, *ἅ. δὲ κ. ῥ.* H, utrumque nomen auctorem scripsisse testatur Gal. comm. 752 9 *μὴ* pro *μὴν* B post *μήν* add. *ἐστι* BMV, om. Gal. comm. 762 bis *γνόντα* BV *κατάντη κ. ἀπόξη* codd., *-εα κ. -εα* Bosq. 12 post *ἐπιδ.* add. *δὲ* V ante alt. *ἀριστ.* add. *ἡ* BM, *καὶ* Gal. comm. 754, *καὶ* et *ἢ* om. V ante *ἐπὶ* add. *δ'* V 13 ante *κεφ.* add. *ἐπὶ* BV, *τῆς* M *ἀπεναντία* M, *ὑπεναντία* V 14 *ἑκοτερα ον αν* B[1], *ον αν* mut. in *ὅπερ* B[3], *ἑκάτερα* (Pq.) om. cet. codd. *ὅπερ* om. M 15 post *ὅμ.* add. *σύνηθες* B *καὶ εἴ* pro *ἢ ὅ* MV 16 *τοιοῦτον* M ad *ἄρθρα* i. m. *ἰδίως τὰς συμβ⟨ολὰς⟩ τῶν ὀστῶν κα⟨λεῖ⟩* B[2], cf. Erot. 48, 3 Kl. *ὅπη* codd., scripsi *ὅκῃ*

μὲν συγκάμπτεται, ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύην· ὅκῃ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, οἷον μύλῃ. προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα, ἀναλήψιος δὲ τοῦ σύμ-
302 παντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσι καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος. ὁμολογεῖ δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέρην μασχάλην περιβολή, βουβῶνος δὲ ἡ περὶ τὸν ἕτερον κενεῶνα, καὶ κνήμης ἡ ὑπὲρ γαστροκνημίης. ὁκόσοισι μὲν ἄνω ἡ φυγή, κάτωθεν ἡ ἀντίληψις· οἷσι δὲ κάτω, τοὐναντίον· οἷσι δὲ μή ἐστιν, οἷον κεφαλή, τούτων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιεῖσθαι καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρῆσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθὲν τὰ πλανωδέστατα κατέχῃ. ὁκόσοισι δὲ τοῖς ὀθονίοισι μὴ εὐκαταλήπτως μηδὲ εὐαναλήπτως ἔχει, ῥάμμασι τὰς ἀναλήψιας ποιεῖσθαι ἐκ καταβολῆς ἢ συρραφῆς.

10. Ἐπιδέσματα καθαρά, κοῦφα, μαλθακά, λεπτά. ἑλίσσειν ἀμφοτέρῃσιν ἅμα καὶ ἑκατέρῃ χωρὶς ἀσκεῖν. τῇ πρεπούσῃ δ' ἐς τὰ πάχη καὶ τὰ πλάτη [τῶν ὀθο-

1 σ(ξ M)υγ(ν B)κάπτ. BMV ad εὐστ. i. m. περιεστα⟨λ⟩μενος B² 2 ἰγνύη BV, -νύῃ Litt. ὁπηι B, ὅπη V, scripsi ὅκῃ, εἰ pro ὅκῃ M 3 πλατέα ἁπλὰ V ante μύλῃ add. ἡ BV μύλῃ Litt. ex marg. D καταλήμψιος B 4 εἵνεκεν V ἀναλήμψ. B ξυμπ. BV 5 τοῖσι BM 7 γόν. V ὁμολογέει codd. ὁμοῦ M 8 καὶ βουβ. pro βουβ. δὲ BV 9 γαστροκνήμης B, -μην V οἷσι V 11 τὸ ἐν. V κεφαλῇ Par. FMN τουτέων codd. 12 ποιέε. codd., om. M 13 δόξῳ V χρέε. V vulg., ποιέεσθαι BM ὕστερον BV 14 περιβληθέντα V κατέχει B 14. 15 ὁκ. δὲ μὴ εὐκαταλημπτου (-πτως corr. B²) τ. ὀ. B, οἷσι δὲ τοῖσι ὀ. μὴ εὐκ. M, ὁκόσα οἷσι δὲ τ. ὀ. μὴ δὲ εὐαναλήπτως ἔχει V 16 ἔχῃ M ῥάμμασιν M καταλήψ. M ποιέσθαι B, ποιέε- cet. 17 ξυρρ. codd. 18 μαλακὰ MV 19 ἐλ. V ἑκατέρησ B ἀσκαίην B, -έειν cet. 20 προτρεπούσηι M δὲ M μορίων pro ὀθ. Bosq. Litt. Pq. ex Gal. comm. 772:

*νίων] τεκμαιρόμενον | χρῆσθαι. ἑλίξιος κεφαλαὶ σκλη-* 304 *ραί, ὁμαλαί, εὐκρινέες. τὰ δὲ [δὴ] μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων· τὰ δὲ ὡς μήτε πιέζειν μήτε ἀποπίπτειν, τὰ εἰρημένα.*

11. *Ὧν δὲ ἔχεται ἡ ἐπίδεσις ἢ ὑπόδεσις ἢ ἀμφότερα. ὑπόδεσις μὲν αἰτίη ὥστε ἢ ἀφεστεῶτα προστεῖλαι ἢ ἐκπεπταμένα συστεῖλαι ἢ συνεσταλμένα διαστεῖλαι ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία. παρασκευὴ δέ· ὀθόνια μαλθακά, λεπτὰ καθαρά, κοῦφα πλατέα, μὴ ἔχοντα συρραφὰς μηδ' ἐξαστίας, καὶ ὑγιᾶ ὥστε τάνυσιν φέρειν καὶ ὀλίγῳ κρέσσω, μὴ ξηρά, ἀλλ' ἔγχυμα χυμῷ ᾧ ἕκαστα σύντροφα. ἀφεστεῶτα μὲν προστεῖλαι, ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μέν, πιέζειν δὲ μή· ἦρχθαι ἐκ τοῦ ὑγιέος, τελευτᾶν | πρὸς τὸ ἕλκος, ὡς* 305 *τὸ μὲν ὑπεὸν ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπισυλλέγηται· ἐπιδεῖν τὰ μὲν ὀρθὰ ἐς ὀρθόν, τὰ δὲ λοξὰ λοξῶς, ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται, ἐξ οὗ ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ ἐς θέσιν,*

*εἰς τὰ πλάτη καὶ τὰ πάχη τῶν ἐπιδουμένων μορίων ἀποβλέποντα*, ego *τ. ὀθ.* malim delere quam recipere *μορ.*

1 *τεκμάρσι* Rhd. *ἑλίξηος* V 2 *σκληραγόμαλαι* V *δὲ δὴ* codd., *δὴ* om. Gal. comm. 778 3 *καλῶς* pro *κακίω* MPq. *μὴ* pro priore *μήτε* BV 5 *ἐφ' ὧν* Gal. comm. 787 primum *ἢ* om. BV, *ἡ* M 6 *ὥστε ἢ* om. V ante *ἀφεστ.* add. *τὰ* B²MV, om. B¹ *ἐφεστ.* M 7 *ἢ τὰ ξυνεσταλμ. δ.* codd., om. Gal. comm. 787 et de fasc. 6 (cf. infra 38, 8) 9 *μαλακὰ* BV 10 *ξυνραφας* B ad *ἐξαστίας* i. m. *αἱ ἐμφερομεναι τοῖς ἐπιδεσμοις κατα τὰς ἕλικας κροκα⟨ι⟩* B², cf. Erotian. 69, 11 Kl. *ὕγεια* B, *ὑγιαία* M *τάννυσι* B 11 *κρείσσω* BV (*σσω* in loco raso V), *κρέσσον* M *ἔνχ.* BM 12 *ξύντρ.* M *προστιλαι* B, om. cet. 14 *ἤρχεσθαι* M, *ἄρχεσθαι* rec. codd. et edd. post *ἦρχθαι* add. *δὲ* BM, om. V *ἦρχθαι ἐκ τ. ὑ., τ. π. τ. ἕ.* Gal. comm. 793 14. 15 *ὥστε τ. μ.* M *ὑγιέον* B pro *ὑπ.* 16 *εἰς* B 17 *ἀπόνως* M 18 post *ἔσται* add. *τις* edd. ex codd. rec., om. BMV Gal. comm. 805 ante *ἐς ἀναλ.* add. *ἢ* M *ἐς* ante *θέσιν* om. M

*μὴ μεταλλάξουσιν, ἀλλ᾽ ὁμοιότατα ἕξουσι μύες, φλέβες, νεῦρα, ὀστέα ⟨εὔθετα, εὔσχετα⟩· ἀναλελάμφθαι δὲ ἢ*
310 *κεῖσθαι ἐν σχήματι ἀπόνῳ κατὰ φύσιν· ὧν δ᾽ | ἂν μὴ ἀποστῇ, τἀναντία· ὧν δ᾽ ἐκπεπταμένα, συστεῖλαι τὰ μὲν ἄλλα ταὐτά, ἐκ πολλοῦ δέ τινος δεῖ τὴν συναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν τὸ πρῶτον ἥκιστα, ἔπειτα ἐπὶ μᾶλλον· ὅριον τοῦ μάλιστα τὸ συμψαύειν. ὧν δὲ συνεσταλμένα διαστεῖλαι, σὺν μὲν φλεγμονῇ τἀναντία· ἄνευ δὲ ταύτης παρασκευῇ μὲν τῇ αὐτῇ, ἐπιδέσει δὲ ἐναντίῃ. διεστραμμένα δὲ διορθῶσαι, τὰ μὲν ἄλλα κατὰ ταὐτά. δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπαγαγεῖν, τὰ δ᾽ ἐπεληλυθότα ἀπαγαγεῖν ἐπιδέσει, παρακολλήσει, ἀναλήψει. τὰ δὲ ἐναντία ἐναντίως.*

12. *Κατήγμασιν δέ, σπληνῶν μήκεα, πλάτεα, πάχεα,*
312 *πλή|θεα· μῆκος, ὅση ἡ ἐπίδεσις, πλάτος τριῶν ἢ τεσσάρων δακτύλων, πάχος τρίπτυχα ἢ τετράπτυχα, πλῆθος, κυκλεῦντας μὴ ὑπερβάλλειν μηδ᾽ ἐλλείπειν· οἷσι*

1 *μὴ* codd., *οὐ* vulg. Litt. *μεταλλάξωσιν . . . σχῶσι* J *ὅμοια ταῦθ᾽* codd., *ὁμοίως* (*ταῦθ᾽* om.) Erm., *ὁμαλῶς* Rhd., scripsi *ὁμοιότατα*, cf. 41, 6 *μύας, φλέβας* BV 2 *εὔθ. εὔσχ.* om. codd., servat Gal. comm. 801, *ἢ μάλιστα εὔθ. καὶ εὔσχ.* Bosq. Litt. Erm. Pq. *ἀναλελαμφθαι* $B^1$ in textu, *ἀνειληφθαι* $B^2$ i. m., *ἀναδὲλάμφθαι* V, *-λελάφθαι* M 3 *κέσθαι* B, *κέε.* M *ὧν δὲ ἂν ἀπ.* M, et cum negatione et sine ea iam Galeno sententia proposita, cf. comm. 802 5 *ταυτα* $B^1$, mut. in *κατ᾽ αὐτα* $B^3$, *ταῦτα* V *ξυναγ.* M 6 post *πίεξιν* add. *ποιεῖσθαι* Gal. de fasc. 6 7 *ἔπειτα* om. B *εἰ* pro *ἐπὶ* M post *ἐπὶ* add. *τα* $B^2$ *ξυνψαειν* M 8 *ξὺν* (*μ* B) codd. 10 *ἐναντία* V 11 *ταῦτα* BV 12 *ἐπαγειν* B, *ἀπαγαγεῖν* V *τὰ δὲ ἐπ. ἀπ.* om. BV, *τὰ δὲ ἐπ. ἀπαγειν* i. m. $B^3$ 13 *αναλημψει* $B^1$, *μ* del. $B^3$ post *ἀναλ.* ss. *θέσει* $B^3$, recepit Pq. ex Parr. MN 14 *κατήγμασι* MV *μήκη πλάτη πάχη πλήθη* V 15 *πλιθη* B *ἡ* om. $B^1$, ss. $B^3$ *ἐπίδοσις* V 16 *τριπτύχους ἢ τετραπτύχους* edd. pro adverbio contra codd. auctoritatem 17 *κυκλεῦντα* B, *-ευτά* V *μὴ δ᾽* V, sed *μὴ* ss.

δ᾽ ἐς διόρθωσιν, μῆκος κυκλεῦντα, πλάτος καὶ πάχος τῇ ἐνδείῃ τεκμαίρεσθαι, μὴ ἀθρόα πληροῦντα· τῶν δ᾽ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο, τῇ πρώτῃ ἐκ τοῦ σίνεος ἐς τὸ ἄνω τελευτώσῃ, τῇ δὲ δευτέρῃ ἐκ τοῦ σίνεος ἐς τὸ κάτω, ἐκ τοῦ κάτω ἐς τὸ ἄνω τελευτώσῃ· τὰ κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα, τὰ δὲ ἄλλα κατὰ λόγον. ἡ δὲ ἐπίδεσις πολὺ τοῦ ὑγιέος προσλαμβανέτω.

Ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος· πλῆθος μὲν μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίρρεψιν, μηδ᾽ ἐκθήλυνσιν· μῆκος δὲ καὶ πλάτος τριῶν ἢ τεσσάρων | ἢ πέντε ἢ ἓξ πήχεων 314
μὲν μῆκος, δακτύλων δὲ πλάτος. καὶ παραιρήματος περιβολαὶ τοσαῦται ὥστε μὴ πιέζειν. μαλθακὰ δέ, μὴ παχέα· πάντα ταῦτα ὡς ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος. νάρθηκες δὲ λεῖοι, ὁμαλοί, σιμοί, κατ᾽ ἄκρα σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσεως. παχύτατοι δὲ ᾗ ἐξήριπε τὸ κάτηγμα. ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσει φυλασσομένων τῶν ὑπερεχόντων, οἷον τὸ κατὰ δακτύλους ἢ σφυρά, ἢ τῇ θέσει ἢ τῇ

1 δὲ M κυκλεῦντα HP Litt. Pq., -ς cet. πάχ. κ. πλάτ. M 2 μηδὲ M πληροῦντα scripsi, -εῦντα V, -εῦντας BM 3 εἰς B 3—5 ἡ πρώτη . . . τελευτῶσα, ἡ δὲ δευτέρη ἡ ἐκ . . . τελευτῶσα Rhd. 4 τὰ pro τὸ M 5 τὰ ante κατὰ om. $B^1$MV, add. $B^3$H
6 σῖν. M, σινὸς V τὰ ante ἄκ. om. M δ᾽ MV 7 πουλὺ M 11 μηδὲ ἐκθ. M ἐκθήλυσιν V 12 δὲ om. V πηχέων V 13 αἱ pro καὶ Chart. Rhd. παρερεματος B, παραιρέμ. MV, παραιρήμ. Litt. coll. schol. Thuc. 4, 48, παρέρματος vulg. Gal. 14 ἄμεινον δέ ἐστιν ἴσως ἀντὶ τοῦ τοσαῦτα τοιαῦτα Gal. 830 ὡς pro ὥστε Gal. ibid. 14. 15 ante μὴ παχ. ss. καὶ $B^3$ 15 ταῦτα πάντα M 16. 17 κατ᾽ ἄ. Gal. 833 vulg., κατ᾽ om. codd. 17 καὶ ἔνθεν om. M ἐπιδόσεως V 18 ἢ V ἐξηίρίπε B, ἐξήριπε M, ἐξήρειπε V ὁπ. BMV 19 φύσι B φυλασσόμενον MV 20 τὸ $B^1$, mut. in τὰ $B^2$, om. V ἢ ante τῇ θ. om. MV, ηι B ἢ post θ. om. $B^1$V, ss. $B^3$

316 *βραχύτητι. παραιρήμασι δὲ ἑρμάζειν, | μὴ πιέζειν· τὸ πρῶτον κηρωτῇ μαλθακῇ λείῃ καθαρῇ ἑλισσέτω.*

13. *Ὕδατος θερμότης, πλῆθος· θερμότης μέν, κατὰ τῆς ἑωυτοῦ χειρὸς καταχεῖν· πλῆθος δέ, χαλάσαι μὲν*
318 *καὶ ἰσχνῆναι τὸ | πλεῖστον ἄριστον, σαρκῶσαι δὲ καὶ ἁπαλῦναι τὸ μέτριον. μέτρον δὲ τῆς καταχύσιος ἔτι μετεωριζομένου δεῖ, πρὶν συμπίπτειν, παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται.*

14. *Θέσις μαλθακή, ὁμαλή, ἀνάρροπος τοῖσιν ἐξέχουσιν τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, ὡς μήτε ἀνακλᾶται μήτε ἀποκλᾶται μήτε ἐκτρέπηται. σωλῆνα ἅπαντι τῷ σκέλει ἢ ἡμίσει. ἐς τὸ πάθος δὲ βλέπειν καὶ τἄλλα ὁκόσα βλάπτει δηλαδή.*

15. *Πάρεξις δὲ καὶ διάτασις καὶ ἀνάπλασις καὶ τἄλλα κατὰ φύσιν. φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον· ἐς δὲ ταῦτα ἐκ τοῦ*
320 *ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, | ἐκ τοῦ ἔθεος· ἐκ μὲν τοῦ ἐλινύοντος καὶ ἀφειμένου τὰς ἰθυωρίας σκέπτεσθαι,*

ρεσ
1 *παραιρέμασι* BV, *παραιμασι* M *ἁρμόζειν* MPq., *ἑρμάζ.* BV Gal. 835 1. 2 *μὴ πιέζειν τὸ πρῶτον.* Litt. Erm., *μὴ πιέζειν· τὸ πρῶτον* . . . Pq., utrumque commemorat Gal. 835 2 *μαλακηι* B *μαλθ. ὁμαλὴ δ' εἴη καὶ καθαρῇ* M *κηρωτὴ μαλθακὴ λείη καθαρὴ* V *ἑλισσέτω* BV, om. M, *ἑλισσέσθω* Litt. *κηρωτῇ . . . ἑλισσ.* om. Rhd. 4 *χαλᾶσαι* V 6 super *ἁπαλ.* ss. *παχῦναι* $B^{3}$ *μέτριον* BV *καταχύσειως* B, *-εως* M, *-ως* cet., *τῇ καταχύσει* V 7 *ξυμπ.* M *τὸ . . . ἰσχν.* del. Erm. 8 *ἀείρ.* Pq. 9 post *Θέσις* add. *δὲ* M 9. 10 *ἐξέχουσι* MV 10 post *οἷον* iterat *ἀναρροπος* B *καὶ* om. $B^{1}$V, ss. $B^{3}$ 11 *ἐκτρίβηται* M *σωλῆνες* B 12 *παντὶ* MV post *ἐς* ss. *δὲ* $B^{2}$ 13 *τὰ ἄλλα* MV *ὅσα* V *δηλαδη* B, *δῆλα* vulg. Litt., om. Erm.

ις
14 *παρεξη* B, ss. $B^{3}$ *γὰρ* pro *δὲ* M *ἀνάπλ.* K, *διάπλ.* Gal. 851, *κατάτασις* pro *ἀνάπλ.* BMV 15 *τ' ἄλλα* MV *ἐς* pro *ἐν* B 16 *ἐς* ante *ὃ* ss. $B^{3}$ 17 *ἐλλ.* V 17. 18 *ἐκ τοῦ κοινοῦ . . . ἐλιν.* i. m. B *ἐκ μὲν ἐλ.* B, *τοῦ* ss. $B^{3}$ 18 *σκέπτ.* om. V

οἷον τὸ τῆς χειρός· ἐκ δὲ τοῦ κοινοῦ ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα· ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερα, οἷον σκέλεα ἔκτασιν· ἀπὸ τούτων γὰρ ῥήϊστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὁμοιότατα ἔχουσιν ἐς ἕξιν ἢ θέσιν μύες, φλέβες, νεῦρα, ὀστέα, ᾗ μάλιστα εὔθετα καὶ εὔσχετα.

16. *Διάτασις* μάλιστα τὰ μέγιστα καὶ πάχιστα καὶ ὅκου ἀμφότερα· δεύτερα, ὧν τὸ ὑποτεταγμένον· ἥκιστα, ὧν τὸ ἄνω· | 322 μᾶλλον δὲ τοῦ μετρίου, βλάβη, πλὴν παιδίων· ἔχειν ἀνάντη σμικρόν· διορθώσιος παράδειγμα τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές.

17. *Ἀνάτριψις* δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι· ἡ σκληρὴ δῆσαι, ἡ μαλακὴ λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη παχῦναι.

18. *Ἐπιδεῖν* δὲ τὸ πρῶτον· ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα. ἡρμάσθαι δέ, μὴ πεπιέχθαι, πλήθει, μὴ ἰσχύι. τὴν δὲ

1 ξύγκ. M 2 πήχεως M 4 δυνατώτερον M σκέλη V τουτέων BM Gal. cit. 877, -τέου V post τουτ. ss. των σχηματων B[3] 5 ρηστα B[1], mut. in ραστα B[3], ῥᾶστα V 6 ὅμοια ταῦτα M vulg., ὅμοια om. BV, ὁμαλῶς Rhd., scripsi ὁμοιότατα cf. 38, 1 ἕξουσιν M εἰς M 7 post ὀστέα ss. καὶ B[3] ἢ codd., ᾗ edd. 9 post πάχ. add. καὶ ὁμαλὰ vulg., om. BMV παχ.· καὶ μᾶλλον ὅκου Rhd. 10 ὅκου praeter υ in raso loco B, ὅπου V δεύτ. om. in textu, add. in m. B ὑποτεταμένον V 11 ἀνώμαλον V βλάβη om. V ante βλ. de suo οὐ Erm. 12 παιδίου V ἐγχειρέειν αὐτῇ κατὰ σμικρὸν pro ἔχειν . . . σμ. Rhd. διθροωσιος B 15 μινυθίσαι Lind., cf. De liq. usu c. 1 μινυθίσαι 15. 16 ἢ quater pro ἡ V 16 σαρκῶσαι pro παχῦναι Gal. in cit. de tuenda valet. VI 93 Kühn 18 post πεπιέχθαι add. πλήθει μὴ ἰσχύι V σίνος N, σῖνος vulg., σινὸς V 19 ἡρμόσθαι M, ἡρμῆσθαι V πεπιέ in raso loco B, πεπῆχθαι V δ' V

ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δ' ὑστέρην ἧσσον· τρίτῃ χαλαρά. εὑρεθήτω δὲ τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακόν. τῇ τρίτῃ δὲ τὸ ἐπι-
324 δεθὲν λυθὲν ἰσχνότερον· παρὰ πάσας τὰς | ἐπιδέσιας τοῦτο. τῇ δ' ὑστεραίῃ ἐπιδέσει, ἢν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ. ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσι πιεχθήτω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλέοσι. τῇ δ' ἑβδόμῃ ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα εὑρεθήτω ἰσχνά, χαλαρὰ τὰ ὀστέα. ἐς δὲ νάρθηκας δεθέντα, ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐᾶν μέχρις εἴκοσι ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν μέσῳ. νάρθηκας διὰ τρίτης ἐρείδειν.

19. Ἡ ἀνάληψις, ἡ θέσις, ἡ ἐπίδεσις ὡς ἐν τῷ αὐτῷ σχήματι ᾖ, διαφυλάσσειν. κεφάλαια σχημάτων ἔθεα, φύσιες ἑκάστου τῶν μελέων· τὰ δ' εἴδεα ἐκ τοῦ τρέχειν, ὁδοιπορεῖν, ἑστάναι, κατακεῖσθαι ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι.

20. Τὸ δέ, ὅτι χρῆσις κρατύνει, ἀργίη τήκει. |

326 21. Ἡ πίεξις πλήθει ἢ ἰσχύι.

1 δευτέρην pro δ' ὕστ. V 3 ἄκροισιν V 4 λυθὲν om. V περὶ pro παρὰ V 5 τούτου V, τωὐτό suspicatur Pq. διηνεκος B, διηνεκέως V pro ἢν δικαιως εἰ ante διηνεκ. ss. V 6 φανη ηι B, ᾖ pro φανῇ V δὲ om. B[1], ss. B[2] 8 πλείοσι M 9 τὰ ὀστέα om. V 10 δεθέντας B post ἰσχνὰ add. η B 10. 11 ᾗι ἐῆν BM, ἔην pro ᾖ, ἐᾶν V 11 εἴκοσιν MV ἢν δὲ τὰ ὑ. V 12 τῷ μέσῳ rec., τῷ om. BMV 14 ἀναλημψις B αἴσθησις pro θέσις M ἡ ἐπίδεσις del. Rhd. 15 σχήματι om. M ᾖ om. N Litt. Erm. Pq. Rhd. ἔθη codd., ἔθεα Gal. comm. 877 16 ἐκ δὲ τοῦ pro ἐκ. V post ἐκ. add. τε M δ' om. M post εἴδεα add. τῶν μελέων V 17 ὁδοιπορέειν codd. 19 τὸ δὲ ὅτι B, τὸ διότι Gal. comm. 879, τὸ δι om. cet. ἀργείη BM, ἀργεῖν V, ἀργίη Gal. in cit. 879, cet. post ἀργ. add. δὲ vulg., om. codd. 20 ἢ V (cf. Herm. XXIII, 265), om. BM, μὴ N (linea subiecta not.) Litt. Erm. Rhd. Pq.

22. Ὁκόσα δ' ἐκχυμώματα ἢ φλάσματα ἢ σπάσματα ἢ οἰδήματα ἀφλέγμαντα, ἐξαρύεται αἷμα ἐκ τοῦ τρώματος ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δέ τι καὶ ἐς τὸ κάτω. μὴ κατάντεα τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος, τιθέμενον τὴν ἀρχὴν | κατὰ τὸ τρῶμα 328 καὶ μάλιστα ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὸ ἄνω τοῦ σώματος νεμόμενον· ἐπιδέσει, πιέξει· ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον ἢ ἰσχύι. μάλιστα δὲ τούτοισιν ὀθόνια λεπτά, κοῦφα, μαλθακά, καθαρά, πλατέα, ὑγιᾶ, ὡς ἂν ἄνευ ναρθήκων· καὶ καταχύσει χρῆσθαι πλέονι.

23. Τὰ δ' ἐκπτώματα ἢ στρέμματα ἢ διαστήματα ἢ ἀποσπάσματα ἢ ἀποκλάσματα ἢ διαστρέμματα, οἷα τὰ κυλλά, τὰ ἑτερόρροπα, ἔνθεν μὲν ἐξέστη, συνδιδόντα, ὅκῃ δέ, συντείνοντα, ὡς ἐς τὰ ἐναντία ῥέπῃ ἐπιδεθέντα ἢ πρὶν ἐπιδεθῆναι σμικρῷ μᾶλλον ἢ ὥστε ἐξ ἴσου εἶναι· καὶ τοῖσιν ἐπιδέσμοισι καὶ τοῖσι σπλήνεσι καὶ τοῖσιν ἀναλήμμασι καὶ τοῖσι σχήμασι, κατατάσει, ἀνατρίψει, διορθώσει, καταχύσει πλέονι.

24. Τὰ δὲ μινυθήματα, πολὺ προσλαμβάνοντα τοῦ

1 Ὀπ. V  ἢ φλ. om. V  σπ (σπάσμ.) in raso loco V 2 ἀφλέγματα V  ἐξαρείαται BM, ἐξάρη ἅτε V, ἐξαρύαται N, ἐξαρύεται Erotian. Gloss. p. 69, 10 Kl., Lind. Bosq. Pq., ἐξερύεται Litt., ἐξεργᾶται vulg., fortasse scribendum est ἐξέργ(είργ)εται cf. περὶ ἀγμῶν c. 48  4 κατάντη codd., -εα Bosq.  6 post μάλιστα add. τὰ BV  8 ἐπιδέσι πιέξι B  9 τουτέοισι B, -ν MV  10 μαλακὰ V  ὑγιέα M  11 καταχύσι B  πλέον BV

14 κοιλα B, κυλὰ V  ὅθεν pro ἔνθεν J, Gal. comm. 889, Litt. Pq.  μὲν om. M  ξυνδίδ. M, ἐνδίδ. B[1], συν ss. B[2] 15 ὅπῃ codd., scripsi ὅκῃ  δέ . . . ῥέπῃ om. V  ξυντείν. M ῥέπει^ν M  17 τοῖσι B  καὶ τ. σπλ. om. V  18 τοῖσι B, τοῖς V

καταστάσει M  19 post διορθ. add. σπληνεσι ἐπιδέσμοισι ἀναληψι θεσι B  ταῦτα καὶ ταχύσει πλείονι M, κατὰ ταῦτα καὶ καταχύσει ταῦτα πλείονι V  ταῦτα om. B Gal. comm. 890 πλείονι codd.  20 μὴ pro πολὺ V

ὑγιέος ἐπιδεῖν, ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ συντακέντα, πλέον
332 ἢ αὐτόματα ἐμι|νύθει, ἀλλοίῃ τῇ ἐπιδέσει παραλλάξαντα ἐκκλίνῃ ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήσηται. βέλτιον δὲ καὶ τὰ ἄνωθεν οἷον κνήμης καὶ τὸν μηρὸν καὶ τὸ ἕτερον σκέλος τὸ ὑγιὲς συνεπιδεῖν, ὡς ὁμοιότερον ᾖ καὶ ὁμοίως ἐλινύῃ καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται. ὀθονίων πλήθει, μὴ πιέξει. ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον καὶ ἀνατρίψει χρώμενον σαρκούσῃ, καὶ καταχύσει· ἄνευ ναρθήκων. |

334 25. Τὰ δὲ ἑρμάσματα καὶ ἀποστηρίγματα, οἷον στήθει, πλευρῇσι, κεφαλῇ καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα, τὰ μὲν σφυγμῶν εἵνεκεν, ὡς μὴ ἐνσείηται, τὰ δὲ καὶ τῶν διαστασίων τῶν κατὰ τὰς ἁρμονίας ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοις ἐρεισμάτων χάριν ἐπί τε βηχῶν ἢ πταρμῶν ἢ ἄλλης κινήσιος, οἷα τὰ κατὰ θώρηκα καὶ κεφαλὴν ἀποστηρίγματα γίνεται. τούτων ἁπάντων αἱ αὐταὶ συμμετρίαι τῆς ἐπιδέσιος· ᾗ γὰρ τὰ σίνη,

1 τε ὡς B, τε del. B$^3$, ἕως V τὰ om. B$^1$V, ss. B$^3$ ξυντ. M 1. 2 πλεονα η αὐτοματα ἐμ. B$^1$ mut. in πλεον η οσον αυτα ἐμ. B$^3$ ἐμινύθη M, ἐμμινύθη corr. ex -θει V πλησθέντα ᾖ ἐμίνυθεν Rhd. 2 ἢ αλλοῖ$^{οιτο}$τη εξ επειδεσι B$^1$, ss. et τη εξ del. B$^3$ ἕξει pro ἐπιδ. V 3 ἐκκλίνει M ante ἀναπλ. add. τὴν M 4 κνήμῃ κ. τ. μ., μηρῷ δὲ κ. τ. ἕ. σκ. Rhd. 5 τῶν μηρῶν V τὸ ὑγιὲς BMV, τῷ ὑγιεῖ vulg. Pq. 6 ἢ V ἐλλ. V 7 καθὰ ἐνδέχεται Rhd. 8 ἐν ἕξει pro πιέξει V λεόμ. V 9 χρώμενος B σαρκουσει B 11 ἑρμέσμ. B 12 τοῖσι ἄλλοισι M 13 εἵν. om. M τὰ δὲ ante ἐπί τε β. (15) transp. Rhd. 14 διαστάσιων (sic) DHK, -ηων V, -εων vulg. 15 ὀστέων M ἐρείσιος Rhd. ἐπεί M βήχεων BM 16 πταρμέων BM οἷον M οἵας οὖν pro οἷα τὰ Rhd. 17 γίγν. M ἀποστηρ. γίν. om. Rhd. τούτων V, τουτέων cet. ἁπάντων om. M, Gal. cit. 923

18 αἰ$^{τι}$αυται B, ss. B$^3$ ξυμμ. codd. ἐπιδέσεως M εἰ pro ᾖ B post ᾖ add. μὲν M τασι ἢ B

μάλιστα πεπιέχθαι· ὑποτιθέναι οὖν εἴριον μαλθακὸν ἁρμόζον τῷ πάθει· ἐπιδεῖν δὲ μὴ μᾶλλον πιεζεῦντα ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείειν μηδὲ μᾶλλον ἢ ὥστε τῶν διεστηκότων τὰ ἔσχατα τῶν ἁρμονιῶν συμψαύειν ἀλλήλων, μηδὲ τὰς βῆχας καὶ τοὺς πταρμοὺς ὥστε κωλύειν, ἀλλ' ὥστε ἀποστήριγμα εἶναι ὡς μήτε διαναγκάζηται μήτε ἐνσείηται.

1 μάλιστα δεῖ pro τὰ σίνη μάλ. V πεπιέχθω Rhd. ὑποτίθεμεν B, ὑπότινος V οὖ$^{ν}$ῆριον B, ss. $B^3$ οὖν om. V εἴριον om. et post μαλθ. add. τι M Litt. Pq. 2 δὲ om. V ἢ post πιεζ. om. codd. 2. 3 ἢ ὥ. Gal. comm. 924, vulg. 3 ἐνσείεσθαι M 3—6 ἐνσείεσθαι, ἀλλὰ τὰς διαστάσιας τῶν ἁρμονίων ψαύειν τὰ ἔσχ. ἀλλήλων· μήτε ἀμφὶ τοῖσι πταρμοῖσι καὶ βηξίν· ἄλλωστε ἀποστ. M 6 καὶ pro ὡς M 7 σείηται V, $^{εν}$σειηται B, ss. $B^2$ post ἐνσείηται add.: ὀστέων φύσις· δακτύλων μὲν ἁπλᾶ καὶ ὀστέα καὶ ἄρθρα BV (init. Mochlici)

# ΠΕΡΙ ΑΓΜΩΝ.

III, 412 L. 1. Ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ κατηγμάτων ὡς ἰθύτατα ποιεῖσθαι τὰς κατατάσιας· αὕτη γὰρ ἡ δικαιοτάτη φύσις. ἢν δέ τι ἐγκλίνῃ ἢ τῇ ἢ τῇ, ἐπὶ τὸ πρηνὲς ῥέπειν· ἐλάσσων γὰρ ἡ ἁμαρτὰς ἢ ἐπὶ τὸ ὕπτιον. οἳ μὲν οὖν μηδὲν προβουλεύονται, οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πολύ· αὐτὸς γὰρ ὁ ἐπιδεό-
414 μενος τὴν χεῖρα ἀπορέγει, οὕτως | ὑπὸ τῆς δικαίης φύσιος ἀναγκαζόμενος. οἱ δὲ ἰητροὶ σοφιζόμενοι δῆθεν ἔστιν οἳ ἁμαρτάνουσιν.

Σπουδὴ μὲν οὖν οὐ πολλὴ χεῖρα κατεηγυῖαν χειρίσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν. ἀναγκάζομαι δὲ πλείω γράφειν περὶ αὐτῆς, ὅτι οἶδα ἰητροὺς σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει, ἀφ᾽ ὧν ἀμαθέας αὐτοὺς ἐχρῆν δοκεῖν εἶναι. ἀλλὰ γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται· τὸ γὰρ ξενοπρεπὲς οὔπω συνιέντες, εἰ χρηστόν, καὶ μᾶλλον ἐπαινέουσιν ἢ τὸ σύνηθες, ὃ ἤδη

3 ποιέεσθαι ut solent codd. τ. κατατάσιας (καταστάσ. V) π. MV αυτη B, ῞ add. $B^2$, αὐτὴ M 4 ἐκκλ. V 4. 5 ἐπὶ τὸ πρη in raso loco, νες ρεπειν et ab ead. m. i. m. et a man. 3 ss. B 5 αμαρτάσης η ἐπὶ B, corr. $B^3$ 6 οἱ BM προβουλεύοντες B 7 πουλὺ M επιδεόμ. $B^1$, mut. in ἐπιδησόμενος $B^3$, γρ. καὶ ἐπιδησόμενος i. m. ead. m. M (cf. Gal. comm. XVIII, 2, 337) 10 ἐστὶν οἱ BM, ἐστὶν ἄρα ἐφ᾽ οἷς ἁμ. Erm. Pq. ex Parr. DMNFHIJK ἁμαρτάνουσι V 11 οὐ om. V κατηγυῖαν BMV, κατεηγ. Bosq. 13 ante πλ. add. ἐγὼ codd. rec. Pq., om. BMV αὐτέης B, -έου MV 14 σοφοὺς om. V 15 αὐτέους . . . δοκέειν codd. 16 ἄλλα BM, ex ἀλλὰ V οὕτως B τῆς τέχνης ταύτης V 17. 18 οὐ ξυνιένταις εἰς χρ. καὶ μᾶλλ. B, καὶ om. cet. 17 ξυν. V 18 ξύνηθες V

*οἴδασιν ὅτι χρηστόν, καὶ τὸ ἀλλόκοτον μᾶλλον ἢ τὸ εὔδηλον. ῥητέον οὖν ὁπόσας ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν τὰς μὲν ἀποδιδάξαι, τὰς δὲ διδάξαι περὶ τῆς φύσιος τῆς χειρός· καὶ γὰρ ἄλλων ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστίν.* |

2. *Τὴν μὲν οὖν χεῖρα, περὶ οὗ ὁ λόγος, ἔδωκέ τις* 416
*ἐπιδῆ|σαι καταπρηνέα ποιήσας. ὁ δὲ ἠνάγκαζεν οὕτως* 418
*ἔχειν, ὥσπερ οἱ τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσιν, καὶ οὕτως ἔχουσαν ἐπέδει, νομίζων ἑωυτῷ εἶναι τοῦτο αὐτῇ τὸ κατὰ φύσιν· καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα πάντα τὰ ἐν τῷ πήχει, ὅτι ἰθυωρίην ἔχει κατάλληλα, τήν τε ὁμοχροίην, ὅτι αὐτὴ καθ' ἑωυτὴν τὴν ἰθυωρίην ἔχει οὕτω καὶ ἐκ τοῦ ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν. οὕτω δ' ἔφη καὶ τὰς σάρκας καὶ τὰ νεῦρα πεφυκέναι, καὶ τὴν τοξικὴν ἐπήγετο μαρτύριον. ταῦτα λέγων καὶ ταῦτα ποιέων σοφὸς ἐδόκει εἶναι· τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθει, καὶ ὁπόσα ἰσχύι ἐργάζονται καὶ ὅσα τεχνήμασιν, οὐκ εἰδώς, ὅτι ἄλλο ἐν ἄλλῳ τὸ κατὰ φύσιν σχῆμά ἐστιν, καὶ ἐν τῷ αὐτῷ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ φύσιν ἐστὶν καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ. ἄλλο μὲν γὰρ*

1 *ἔτι* B *μᾶλλον* om. MV 2 *ὀκ.* codd., post *ὀπ.* add. *ἂν* HPq., ss. B[3] *ἐθέλων* B 5 ante *περὶ* e codd. rec. *ἄρξομαι δὲ* Pq., om. BMV 4 post *γὰρ* add. *καὶ τῶν* B[4] 5 *ἐστί* V 6 *μὲν* om. B *ἐδόκεε* MV 7 *καταδῆσαι* MV *καταπρ.* B[1], *κατα* lineola del. B[3] *ὁ δ'* MV 8 *ἐμβάλωσιν* M, *ἐκβάλλωσι* V 9 *ἐπειδεῖν* B[1], corr. B[3] *αὐτὸ* pro *ἑωυτῷ* Erm. 10 *το* B[1], *τοῦτο* B[3] *αὐτέῃ* codd. 10. 11 *τά γε* V 11 *ἅπαντα* MV *τὰ* post *πάντα* om. B *εἰθυωρ. εχει ουτω καὶ εκ του καταλλ. ειχε* B[1], *ουτω . . . του* et *ειχε* del. B[3] *ἰθ. κατάλλ. εἶχε* MV 12 *ἑαυτὴν* V 13 *τὴν* om. B 14 *εἴσ.* B *δὲ ἔφη* MV 16 ante *λέγων* add. *δὲ* B *ἐδόκεεν* MV 17 *ἐπελελήθη* V *ὅκ.* codd. 18 *ὁκόσα* MV 19 *σχῆμα ἐστὶ* V *αὐτέῳ* V 20 *ἐστὶ* V

420 σχῆμα ἐν | ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο δ' ἐν σφενδονήσει, ἄλλο δ' ἐν λιθοβολήσει, ἄλλο ἐν πυγμῇ, ἄλλο ἐν τῷ ἐλινύειν. ὁπόσας δ' ἄν τις τέχνας ἐρευνήσῃ, οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρῶν κατὰ φύσιν ἐστὶν [καὶ] ἐν ἑκάστῃ τῶν τεχνέων, ἀλλὰ πρὸς τὸ ἅρμενον, ὃ ἂν ἔχῃ ἕκαστος, καὶ πρὸς τὸ ἔργον, ὃ ἂν ἐπιτελέσασθαι θέλῃ, σχηματίζονται αἱ χεῖρες. τοξικὴν δὲ ἀσκέοντι εἰκὸς τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης χειρός· τοῦ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι ἐν τούτῳ τῷ σχήματι ἐρεῖδον ἰθυωρίην ποιεῖ τοῖσιν ὀστέοισι τοῦ πήχεος καὶ τοῦ βραχίονος, ὡς εἰ ἓν εἴη τὸ πᾶν, καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου τέταται ἐν τούτῳ τῷ σχήματι. εἰκὸς οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον εἶναι τὸ χωρίον καὶ μὴ ἡσσᾶσθαι μηδὲ συνδιδόναι ἑλκομένης
422 τῆς νευρῆς ὑπὸ τῆς δεξιῆς χειρός· | καὶ οὕτως ἐπὶ πλεῖστον μὲν τὴν νευρὴν ἑλκύσει, ἀφήσει δὲ ἀπὸ στερεωτάτου καὶ ἀθροωτάτου· ἀπὸ τῶν τοιούτων γὰρ ἀφεσίων τῶν τοξευμάτων ταχεῖαι καὶ αἱ ἰσχύες καὶ τὰ μήκεα γίνεται. ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν. τοῦτο μὲν γάρ, εἰ ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτως

1 δ' om. B σφενδόνησι M, -νησιν V 2 λιθοβολήσει B, -βόλησι M, -βόλησιν V, -βολίησιν vulg. 3 ἐλλ. V ὀκ. codd., ὁκόσα (ς ss. m. 3) B εὕροι ἐν ἧσιν codd., scripsi ἐρευνήσῃ 3—5 εὕροι, ἐννοέοι οὐ τὸ α. σχ. τ. χ. κ. φ. εἶναι ἐν ἑκ. τ. τ. Litt., ἐννοήσῃ, εὕροι ἂν ὅτι οὐ τὸ α. σχ. τ. χ. κ. φ. ἐστι ἐν ἑκ. τ. τ. Erm.; Pq. nihil mutat nisi quod puncto post ἐστίν posito ex ἀλλὰ facit ἄλλα: duas igitur distinguit sententias, quarum priorem exclamationem esse vult. χειρέων codd., -ρῶν Pq. 6 ἣν B[1], ss. ἂν B[3] 8 τοῦτο pro τοῦ MV 9 γιγλυμοειδὲς MV, alterum γ ss. ead. m. B πήχεως hic et 11 M et ut solet V βαθμήδει B 10 τουτέω codd. ποιέει B, -έειν MV τοῖσι(ν[3]) B 11 εἰ om. B[1]MV, add. B[3] ἐνείη V 12 τετασθαι B[1] mut. in κέκλασθαι B[3], κέκλασται MV, scripsi τέταται τουτέῳ codd. 14 μὴ δὲ ξυνδ. V 17 τοιουτέων codd. 19 γίγνεται B, γίνονται V 20 τοῦ pro τοῦτο MV εἰ om. MV οὕτω MV

*ἐκέλευεν, πόνους ἂν ἄλλους πολλοὺς προσετίθει μέζονας τοῦ τρώματος, τοῦτο δ᾽ εἰ συγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα οὔτε τὰ νεῦρα οὔτε αἱ σάρκες ἔτι ἐν τῷ αὐτῷ ἐγίνοντο, ἀλλὰ ἄλλῃ μετεκοσμεῖτο ἂν κρατέοντα τὴν ἐπίδεσιν· καὶ τί ὄφελός ἐστι τοξικοῦ σχήματος; καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος, εἰ εἴα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρασχέσθαι.*

3. *Ἄλλος δ᾽ αὖ τις τῶν ἰητρῶν ὑπτίην τὴν χεῖρα δούς, οὕτω κατατείνειν ἐκέλευσε καὶ οὕτως ἔχουσαν ἐπέδει τοῦτο νομίζων τὸ κατὰ φύσιν εἶναι τῷ τε χροῒ σημαινόμενος καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, ὅτι φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπόν, ᾗ ὁ σμικρὸς δάκτυλος, κατ᾽ ἰθυωρίην εἶναι τοῦ ὀστέου, |* 424 *ἀπ᾽ ὅτευ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν. ταῦτα μαρτύρια ἐπήγετο, ὅτι κατὰ φύσιν οὕτως ἔχει, καὶ ἐδόκει εὖ λέγειν. ἀλλὰ τοῦτο μέν, εἰ ὑπτίη ἡ χεὶρ κατατείνοιτο, ἰσχυρῶς πονοίη ἄν· γνοίη δ᾽ ἄν τις τὴν ἑωυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. ἐπεὶ καὶ ἀνὴρ ἥσσων κρέσσονα διαλαβὼν οὕτως ἐν τῇσιν ἑωυτοῦ χερσίν, ὡς κλᾶται ὁ ἀγκὼν ὕπτιος, ἄγοι ἂν ὅπῃ ἐθέλοι· οὔτε γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅ τι χρήσαιτο τῷ ξίφει· οὕτω*

1 *ἐκέλευε* Litt., *ἔμελλεν* codd. *πολλοὺς ἄλλ.* V *μείζ.* codd. 2 *δὴ* pro *δ᾽ εἰ* V *συγκάψαι* $B^3$V *ἐκέλευσε* B, *-λευε* M 3 *αὐτέῳ* codd. 4 *ἂν* om. codd., *τὰ* pro *ἂν* B, mut. in *μὴ* $B^3$ 6 *αυτα* $B^1$, *τ* praefixit $B^3$ 8 *αὖτις* M *τὸν ἰητρὸν* M 9 *ἐκέλευεν* M, *ἐκέλευε* V 10. 11 *τῷ . . . φύσιν εἶναι* punctis circumscr. B 13 *ἢ* V 14 *ἀφ᾽ ὁκοίου τε* vulg., *τε* om. B, *ἀφ᾽ ὁτέου* Litt., scripsi *ἀπ᾽ ὅτευ*, cf. infra 50, 9 *μετρέουσι* V 15 ante *μαρτ.* add. *τὰ* vulg.; om. BMV 16 *ἐδόκεε* MV *ευλογειν* B 17 *ἡ χεὶρ ὑ.* V *ὑπτία* MV *πον. ἄ$^{ν}$γνοίη* B, ss. $B^2$ 18 *κα|τεινας* B 19 *κρεισσο$^{α}$ν* B, ss. $B^2$ 20 *εὖ* pro *ἐν* DFHIJKN Litt. Pq. *ὥστε* Wb. 21 *ὅποι* V, *ὅπῃ* cet. *οὔ τι* Wb. *ἦν* B 22 *σχεῖ* pro priore *ἔχοι* B *οὕτως* B

βίαιον τοῦτο τὸ σχῆμά ἐστιν. τοῦτο δέ, εἰ ἐπιδήσας τις ἐν τούτῳ τῷ σχήματι ἐῴη, μέζων μὲν πόνος, εἰ περιίοι, μέγας δὲ καὶ εἰ κατακέοιτο. τοῦτο δέ, εἰ συγκάμψαι τὴν χεῖρα, ἀνάγκη τούς τε μύας καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. ἠγνόει δὲ καὶ τάδε τὰ ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης. τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστι· τὸ δ' ἐν τῇ συγκάμψει ἐόν, ἀπ' ὅτευ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, τοῦτο
426 δὲ | τοῦ βραχίονος ἡ κεφαλή ἐστιν. ὁ δὲ ᾤετο τὠυτὸ ὀστέον εἶναι τοῦτό τε κἀκεῖνο· πολλοὶ δὲ καὶ ἄλλοι. ἔστιν δὲ ἐκείνῳ τῷ ὀστέῳ τὠυτὸ ὁ ἀγκὼν καλεόμενος, ὅν ποτὶ στηριζόμεθα. οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται, τοῦτο δὲ τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ ἔσω μέρεος καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν χεῖρα διεστραμμένα γίνεται· τείνει γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρεῖται. αὗται τοσαῦται καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός. εἰ δ' ὡς

1 ἐστί V  2 μέζω M  3 συγκά$^{\mu}$ψαι V  4 post ἀνάγκη neque συνάγειν, quod vulgo fertur, neque πᾶσα, quod pro illo intulerunt Litt. et Pq. ex FHIJKN, legitur in BMV  ἀνάγκη ////άγ//// (ἀνάγκη iteratum) τούς M  5 ἔ$^{\gamma}$χειν B, ss. $B^2$  καὶ τάδε om. $B^1$, add. $B^2$  6 λ$^{\upsilon}$οίμης M, ss. ead. m.  7 τὸν ante σμικρ. om. B  8 πήχεως MV  9 ἐὸν om. $B^1$, ss. $B^2$  ἀπ' ὅτευ B, ἀντὶ τῶν ἀφ' οὗ i. m. $B^3$, ἀπὸ τεῦ MV, ἀπό τευ Pq. μετρέουσι MV  10 τουτον $B^1$, mut. in ταυτὸν $B^2$  12 ἐστι MV  δ' V  τὠυτὸν B, ν add. $B^2$  13 ον $B^1$, ῷι $B^2$  15 τὰ ante ἀπὸ om. MV  16 εἴσω codd.  17 post τείνει add. τε MV$B^2$, om. $B^1$  τείνεται Pq.  19 ὁ om. $B^1$, ss. $B^2$  19. 20 αἱ ἁμ. αἱ ἀγνοίῃ τῆς φ. Rhd.  20 εἰδὼς MV

*ἐγὼ κελεύω χεῖρα κατεηγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς ἰθὺ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον τὸ ἐς τὸν ἀγκῶνα τεῖνον. ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ πρὸς τοῦ βραχίονος τὰ ἄκρα τείνοντα· ἀναλαμβανομένη δὲ ἡ χεὶρ ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ᾧπερ καὶ ἐπιδεομένη, ἄπονος μὲν ὁδοιπορέοντι, ἄπονος δὲ κατακειμένῳ καὶ ἀκάματος. καθίννυσθαι δὲ χρὴ τὸν ἄνθρωπον οὕτως ὅπως ᾖ τὸ ἐξέχον τοῦ ὀστέου πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει, εἰ ἱκανῶς ἐξίθυνται. τοῦ γε μὴν ἐμπείρου οὐδ' ἂν τὴν χεῖρα λάθοι ἐπαγομένην τὸ ἐξέχον· ἀτὰρ καὶ ἀλγεῖ μάλιστα κατὰ τὸ ἐξέχον φαινόμενον.* |

4. *Τῶν δὲ ὀστέων τοῦ πήχεος, ὧν μὴ ἀμφότερα* 428
*κατέηγεν, ῥηίων ἡ ἴησις, εἰ τὸ ἄνω ὀστέον τέτρωται, καίπερ παχύτερον ἐόν· ἅμα μὲν ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γίνεται ἀντὶ θεμελίου, ἅμα δὲ ὅτι εὐκρυπτότερον γίνεται, πλὴν ᾖ τὸ ἐγγὺς τοῦ καρποῦ· παχεῖα γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον καὶ οὐκ εὐσύγκρυπτον καὶ κατατάσιος ἰσχυροτέρης δεῖται. ἢν δὲ μὴ τοῦτο συντριβῇ, ἀλλὰ τὸ ἕτερον, ἐλαφροτέρη ἡ κατάτασις ἀρκεῖ. ἢν δὲ ἀμ-*

1 *κατηγυϊαν* B, *καταγ.* M, *κατεαγ.* V *ἐπιστρέψαι* BMV 4 *πρὸ* B[1], *ς* add. B[2] 7. 8 *καθίνυσθαι* BM *ὅκός* M, *ὁκόσ'* V, *ὁκ.* cet. 8 *εἴη* pro *ᾖ* B 9 *λαμπρότητατην* B, *την* del. B[3] *παρεουσῶν* BV 11 *εἰ* om. MV *ἴθυνται* V 12. 13 *ἀτὰρ . . . ἐξέχον* om. codd. praeter BN *ἀργεει* B[1], corr. B[3] 14 *περὶ πήχεως* tit. MV 15 *κατέηγε* V *ῥηίων* scripsi, *ῥα-* codd. *ἴσεις* B *ων* pro *εἰ* B[1], *ἢν* B[3] cet., scripsi *εἰ* *τέτρωται* BMV, *τετρωμένον εἴη* cet. codd. et vulg. 16 *ὑποτεταγμ.* B 17 *γίγν.* B *δ'* MV 18 *γίγν.* B *η* B, *εἰ* cet. *παχείη* codd. 19 *τῶ ἄνω* M, *τὰ ἄ.* V 20 *εὐξ.* B, *ἐξυγήρυπτον* M, *ἐξυγκ.* V 21 *τοῦτο μὴ* MV *ξυντρ.* V 22 *ἐλαφροτέρη* MVB[1], del. et *φαυλοτέρη* ss. B[3] *ἡ* post *ἐλαφρ.* del. B[3] *ἀρκέει* vulg. *δ'* MV

*φότερα κατεήγῃ, ἰσχυροτάτης κατατάσιος δεῖται· παιδίου μὲν γὰρ ἤδη εἶδον καταταθέντα μᾶλλον ἢ ὡς ἔδει, οἱ δὲ πλεῖστοι ἧσσον τείνονται ἢ ὡς δεῖ. χρὴ*
430 *δ', ἐπὴν τείνωσι, τὰ θέναρα προσβάλλοντα | διορθοῦν· ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πολλῇ, ὡς μὴ περιπλέῃ τὰ ἐπιδέσματα, οὕτως ἐπιδεῖν, ὅπως μὴ κατωτέρω ἄκρην τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ἀλλὰ σμικρῷ τινι ἀνωτέρω, ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιρρέῃ, ἀλλὰ ἀπολαμβάνηται. ἔπειτα ἐπιδεῖν τῷ ὀθονίῳ τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα, ἐρείδων μέν, μὴ πιέζων δὲ κάρτα. ἐπὴν δὲ περιβάλῃ κατὰ τὠυτὸ δὶς ἢ τρίς, ἐπὶ τὸ ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιρροαὶ τοῦ αἵματος ἀπολαμβάνωνται· καὶ τελευτησάτω κεῖθι. χρὴ δὲ μὴ μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια. τῶν δὲ δευτέρων ὀθονίων τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάτηγμα. περιβαλὼν δὲ ἅπαξ ἐς τὠυτό, ἔπειτα νεμέσθω ἐς τὸ κάτω καὶ ἐπὶ ἧσσον πιέζων καὶ ἐπὶ μέζον διαβιβάσκων, ἕως ἂν αὐτῷ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀνάπαλιν δρομῆσαι κεῖθι, ἵνα περ τὸ ἕτερον ἐτελεύτησεν. ἐνταῦθα μὲν οὖν τὰ ὀθόνια ἐπ' ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεδέσθω, ἢ ἐπὶ ὁπότερα ἂν συμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατήγματος καὶ ἐφ' ὁπότερα ἂν περιρρέπειν*

4 *ταθὲν ἄρα* pro *τὰ θέν.* MV 6 *ὅπ.* BMV, *ὅκ.* DFHIJKN, Gal. comm. 369 7 *μικρω* B *καὶ* pro *τινι* B¹MV, *καὶ* lineola del. et *τινι* ss. B³ 8 *ἀνωτέρω*, *τέρω* in raso loco V *ἄκρα*(mut. in *η* B²)*ν ἐπιρέῃ* B post *ἀπολαμβ.* add. *τὴν χεῖρα* B¹, del. B³ 9 *ἐπειδεῖ* B¹, *ν* adscr. B³ *ὀθονίῳ* in raso loco V 10 post *μὲν* add. *οὖν* MV, om. B 11 *περιβάλλει* B, *-λλῃ* V *τὸ αὐτὸ* B, *τὸ////|ϋτὸ* M, *τὸ ὠυτὸ* V 14 *μάκρα* (*ϊ* ss.) B *τὴν* pro *τῶν* V 16 *περιβάλλων* B *τουτω* B, *τὸ αὐτὸ* MV 17 *μέζων* M *διαβιβρώσκων* V 18 *ὡς* codd., scripsi *ἕως* 19 *κεῖθι* om. B¹, adscr. B³ 21 *ἢ* B¹, del. B³ *ὁπότ.* B¹, mut. in *ὁκότ.* B³, *ὁκ.* cet. *ξυμφ.* MV 22 *καταγματος* B, *κατεάγμ.* MV *ὁπ.* B, *ὁκ.* cet. post *περιρρ.* add. *η* B², del. B³

*συμφέρῃ. μετὰ δὲ ταῦτα σπλῆνας κατατείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ· καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον. ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν | ἐναλλάξ, ὁτὲ μὲν ἐπὶ δεξιά, ὁτὲ δὲ ἐπ' ἀριστερά, καὶ* 432
*τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος ἐς τὸ ἄνω ἄγειν, ἔστιν δ' ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω. τὰ δὲ ὑπόξηρα ἀκεῖσθαι τοῖσι σπλήνεσι κυκλεῦντα, τῷ δὲ πλήθει τῶν περιβολέων μὴ πᾶν ἀθρόον συνδιορθοῦντα, ἀλλὰ κατὰ μέρος, προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ τὸν καρπὸν τῆς χειρός, ἄλλοτε καὶ ἄλλοτε. πλῆθος δὲ τῶν ὀθονίων ἱκανὸν τὸ πρῶτον αἱ δύο μοῖραι.*

5. *Σημεῖα δὲ τοῦ καλῶς ἰητρευομένου ταῦτα καὶ ὀρθῶς ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεκται, καὶ εἰ φαίη μὲν πεπιέχθαι, ἡσύχως δέ, καὶ μάλιστα εἰ κατὰ τὸ κάτηγμα φαίη· τοιαῦτα μὲν οὖν φάναι χρὴ πεπρηγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον. σημεῖα δὲ τάδε τῆς μετριότητος· τὴν μὲν ἡμέρην, ἣν ἂν ἐπιδεθῇ, καὶ τὴν νύκτα δοκείτω αὐτὸς ἑωυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι, ἀλλ' ἐπὶ μᾶλλον, τῇ δὲ ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν· μετριότητος γὰρ σημεῖον τῆς πιέξιος. τελευτώσης δὲ τῆς ἡμέρης ἐπὶ ἧσσον δοκείτω πεπιέχθαι, τῇ δὲ τρίτῃ χαλαρά σοι δο-*

1 *ξυμφ.* MV, *ξυμφερει*ʹ B, ss. $B^3$ 3 *τοισι*ʹ B, ss. $B^2$ *τοῖσι ὀθονίοισι* M 4 ante *ἐναλλ.* vulg. add. *ὡς*, om. B *ἐν ἄλαξ* B *ὅτε* bis V 6 *ἔστι* V *ὑπόξηρα* vulg., *ὑπόξυρα* BMV 7 *ἀκέε.* codd., *βοηθεῖσθαι* i. m. $B^2$ *κυκλεῦντας* codd., *-τα* Bosq. *τε* pro *δὲ* B 8 *ξυνδ.* BM, *ξυνδιορθροῦντα* V 12 *ἰητρευμένου* MV *ταῦτα* del. Erm. 13 *ο(ὅ V)ρος* $B^1$MV, corr. $B^3$ *πεπίεχθαι* $B^1$, *-κτ-* $B^2$ 14 *εἰ* DFHIJK, *ἢν* BMV 15 *τοίνυν* pro *μὲν οὖν* MV 16 *πεπραγμ.* B 17 *ταῦτα* MV 18 *δοκεῖ τῶ(ι* M) MV *αὐτὸς* om. MV 19 *ἀλλ' ἔτι μ.* BMV, *καὶ* post *ἔτι* ss. $B^3$ *δ' ὑστ.* MV 21 post *πίεξιος* add. *σου* MV, *σοι* Erm.
22 *δοκεῖ τωι* M, *δοκείτω*, acc. in raso l. V *χαλαρασοι* $B^1$, mut. in *χαλαρά οἱ* $B^3$, *χαλαρὰς οἱ* M *δοκεῖ τωι* M

*κείτω εἶναι τὰ ἐπιδέσματα. καὶ ἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλείπῃ, γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἡ*
434 *ἐπίδεσις τοῦ μετρίου· ἢν δέ τι* | *τῶν εἰρημένων πλεονάζῃ, γινώσκειν χρὴ ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου· καὶ τούτοισι σημαινόμενος τὸ ὕστερον ἐπιδέων ἢ χαλᾶν μᾶλλον ἢ πιέζειν. ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον καὶ διορθωσάμενον ⟨αὖτις ἐπιδῆσαι·⟩ κἢν μετρίως τὸ πρῶτον τετυχήκῃς ἐπιδήσας, ταύτην τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ μᾶλλον ἢ ἐκείνην πιέσαι. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον· ἢν μὲν γὰρ τοῦτο πρότερον ἐπιδέῃς, ἐξείργαται ἐκ τούτου οἱ ἰχῶρες ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα· ἢν δέ τι ἄλλο πρότερον πιέξῃς, ἐς τοῦτο ἐξείργαται ἐκ τοῦ πιεχθέντος. ἐς πολλὰ δ' εὔχρηστον τοῦτο συνιέναι. οὕτως οὖν ἄρχεσθαι μὲν αἰεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεξιν ἐκ τούτου τοῦ χωρίου, τὰ δ' ἄλλα κατὰ λόγον, ὅσῳ ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς, ἐπὶ ἧσσον τὴν πίεξιν ποιεῖσθαι. χαλαρὰ δὲ παντάπασιν μηδέποτε περιβάλ-*
436 *λειν, ἀλλὰ προσπεπτωκότα.* | *ἔπειτα δὲ πλείοσιν ὀθονίοισι χρὴ ἐπιδεῖν ἑκάστην τῶν ἐπιδεσίων. ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλόν οἱ πεπιέχθαι ἢ τὸ πρότερον,*

1 *κἢν* M, *κ' ἢν* V post *μὲν* add. *ἂν* B[1], del. B[3] 2 *ἐλλίπῃ* MV *ὅτι* om. MV *ἡ* N, om. BMV 3 *δ' ἔτι* MV 4 *χρὴ γιν.* MV 5 *τουτέοισι* BMV 6 *ἀπολύσ.* B[1], mut. in *ἐπιλ.* B[3] 7 *αὖτις ἐπιδῆσαι* om. codd., add. Litt., cf. infra in fine huius cap. 8 *ἢν* pro *κἢν* B *κατάτυχῃς* MV 12 *ἐξαρίαντε* B, *ἐξαρείαται* M bis, *ἐξαρειᾶται* V, ε supra ει scr. V[2], scripsi *ἐξείργαται* 14 *ἐξαρίατε* B, *ν* ss. B[3], *ἐξαρειᾶται* V 15 *τουτο* B, *τὸ* pro *τοῦτο* MV *ξυνιέναι* BMV 16 *αει* B *τουτέου* MV 17 *ὡς ἂν* codd., *ὅσῳ ἂν* Rhd. 19 *ποιέε.* MV *παντάπασι* V 20 *πλείοσι* M 21 *εκαστη* B

*καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα, καὶ τἆλλα κατὰ λόγον· καὶ ἀμφὶ τῷ οἰδήματι καὶ ἀμφὶ τῷ πονεῖν καὶ ἀμφὶ τῷ ῥηίζειν κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. ἐπὴν δὲ τριταῖος ᾖ, χαλαρώτερά οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα. ἔπειτα ἀπολύσαντα χρὴ αὖτις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα καὶ ἐν πᾶσι τοῖς ὀθονίοισιν οἷσιπερ ἤμελλεν ἐπιδεῖσθαι, καὶ ἔπειτα πάντα αὐτὸν ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων.*

6. *Ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα· τὸ δ' ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται, ἐν δὲ τῇ ἑβδόμῃ καὶ πάνυ λεπτὸν καὶ τὰ ὀστέα τὰ κατεηγότα ἐπὶ μᾶλλον κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέσαντα ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. ἐπὴν δ' ἐπιδήσῃς τοῖσιν ὀθονίοισιν, τοὺς νάρθηκας περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσι ὡς χαλαρωτάτοισι, ὁπόσον ἠρεμεῖν, ὥστε μη-*

1 *τὰ ἄλλα* MV post *τἆλλα* add. *δὲ* $B^{3}$MV, om. $B^{1}$ 2 *πονέειν* codd. 2. 3 *τὸ οἴδημα . . . τὸ πον. . . . τὸ ῥ.* V 4 *γενέσθω* B, *γ ͥέν.* V *ἐπὴν* ut saepius V 5 *ἐπὶ τὰ* M *αὖτις* $B^{1}$, *αὖθις* $B^{3}$MV 6 *ἐν* om. Erm. *τοῖσιν* MV 7 *ἐμ.* V *καὶ ἐπὶ τὰ* B 7. 8 *αὐτὸν πάντα* V 8 *ταῦτα* om. V, *ταὐτὰ* Erm. 10 *ἐπ' ἢν* M *τριταιος* $B^{1}$, mut. in *πεμπταῖος* $B^{3}$ ante *ἑβδ.* add. *ἢ* B *ἑβδ. δει* $B^{1}$, mut. in *ἑ. δὲ* $B^{3}$ 13 *ͣπασησι* B, ss. $B^{3}$ 14 ante *λεπτ.* add. *τὸ* MV, om. B *ἐπιλεπτ.* $B^{1}$, mut. in *ἔτι λεπτ.* $B^{3}$ *καὶ ἰσχν.* om. $B^{1}$, ss. $B^{3}$ 18 *. . σῃ* pro *ὡς ἐς* B *πιέσαντας* BM 19 *πλεῖον* BM 20 *δὲ* V *τοῖσι ὀθονίοισι* B, *τοῖσι* M, *ὀθονίοισι* V 21 *ἐν* reiecit Erm. 22 *δεσμοῖσιν* MV *χαλαρωτάτοισιν* MV *ὁπ.* scripsi, *ὁκ.* codd. *ἠρεμέειν* codd.

δὲν συμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν 438 ναρθήκων πρόσ|θεσιν. μετὰ δὲ ταῦτα ὅ τε πόνος αἵ τε ῥηΐστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι προτέρῃσι περιόδοισι τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ᾽ ἔπειτα χρὴ τοὺς νάρθηκας ἐρείσασθαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἆλλα κατὰ λόγον, ᾗπερ καὶ ἡ ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεξεν. παχύτατον δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα, μὴ μὴν πολλῷ. ἐπιτηδεύειν δὲ χρὴ μάλιστα μὲν κατ᾽ ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κείσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ, μηδὲ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ. ἢν δὲ ἄρα πρὸς τὸ κάτηγμα συμφέρῃ κεῖσθαι κατὰ ταῦτά τινας τῶν ναρθήκων, βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιεῖν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν· κίνδυνος γὰρ ἑλκώσιος καὶ νεύρων ψιλώσιος. χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξι πάνυ ἡσυχῇ οὕτω τῇ γνώμῃ ἔχοντα, ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέαται, ἀλλ᾽ οὐ πιέξιος εἵνεκεν ἐπιδεδέαται.

7. Ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν καὶ μήτε κνησμοὶ

1 ξυμβ. MV εἰς B 3 ῥηΐ- scripsi, ῥαΐ- M, ῥα- cet. 4 πρωτεριησι B, πρώτησι MV 7 τἆλλα V ηπερ B, ἥπερ MV, εἴπερ vulg. post ἐχάλα add. ἄρα Pq. ex rec. codd. Par. 8 ἢ ἐπίεξεν B, ἢ ἐπι restituit B[3] ἐπίεζε V χρὴ εἶναι B[1], εἶ. χρὴ B[3] ἢ V 11 μὴ δὲ MV 12 δακτ. BMV, om. edit. 13 τὸ om V 14 ξυμφ. MV 15 ποιέειν codd. 18 τοῖσιν νάρθηξιν B πάντη pro πάνυ V 19 οὕτως B ἔχοντας MV 20 προσκεονα(α del. B[3])ται B, προσκέονται MV ante πιέξ. add. τῆς MV, om. B ἕνεκεν V 21 ἐπιδεδεανται B, ἐπιδέδενται M, ἐπιδέονται V 22 ἀπειουνται B 23 προτέρησι BM ἐπιδέσεσι MV

λυπέωσι μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ | ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν, ἔστ' ἂν ὑπὲρ 440 εἴκοσιν ἡμέρας γένηται. ἐν γὰρ τριήκοντα μάλιστα τῇσι συμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν πήχει τὸ ἐπίπαν· ἀτρεκὲς δὲ οὐδέν· μάλα γάρ [τε] καὶ φύσις φύσιος καὶ ἡλικίη ἡλικίης διαφέρει. ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα ἢ τὸ πρόσθεν, ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν ἢ τὸ πρότερον· καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖς ὀθονίοισι. ἐπὴν δέ, ὅταν τοῖσι νάρθηξιν δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι ἢ ἄλλο τι ὀχλῇ τὸν τετρωμένον, λύσαντα ἐν τῷ μεσηγὺ τοῦ χρόνου ἢ ὀλίγῳ πρόσθεν μετεπιδῆσαι. δίαιτα δὲ τούτοισιν, οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκεῖ ὑποφαύλη. ἐνδεέστερον δὲ χρὴ διαιτᾶν ἄχρι ἡμερέων δέκα, ἅτε δὴ καὶ ἐλινύοντας, καὶ ὄψοισι ἁπαλοῖσι χρῆσθαι, ὁπόσα τῇ διεξόδῳ μετριότητα παρασχήσει· οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. ἔπειτα μέντοι ἐκ προσαγωγῆς | ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ 442 νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος, ὥς τε

1 μηδὲ μία MV 2 νάρθηξι V 3 γίν. M γὰρ om. MV 4 ξυμπ. MV 5 ἀτρακὲς B μάλλα B τε om. DFHIJKN Litt. 6 ἡλικη B 7 καταχεαι mut. in -χεειν B[3] 8 τοῖσι ὀθονίοισι BM 10 τοῖσι M, τοῖσιν V 11 ὀθονίοισιν V ὅταν om. V post ὅταν add. ἐν de suo Erm. νάρθηξι MV 12 ὀχλέῃ codd. 13 τὸν B, mut. in τὸ B[3] λῦσαι MV μεσηγὺ B, mut. in ἡμίσει B[3], ἡμίσει MV 14 πρόσθε M ante μετεπ. add. καὶ αὖθις rec., om. BMV δίαιται M τουτέοισιν codd. οἷσι BM 15 ἐξίσχει M 16 ἀρκέει codd. ante ἐνδεέστ. ex Parr. rec. σμικρόν τι, καὶ γὰρ add. Pq. δίαιταν M 17 ἤδη pro δὴ Gal. comm. ἐλλιν. V ὄψοισιν V ἁπλοῖσι B 18 ὁκ. codd. παρασχησῃ B, παράσχησι(ν V) MV 20 οὕτως B 21. ὥστε . . . ὥστε p. 58, 1 codd., ὥς τε . . . ὥς τε Erm.

*χειρίζειν χρὴ ὥς τε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅ τι δ᾽ ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ, ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται ἢ πεπλεόνασται. ἔτι δὲ τάδε χρὴ προσσυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσαν μελέτην καὶ πᾶσαν ἐπίδεσιν οἵά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα· ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένος, τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρῆται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος· ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων. χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρεῖσθαι.* |

444 8. *Ἢν δὲ ὁ βραχίων καταγῇ, ἢν μέν τις ἀποτανύ-*

1 *ἀποβαίνει* MV 2 *ἀποβαίνειν* pro *-νῃ* B 3 *τί* V

4 *ταδε* B, ς (*καὶ*?) ss. man. posterior *προσξ.* MV 6 *διαφθειρϊν* B, mut. in *διαφθεῖραι* B$^{3}$, *δεῖ φθείρειν* MV 7 *ποιευγμενα* B, mut. in *-μένη* B$^{3}$ *κατηγῆ* B 8 *τενίης τείνει* MV 9 *ἔχει* MV Gal. in cit. XVIII, 2, 817 *ἀναλελεμμένος* V, *-λαμμένην* Gal. ibid. *τυγχάνει* MV Gal. ibid. 10 *καὶ* om. M 11 *ἀπαιωρηται* B, ss. *ἀποκρέμαται* B$^{2}$, *ἀπηώρηται* V, *ἀπαιωρέηται* cet. *τὸ ἕτερον ὀστέον* Gal. ibid. 12 *κατεαγ.* Gal. 13 *οὗτος* V *τε* om. Gal. 14 *ἔχει* B *περὶ* pro *παρὰ* Gal. *ὅλος* pro *ἄλλος* Gal. 15 ante *μετέωρος* add. *μὴ* vulg. Gal., om. codd.; utramque lectionem, cum negatione et sine ea, defendit Gal. comm. 415 *ᾖ* om. B *οὕτως* B 16 *διεστραμμενως* MV *ἔχον* B Gal. in cit. 818 *ἐν τῇ τ.* Gal. ibid. *τενίῃ* BM 17 *πήχεως* MV 18 *αἰωρϊσθαι* B, *αἰωρέεσθαι* M vulg., *αἱρέεσθαι* V post *αἰωρ.* tit.: *Γ περὶ βραχιονος καταγεντος* B, *π. βραχίονος* MV 19 *καταιαγῆ* B

*σας τὴν χεῖρα ἐν τούτῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος ἐπιδεθήσεται· ἐπὴν δ' ἐπιδεθεὶς συγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε· ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον, ὁποῖοι οἱ στειλαιοί εἰσι τῶν σκαφίων, κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα· καθίσαντα δὲ τὸν ἄνθρωπον ἐπὶ ὑψηλοῦ τινος τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στειλαιὸς ἔχων συμμέτρως, ὥστε μόλις δύνασθαι καθίννυσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι· ἔπειτα θέντα τι ἄλλο ἔφεδρον καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον ἢ ἓν ἢ πλείω, ὅπως συμμέτρως σχήσει ὕψεος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην, ἄριστον μὲν σκύτος πλατὺ καὶ μαλθακὸν ἢ ταινίην πλατέην ἀμφιβαλόντα τῶν μεγάλων τι σταθμῶν ἐξαρτῆσαι, ὅ τι μετρίως ἕξει κατατείνειν. εἰ δὲ μή, τῶν ἀνδρῶν ὅστις ἐρρωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος ἐόντος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω | ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν* 446
*χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων,*

1 *τουτέω* BM, *-τω* V 3 *ξυγκ.* MV 4 *σχίσει* MV 5 *οις οιοι* (corr. *ὁκοιοι* $B^3$) *στηλεοι οσι* (corr. *ὦσι* $^3$) B *ὁκ.* cet. 7 ad *σειρῇ* i. m. *το ιμαντι* minoribus litt. B *σιρῆι* M *δεισαντα* B post *δὲ* add. *χρη* B 8 *ἐπι* B, *ἀπὸ* MV ⟨*ὥστε*⟩ post *τινος* Wb. 8. 9 *τῇ μασχάλῃι* $B^1$ mut. in *τὴν μασχάλην* $B^2$ 9 *στιλμὸς* $B^1$, mut. in *στιλεὸς* $B^3$, *στειλ*$\overset{αι}{έ}$*ος* M 10 *δύναται* MV *καθίνν.* BMV, *καθικνεῖσθαι* vulg. 11 *δὲ ὄντα* MV 12 *ὑποθέντα* (-ς M) $B^1$, mut. in *ἐπιτιθέντα* $B^3$ *μὴ* pro *ἢ* $B^1$, corr. $B^3$ *ἐνῆ* pro *ἓν ἢ* V 13 *ὅκ.* MV *ξυμμ.* codd. *σχῆσι* M, *σχῆσιν* V *ὕψεος* B, *ὕψιος* M, *ὕψηος* V post *τοῦ* add. *δὲ* B *πήχεως* MV 14 *γον.* B 15 *τενίην* BM *πλατέην* codd., *-είην* vulg. *ἀμφιβάλλ.* codd., *-βαλόντα* Erm. 16 *σταθμίων* MV, *σταθμων* B, *ϊ* inser. $B^3$ *ἔχει* V 18 *πήχεως* ut solent MV *ἐόντος* om. codd., *ὄντος* unus H 19 *ὀρθως* B, *ὀρθὸς* MV

*κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον. ῥηϊδίως δὲ κατορθώσεται· ἀγαθὴ γὰρ ἡ κατάτασις, ἥν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα καὶ τἄλλα πάντα ὥσπερ πρότερον παρηνέθη, χειριζέτω καὶ ἐρωτήματα ταὐτὰ ἐρωτάτω καὶ σημείοισι χρήσθω τοῖσιν αὐτοῖσιν, εἰ μετρίως ἔχει ἢ οὔ· καὶ διὰ τρίτης ἐπιδείτω καὶ ἐπὶ μᾶλλον πιεζείτω· καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω, καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τούτου τοῦ χρόνου λυσάτω καὶ εὐθετισάμενος μετεπιδησάτω.*

*Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσι. ἐπὴν δὲ ταύτας ὑπερβάλῃ, λύειν χρὴ καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισιν καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον διαιτᾶν καὶ πλείω χρόνον. τεκμαίρεσθαι δὲ πρὸς* 448 *τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ | τὴν ῥώμην ὁρέων. προσσυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος· ἐς τοῦτο τοίνυν τὸ μέρος καὶ διαστρέφεσθαι φιλεῖ, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ*

1 ad *θέναρσι* minor. litteris *κυλομαχ̃* (i. e. *κοίλωμα χειρός*) i. m. B  2 *κατασ(τ)τασις* B, *τ* ss. B[3], *καταθέσεις* i. m. B[2]  *καλῶς* ss. minor. litt. B[1]  3 *παρασκευήται* V  *ἐπειδήτω* B  4 *τ' ἄλλα* V  5 *παρηνθη* B, corr. *παρηνήθη* B[3], *παρηνέχθη* V  *ταῦτα* codd., em. Litt.  6 *σημίοισι* B  *τοῖσι αὐτέοισι* B  *αὐτέοισιν* vulg.  7 *πιεζείτωι* BM, -*ζέτω* cet.  8 *ἐνναταῖ.* V  post *δησ.* de suo *ἔστ' ἂν ὑπὲρ τριήκοντα ἡμέρας γίν*(*γέν* Erm.)*ηται* add. Litt.  9 *ὑποπτεύῃ* B  *μεσσ.* B et in marg. *ἐν μέσω* ab ead. m. minor. litt.  *τουτέου* MV  10 *τοῦ* om. B[1], adscr. B[3]  *εὐθετησάμ.* V  *ἐπιδησάτω* V  12 *ἡμέρῃσιν* MV  *ταῦτα* mut. in *ταύτα(ς)* B  *ὑπερβάλλῃ* BV  13 *ὀθονίοισι* MV  *ἐλάσσοσι* M  15 ante *πλείω* add. *η* (*εἰς* ?) B, del. B[3]  *τεκμέρ.* BM et i. m. *σημειωσις* B[2]  16 post *ἄκρῃ* iterat *ἐν* B, del. B[3]  *ὁρέων* B, -*ῶν* MV  17 *προσξυν.* codd. et *συνεπινοεῖν* i. m. B  *ὁ* ante *βραχ.* K Litt.  18 *ἐς τ. τ. τ. μ.* om. MV  19 *θέλει* B, *φιλέει* MV

καὶ τὰ ἄλλα πάντα ὀστέα, ἐς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλεῖ διαστρέφεσθαι, ἐπὴν καταγῇ. χρὴ τοίνυν, ἐπὴν τοιοῦτόν τι ὑποπτεύῃ, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα, καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι ἢ ἄλλο τι ὃ τούτῳ ἔοικεν· οὕτω γὰρ ἂν ἀλορδότατον τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι δὲ αἰεὶ χρή, ὅπως μὴ ἄγαν διαστρέψῃ ἐς τὸ ἔσω μέρος.

9. *Ποὺς* δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ σμικρῶν ὀστέων σύγκειται, ὥσπερ καὶ χεὶρ ἄκρη. κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ σὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα ἐν ἑλκωσίων μέρει εἰρήσεται, ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης ἢ τῶν δακτύλων ἄρθρον ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ | καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται· ἰητρεύειν δὲ κηρωτῇ καὶ 450 σπλήνεσι καὶ ὀθονίοισι, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν ναρθήκων, τὸν μὲν αὐτὸν τρόπον πιεξεῦντα, διὰ τρίτης

1 τἄλλα M, τ' ἄλλα V ἐς om. MV ἅπερ V 2 οφιλέει B, ο del. B[3] 3 κατεαγῇ codd., correxi τοιοῦτο MV ὑποπτεύηται MV 5 περί τε τὸ B 7 πουλύπτ. M 8 τουτέῳ MV αλορδοτ. B, ἰθὺ pro ἀλ. MV 9 γένηται V δὲ αει B, αἰεὶ om. M μέντοι pro δὲ αἰεὶ V 10 διαστρέψῃ om. MV
11 Δ περὶ ποδὸς tit. B, περὶ ποδός tit. MV ποῦς V σμ. Bosq., μ. codd. 12 ξυγκ. MV καὶ ante χεὶρ om. MV μὲν οὐ mut. B[3] in μ. οὖν οὐ 13 εἰ pro ἢν V ξυν MV χρώματι MV τητρωσκόμενοῦ B, -μενον mut. B[3] in -μένῳ 15 ἑλκώσηων V μέρη B 16 ἢ del. B[3] ἄρθρων B 17 καλεουμ. V καταναγκ. exemplaria quaedam memoria Galeni XVIII, 2, 439 19 ante ἰητρ. add. καὶ MV ante κηρ. add. καὶ punctis inclusum B 20 ὀθονίοισιν V 21 ante ναρθ. add. τῶν MV

*δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασιν, καὶ περὶ τοῦ πεπιέχθαι καὶ περὶ τοῦ χαλᾶν. ὑγιᾶ δὲ γίνεται ἐν εἴκοσι ἡμέρῃσι πάντα τελέως, πλὴν ὁπόσα κοινωνεῖ τοῖσι τῆς κνήμης ὀστέοισι κατ' αὐτὴν τὴν ἴξιν. συμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον· ἀλλὰ γὰρ οὐ τολμῶσι ὑπερορῶντες τὰ νοσήματα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως· ὅλον γὰρ τὸ ἄχθος οἱ πόδες τοῦ σώματος ὀχέουσι. ὁπόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέωσιν, φλαύρως συναλθεῖται τὰ ἄρθρα τὰ κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ.*

10. *Τὰ δὲ κοινωνέοντα τοῖσι τῆς κνήμης ὀστέοισι μέζω τε τῶν ἑτέρων ἐστὶ καὶ κινηθέντων τούτων πολυχρονιωτέρη ἡ ἄλθεξις. ἴησις μὲν οὖν ἡ αὐτή· ὀθο-*
452 *νίοισι δὲ πλείοσι | χρῆσθαι καὶ σπλήνεσι καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδεῖν. πιέζειν δέ, ὥσπερ καὶ τὰ ἄλλα πάντα, ταύτῃ μάλιστα, ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιεῖσθαι. ἐν δὲ ἑκάστῃ*

2 *κατήγμασι* MV 3 *χαλαν* B, *χαλαρὰν εἶναι* MV, *χαλαρὸν εἶναι* Pq. *ὑγία* M, *ὑγεία* V *εἴκοσιν* MV 4 *παντατελιως* B, *τελέως ἅπαντα* MV *ὁκ.* codd. *κοινωνέει* codd. 5 *καὶ αὐτέῃ* (*-τῇ* B) *τῇ ἴξει* (*εἴξῃ* B) codd., *κατὰ τὴν ἴξιν* Gal. comm. XVIII, 2, 443, *κατ' αὐτὴν τὴν ἴξιν* Erm. *ξυμφ.* MV 6 *τολμέουσι* M, *-ν* V 7 *τὸ νόσημα* MV 8 *ἐξυγιαίνουσιν* M 10 *εἰκότως* del. Erm. 10. 11 *τ. σώμ. οἱ π.* MV 11 *ὀχέουσιν* MV *ὁκ.* codd. *ὁδοιπορέουσιν* M, *ὁδοιπορέωσι* V 12 *ξυναλθεεται* B, *-θάσσεται* MV *τὰ* ante *κιν.* om. Gal. i. t. 13 *διατοῦτο* MV *καὶ ἄλλ.* ss. B[3] ante *ὀδ.* add. *ὁδοιπορέοντες* Littraei Parisini DHIJ KLMNQ', om. BM(arcian.)V vulg. 16 *μείζω* MV *πονλ.* M 17 *ἄλθαξις* V, *θεραπεια* i. m. B[2] 18 *πλέοσι* MV, *πλείστοισι* Bosq. *χρέεσθαι* MV *ἐπίπαν* V 19 *ἐπιδέειν* codd. *τἄλλα* M, *τ' ἄλλα* V 20 *εἰ* pro *ᾗ* B 21 *ποιέεσθαι* codd.

τῶν ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρῆσθαι, ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχεῖν τοῖσι κατ᾽ ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν τοῖσιν αὐτοῖσι χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων, ἅπερ ἐπὶ τοῖσι πρόσθεν, καὶ τὰς μετεπιδέσιας ὡσαύτως χρὴ ποιεῖσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν τολμῶσι κατακεῖσθαι· ἢν δὲ μή, πάσχουσιν τὰ αὐτὰ ἃ καὶ οἱ πρότερον καὶ ἐπὶ μᾶλλον.

11. Ὅσοι δ᾽ ἀπὸ ὑψηλοῦ τινος ἐστηρίξαντο τῇ πτέρνῃ πηδήσαντες ἰσχυρῶς, τούτοισι διίσταται μὲν τὰ ὀστέα, φλέβια δ᾽ ἐκχυμοῦται ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δ᾽ ἐπιγίνεται καὶ πόνος πολύς. τὸ γὰρ ὀστέον τοῦτο οὐ σμικρόν ἐστι καὶ ὑπερέχει μὲν ὑπὸ τῇ ἰθυωρίῃ τῆς κνήμης, κοινωνεῖ δὲ φλεψὶν καὶ νεύροις ἐπικαίροις· ὁ τένων δὲ ὁ ὀπίσθιος τούτῳ προσήρτηται τῷ ὀστέῳ. τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισιν· ὕδατι δὲ θερμῷ πλείστῳ ⟨ἐπὶ⟩ τούτοισι χρῆσθαι καὶ

1 ἐπιλυσίων B non male, ἀπολύσηων V χρέεσθαι codd. ἅπασι B, α ss. B³ 2 θερμὸν om. Pq. καταχέειν MV τοῖσι B, extremam litt. add. B³ ἄθρα M 3 αὐτέοισι codd. 4 δικν. BM 5 μετ᾽ ἐπιδέσ. M ποιέεσθαι codd. 6 ὑγιες B 7 τολμέωσι MV 8 πάσχουσι M, -χωσι V ταᾶυτα B, ταῦτα MV ἃ ss. B³ οἱ B¹, del. B³, om. rel. 10 ε̄ περι των κατα την (την om. B) πτερναν (πτερνα B) codd. i. tit. Ὅ. δὲ πηδήσαντες ἀφ᾽ ὑ. τ. ἐ. τ. πτ. ἰσχ. MV 11 τουτέοισι codd. διίστανται M, διιστάται B, ν ss. B³ 12 ἐκχυμοῦνται codd., correxi post ἐκχυμ. add. και B, del. B³ ἀμφιφλασθ. BMVHK, -θλασθ. rel. et Gal. comm. l. l. 446 14 πουλ. MV 15 τη^ν ν ss. B³, τὴν rel. ἰθυωρίην codd., correxi κοινωνέει codd. 16 ante φλεψὶν add. καὶ B³ φλεψὶ MV νεύροις codd., -σιν Litt. Pq. ἐπικαίροισι M, -σιν V ὁ ante ὀπίσθ. om. Pq. 18 σπλήνεσι MV ὀθονίοισι MV 19 post πλ. iterat καὶ θερμῷ M ⟨ἐπὶ⟩ add. Litt. τουτέοισι codd.

ὀθονίων πλειόνων ἐπὶ τούτοισι δεῖ καὶ ἄλλως ὡς βελ-
454 τίστων καὶ προσηνεστάτων. καὶ ἢν μὲν τύχῃ | ἁπαλὸν
τὸ δέρμα φύσει ἔχων τὸ ἀμφὶ τὴν πτέρνην, ἐᾶν οὕτως·
ἢν δὲ παχὺ καὶ σκληρόν, οἷα μετεξέτεροι ἴσχουσι, κα-
τατάμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώ-
σκοντα. ἐπιδεῖν δὲ ἀγαθῶς οὐ παντὸς ἀνδρός ἐστι τὰ
τοιαῦτα· ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ τὰ ἄλλα τὰ κατὰ
τὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα περιβαλλό-
μενος, ὁτὲ δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται
χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ φλάσμα ἐγένετο· καὶ
οὕτως κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης.
καίτοι ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν ἀντί-
σχειν τὸ νόσημα. καὶ γὰρ τὰ ἄλλα ὅσα μὴ ἐκ τοιού-
του τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης
τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος ἢ ἐν κνήμῃ
τρώματος γενομένου ἐπικαίρου καὶ χρονίου καὶ κοινοῦ
τῇ πτέρνῃ ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ
χρονίου γενομένου, ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια
καὶ ὀχλώδεα καὶ πολλάκις ἀναρρηγνύμενα, ἢν μὴ χρη-
στῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ δ' ἡσυχίῃ, ὥς τά |
456 γ' ἐκ τοιούτου τρόπου σφακελίζοντα καὶ κινδύνους

1 ὀθονίοισι πλείοσιν MV τουτέοισι MV 3 ἔχῶν (ο ss.) V τὸ om. V τῇ πτέρνῃ M 4 μετεξετέροις B, ultimam litt. del. $B^3$ ἴσχουσιν M κατατέμν. B 5 διατιτρ. (om. μὴ) B, mut. in μὴ τιτρ. $B^3$ 6 ἀνδρῶς M 7 post ὥσπερ add. καὶ MV 8 ἐπιδεῖται (ε ss.) M 8. 9 ὅτε μὲν ... ὅτε δὲ MV 10 τὴ πτέρνη B, corr. $B^3$ ᾗ om. B, adscr. $B^3$ 12 σφακελησει B ἀντισχεῖ B, ν ss. $B^3$, ἀντισχεῖν V 13 τἄλλα M, τ' ἄλλα V μὴ om. B, ss. $B^3$ 14 κατακλείσει MV 15 ἀμελίης B 16 γιν. M ἐπικαιροῦ M, ἐπὶ καιροῦ V καὶ ante χρ. om. V 18 ὁμῶς Litt. καὶ τοῖσι τοιούτ. del. Erm. 19 ἀναρηγν. B, ρρη in ras. V 21 ante τοιούτου add. τοῦ M ὥς τά γε σφακελίζοντα· ἐκ τοῦ τοιούτου δὲ τρ. σφακελίζοντα καὶ κινδ. Litt. ex lectionibus Severin. (L)

μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ· καὶ γὰρ πυρετοὶ ὑπεροξέες, συνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι καὶ ὀλιγήμεροι κτείνοντες· γένοιντο δ' ἂν καὶ φλεβῶν αἱμορρόων πελιώσιες, ναυσιώσιες καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος· γένοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα φλάσματα γίνεται· τὰ μέντοι πλεῖστα ἡσυχαίως ἀμφιφλᾶται καὶ οὐδεμία πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε χρὴ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιεῖν χρὴ καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιεῖσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα, ἄλλοτε πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην· προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται, καὶ ἰσχυρὴν μὲν μὴ ποιεῖσθαι τὴν πίεξιν, πολλοῖσι δὲ τοῖς ὀθονίοισι. ἄμεινον δὲ καὶ ἐλλέ|βορον 458 πῖσαι αὐθημερὸν ἢ τῇ ὑστεραίῃ, ἀπολῦσαι δὲ τριταῖον καὶ αὖτις μετεπιδῆσαι. σημεῖα δὲ τάδε, εἰ παλιγκοταίνει ἢ οὔ· ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν καὶ τὰ μελάσματα καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίνηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. ἀλλ' ἢν

2 ξυνεχ. MV 3 post κτείν. add. τε MV γένοιτο BM 4 ναρκώσιες BM, -σηες V, ναυσιώσιες vulg. et Gal. comm. l. l. 459 sqq. 5 καὶ γαγγρ. om. B, ss. ναυσιώσιες τε καὶ γαγγρ. B[3] 7 ταῦτα pro alt. τὰ MV 8 οὐδὲ μία MV 9 εχρη (γε om.) B, γ praescripsit B[3], γε om. D 10 δόξῃ bis deinceps M 11 ποιέειν, -έεσθαι codd. 12 πτέρναν B 13 ἀντιπεριβάλλονται M 14 παρα B[1], περὶ B[3] 15 post πάντα om. καὶ V 16 ἰσχυριην B ποιέε. codd. 17 ante πολλ. add. ἐν codd. rec. Litt. Pq., ἐν om. BMV ὀθονίοισιν V ἐλέβ. V 18 πησαι B, πιπίσκειν MV ante αὐθ. add. ἢ B[3], post αὐθ. ἢ om. B, ss. B[3] 19 αὖτις MB (τ mut. B[3] in ϑ), αὖθις B[3]V παλιγκοταινεῖ V 21 γίνεται MV

*μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ ὥσπερ εἴρηται, καὶ ὅσα ἂν μὴ συνεχεῖ πυρεταίνῃ· ἢν δὲ συνεχεῖ πυρεταίνῃ, μὴ φαρμακεύειν, ἀπέχειν δὲ σιτίων καὶ ῥυφημάτων, ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ. ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν, τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται καὶ οὐ σκληρά· ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσι τοῖσιν ἐκχυμώμασι τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν· ὅσα δὲ σὺν σκληρύσμασι πελιοῦται, κίνδυνος μὲν μελανθῆναι· τὸν δὲ πόδα ἐπιτηδεύειν χρή, ὅπως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δ' ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμέοι.* |

460 12. *Ἡ δὲ κνήμη δύο ὀστέα ἐστίν· τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον. συνέχεται δὲ ἀλλήλοισιν τὰ πρὸς τοῦ ποδὸς καὶ ἐπίφυσιν κοινὴν ἔχει, ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ συνέχεται· τὰ δὲ πρὸς τοῦ μηροῦ συνέχεται καὶ ἐπίφυσιν ἔχει, καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ.*

13. *Ὀλισθάνει δ' ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδός,*

1 *μὲν* om. B post *εἴρηται* ss. *ἀλλὰ* $B^3$ 2 *ἂν* ss. $B^3$, om. cet. *ξυνεχωσ ει* B, *ει* lineola transversa del. $B^3$, *ξυνεχει* M, *ξυνεχῆ* V priore loco *πυρεταίνηται* BMV, correxi *ξυνεχῆ* V 3 *ῥοφ.* codd. 5 ante *ὀξυγλ.* add. *τῷ* codd. rec. Litt. Pq., *τῷ* om. BMV 7 *τὸ* om. B 8 *τοῖσι ἐκχ.* BM 9 *σκληρύμασι* B *μὲν* om. B 10 *ὄκως* M 12 *ἡμέρῃσι* BM *ἀτρεμέει* supra prim. *ε* accentu eraso V 13 (ϛ̄ B) *περι κνημης* in tit. BMV *ἐστὶ* MV *συχνῶ*, *σ* ss. $B^3$ 15 *ξυνέχ.* MV *ἀλλήλοισι* V 16 *ἠθυωρει* B 17 *ξυνέχ.* bis BMV, *σ* codd. rec. *του μηρου* $B^1$, mut. in *τω μηρω* B 18 *διάχυσιν* MV 19 *ἕτερον* om. Pq. *σμ. τῷ κατὰ* Pq. 22 *δὲ* MV ante *ἔστ.* ss. *καὶ* $B^3$

ὁτὲ μὲν σὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα, ὁτὲ δὲ ἡ
ἐπίφυσις ἐκινήθη, ὁτὲ δὲ τὸ ἕτερον ὀστέον. ταῦτα δὲ
ὀχλώδεα μὲν ἧσσον ἢ τὰ ἐν τῷ | καρπῷ τῶν χειρῶν, 462
εἰ τολμῷεν ἀτρεμεῖν οἱ ἄνθρωποι· ἴησις δὲ παραπλησίη
οἵη περ ἐκείνων· τήν τε γὰρ ἐμβολὴν χρὴ ποιεῖσθαι
ἐκ κατατάσιος ὥσπερ ἐκείνων, ἰσχυροτέρης δὲ δεῖται
τῆς κατατάσιος, ὅσῳ καὶ ἰσχυρότερον τὸ σῶμα ταύτῃ.
ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν
ἔνθεν ὁ δὲ ἔνθεν τείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυ-
ροτέρην ῥηίδιόν ἐστιν ποιεῖν τὴν κατάτασιν· ἢ γὰρ
πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλο τι ὅ τι τούτῳ ἔοικεν,
μαλθακόν τι περὶ τὸν πόδα περιβαλεῖν, ἔπειτα πλατέσι
βοείοισιν ἱμᾶσιν περιδήσαντα τὸν πόδα τὰς ἀρχὰς τῶν
ἱμάντων πρὸς ὕπερον ἢ πρὸς ἕτερον ξύλον προσδή-
σαντα τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα
ἀνακλᾶν, τοὺς δὲ ἀντιτείνειν ἄνωθεν, τῶν τε ὤμων
ἐχομένους καὶ τῆς ἰγνύης. ἔστιν δὲ καὶ τὸ ἄνω τοῦ
σώματος ἀνάγκῃ προσλαβεῖν. τοῦτο μὲν ἢν βούλῃ, |
ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι 464
αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιή-

1 sq. ὅτε (ter) V ξὺν MV 3 χειρέων MV 4 ἀτρεμέειν MV 5 ηπερ pro οἵη περ B ἐκείνω MV ποιέεσθαι codd. 6 δὲ om. B[1], ss. B[3] 6. 7 δειτε της δε (τῇδε Ilb.) της κατατ. ὅσον B 7 καὶ om. MV 9 ἐντείν. V ἰσχύωσι M ἰσχυροτέρη MV 10 ἐστι V ποιέειν codd. 11 ἄλλο τι om. B[1], ss. B[3] ἔοικε MV 12 περιβάλλειν MV ἔπϊτα B πλατέοισι V 13 βόιοισι (ει ss.) M ἱμᾶσι M, ἱμάσι V 14 ἱμάντ. ut solet V ante πρὸς add. ἢ MV, ἢ om. B[1], adscr. B[3] προσδήσαντας codd., corr. Bosq. 16 ἐπανακλ. ex codd. rec. Litt. Pq., ἀνακλᾶν BMV ἀντιτίνειν M τε τῶν codd., corr. Litt., τε del. Bosq. 17 ἰγνύος V post ἰγν. add. ·/· B[2] et in marg. inf. cum eod. signo κοίλον ἔστι MV τω pro τὸ B τοῦ om. MV 18 ἀνάγκην BM, ἀνάγκῃ V et Litt. collato Gal. comm. p. 479 19 στρογγυλὸν V

σασθαι παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθεῖν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν· τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθεῖν τὸν γλουτόν, ὡς μὴ περιέλκηται τὸ σῶμα. τοῦτο δὲ καί, ἢν παρὰ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπεπήγῃ, αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσωνται, προσεπιλαμβάνηται δέ τις κατὰ τὸ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο. τοῦτο δ' ἢν παρὰ τὸ γόνυ βούλῃ, ἄλλους ἱμάντας περιδήσας ἢ περὶ τὸν μηρόν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων ἐς τὴν πλήμνην, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. τοῦτο δ' ἢν βούλῃ, ἀντὶ τῶν πλημνέων δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην ἔπειτα πρὸς
466 τῆς δοκίδος ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρί|ζων καὶ ἀνακλῶν τὰ ξύλα κατατείνειν τοὺς ἱμάντας. ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν ἐπ' ἐκείνων τὴν κατάτασιν ποιεῖσθαι. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. ἄριστον δὲ ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον, ἐν ᾧ πᾶσαι αἱ ἀνάγκαι ἔσονται πάντων μὲν κατηγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος.

1 περινεὸν V κωλύει M ἀκολουθέειν MV 2 τείνουσι M 2—5 ἔπειτα . . . σῶμα in quibusdam exemplaribus memoria Galeni non fuerunt, cf. Gal. comm. p. 480 4 ἀπωθέειν codd. γλουτον, τ. ss. $B^3$ 5 post ἢν add. βούλῃ, Litt. παρὰ B et Gal. comm. p. 481, περὶ MV 6 παραπεπηγη B, -πέπηγε$^{ηι}$ M, -πεπηγέη V, -πέπηγεν rel. vulg., -πεπηγέναι Erm. 7 φυλάσσωνται B, -ονται rel. προσεπιλαμβανηται $B^1$, -βανέτω $B^3$MV rel. 8 τὸ om. MV sententiam (5—8) instruxit Ilb. 9 βούληται MV περιδήσσας B 12 τἄναντι M 13 ἕλκει MV 16 καὶ om. $B^1$, adscr. $B^3$ 18 ποιέεσθαι codd. 21 αἱ om. MV κάτηγμα τῶν MV 22 ἐνβολης $B^1$, mut. in ἐμβ. $B^3$

*ἀρκεῖ δὲ τὸ ξύλον, ἢν ᾖ τοιοῦτον, οἷον οἱ τετράγωνοι στύλοι οἱ δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος.*

14. *Ἐπὴν δὲ ἱκανῶς καταtανύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν· ὑπεραιωρεῖται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορθοῦσθαι οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δ' ἐπὶ θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δ' ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένον ἐπιδεῖν χρή· ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν, ἔστ' ἂν ἐπιδήσῃς. ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιεῖσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο καὶ τὴν πίεξιν μάλιστα κατὰ | τωὐτόν. προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ* 468 *συχνόν. μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει ἢ τὸ ἐν τῇ χειρί. ἐπὴν δ' ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν, τὴν δὲ θέσιν δεῖ ποιεῖσθαι οὕτως, ὅπως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιεῖσθαι, ὁποίην τινὰ δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα. τὰ μὲν γὰρ σμικρόν, τὰ δὲ μέγα ὀλισθά-*

1 *ἀρκέει* codd. *οἳ* pro *οἷον* B 2 *στυλεοι δρυινοι στυλοι* B, *στύλοι οἷοι δρ. γίν.* MV *οἱ* pro *οἷοι* Erm. *τρίβολοι* pro *στύλοι οἷοι* Litt. 4 *κατανύσῃς* BV, alterum *τα* ss. B[3] 5 *ὑπεραιωρέεται* codd. 6 *κατορθώσαντα* MV 7 *δὲ* pro *μὲν* MV 8 *δὲ* MV 11 *αὖτις κατατ.* pro *ἀντικ.* scriptum fuisse suspicatur Litt. 14 *ποιεῖσθαι* om. B, *ποιέεσθαι* rel. *του* pro *τοὺς* B 16 *τωυτό* MV *καὶ* prius om. V 18 *ἐν τῇ τῇ πρ.* B *δὲ* MV 20 *ποιεεσθαι* B, *-ήσασθαι* MV *ὅπως* BMV, *ὅκ.* rel. codd. 21 *ἀπεωρήσεται* B *ποῦς* V 22 *ποιέεσθαι* codd. *ὁκ.* MV *τινὰ* om. M *ἔχῃ* BM

νει. τὸ ἐπίπαν δὲ ἰσχναίνειν μᾶλλον καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν ἢ ἐν τοῖσι κατὰ χεῖρα. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτ' ἐκείνων καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα καὶ κατακεῖσθαι. μετεπιδῆσαι δὲ τὸ ἄρθρον οὔτε τι κωλύει τριταῖον οὔτε κατεπείγει· καὶ τἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ παροιχόμενα. καὶ ἢν μὲν τολμᾷ κατακεῖσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖτις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμεῖν, χρῷτο μὲν ἂν [οὐ] βραδέως τῷ σκέλει, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πολὺν χρόνον. |

470 Ὁπόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ ἢν μὲν ἔσω ὀλίσθῃ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δὲ ἔξω, τὸ ἔσω· τὰ πλεῖστα δὲ ἐς τὸ ἔσω ὀλισθάνει.

15. Ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. κατατείνειν δὲ τούτων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισί, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν. ἱκαναὶ δὲ καὶ αἱ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν ὁ δ' ἔνθεν

1 δεῖ pro δὲ MV 2 post κατὰ add. τὰ B τρώμασι B 3 χεῖρας M μείζω B ταῦτα MV 4 δεῖ pro δὴ B ἐλινυσι $B^1$, mut. $B^2$ in ἐλινυειν, ἐλλ. V 6 τὰ ἄλλα MV 8 τὸ αἷμα pro τολμᾷ MV ἀτρέμα post τολμᾷ ex vulg. servant Litt. Pq., om. BMV 9 αὖθις codd., αὖτ. Bosq. 10 ἀτρεμέειν codd. οὐ βρ. BMVN, οὐ ῥαδίως cet., οὐ delevi 11 πολῦν V 12 ὀκ. MV 14 post ἰσχ. add. δὲ $B^1$, del. $B^3$ καὶ ante ἢν om. $B^1$, add. $B^3$ εἴσω codd. ὀλισθῇ codd., corr. Litt. 15 δ' MV εἴσω codd. 16 ἐς om. B, εἰς ss. $B^3$ εἴσω MV 18 τείνειν MV 19 τοῦτον τὸν τρόπον V ἐν οἷσι (mut. in ἐνίοισῃ $B^3$) τω τῶν B τισί vulg., τηνι B, τινὶ MV 20 ἐῶσιν V 20. 21 αἱ ἀπὸ B, καὶ ἀπὸ MV, καὶ αἱ ἀπὸ Litt. 21 ante τὰ add. ἐς B ἱκανοι pro ἀρκέοιεν ἂν B 22 δὲ B

*ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰϑὺ χρὴ κατὰ φύσιν καὶ κατὰ τὴν ἰϑυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ, καὶ ἢν κνήμης ὀστέα κατεηγυίης κατατανύῃς καὶ ἢν μηροῦ. καὶ ἐπιδεῖν οὕτως ἐκτεταμένων ἀμφοτέρων, ὁπότερον ἂν τούτων ἐπιδέῃς· οὐ γὰρ ταὐτὰ συμφέρει σκέλει τε καὶ χειρί· πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεϑῶσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ, καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς, τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦται ἐν τῇ συγκάμψει τοῦ ἀγκῶνος· ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσϑαι πολὺν χρόνον· οὐ γὰρ πολλάκις ἐν τοιούτῳ |* 472 *εἴϑισται ἐσχηματίσϑαι, ἀλλ' ἐν τῷ συγκεκάμφϑαι· καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνϑρωποι περιιέναι, ἐπὴν κατὰ χεῖρα τρωϑῶσι, συγκεκάμφϑαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσι καὶ ἐν τῷ ἑστάναι εἴϑισται ὁτὲ μὲν ἐκτετάσϑαι, ὁτὲ δὲ σμικροῦ δεῖν ἐκτετάσϑαι· καὶ εἴϑισται καϑεῖσϑαι ἐς τὸ κάτω κατὰ φύσιν καὶ δὴ καὶ πρὸς τὸ ὀχεῖν τὸ ἄλλο σῶμα· διὰ τοῦτο εὔφορον αὐτῷ ἐστι τὸ ἐκτετάσϑαι, ὅταν ἀνάγκη ἔχῃ, καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τούτῳ ἐστὶν [ἐν τῷ ἐκτετάσϑαι]· ἐπὴν δὲ δὴ τρωϑῇ, καὶ ἡ ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσϑαι*

1 *ἠϑὺ* B  2 *εἰϑυωρίην* B  3 *κατηιγυίης* B, *κατηγυίης* MV  *κατα*[τα]*νύης* B, *τα* ss. B[3], *κατατείνης* MV  4 ante *οὕτως* add. *δὲ* MV  5 *ὁκ.* MV  *τούτων* J, *-έων* cet.  *ταῦτα* MV  *ξυμφ.* MV  6 *σκέλη* B  *πήχεως* BMV, *-εος* vulg.  9 *ἕτεροι οὔτε* MV  *ξυγκ.* M  10 *πουλ.* M  11 *ἐσχημ.* om. MV  12 sq. *ξυγκεκ.* utroque loco MV  *περιειέναι* B, mut. in *περιεῖναι* B[3]  14 *δέοντα* V  15 sq. *ὅτε* bis MV  *μικροῦ* MV  16. 17 *καὶ εἴϑ. καϑ.* om. MV, *κάτω* ss. B[3]  18 *ὀχέειν* MV  *διατοῦτο* V  19 *ἀνάγκην* BMV, *-κη* vulg., *ἔχει* B  20 *τουτέῳ* V  post *ἐστὶν* add. *ἐν τῷ ἐκτετάσϑαι* (*-τᾶσϑαι* M) codd., del. Bosq.  21 *δὴ* om. B[1], ss. B[3]  *καὶ ἡ* B, om. cet.

*γίνονται, ὥστ᾽ οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι καὶ ἀναστῆναι, ἀλλὰ τολμῶσιν ἐν τούτῳ τῷ σχήματι κείμενοι. διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος οὔτε ἡ κατάτασις οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος συμφέρει ἡ αὐτή. ἢν μὲν οὖν ἡ κατάτασις ἱκανὴ ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην ὀνεύεσθαι — καὶ γὰρ σολοικότερον μηχανοποιεῖν μηδὲν δέον —, ἢν δὲ μὴ ἱκανὴ ⟨ᾖ⟩ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν*
474 *ἄλλων τινὰ ἀναγκέων προσ|φέρειν, ἥν τινά γε προχωρῇ. ὅταν δὲ δὴ ἱκανῶς καταταθῇ, ῥηίδιον ἤδη κατορθώσασθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρῶν ἀπευθύνοντα καὶ ἐξευκρινέοντα.*

16. *Ἐπὴν δὲ κατορθώσῃς, ἐπιδεῖν τοῖσιν ὀθονίοισι κατατεταμένον, ἥν τ᾽ ἐπὶ δεξιά, ἥν τ᾽ ἐπ᾽ ἀριστερὰ περιφέρειν συμφέρῃ αὐτοῖσι τὰ πρῶτα ὀθόνια· βάλλεσθαι δὲ τὴν ἀρχὴν τοῦ ὀθονίου κατὰ τὸ κάτηγμα, καὶ περιβάλλεσθαι κατὰ τοῦτο τὰς πρώτας περιβολάς· καὶ ἔπειτα νέμεσθαι ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλείω πολὺ τὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν*

1 *ὥστε* MV *μέμνηται* B *ξυγκ.* codd., *σ.* vulg. 2 *τολμέωσι* M, *τολμέουσιν* V *τουτέῳ* BMV 3 *ἔστας* B[1], *ἐσ* expunxit B[3] 4 *οὔτ᾽ ἡ κ.* V *οὐδὲ ἡ ἐπ.* MV 5 *ξυμφ.* MV *ἡ* om. MV, *ἡι* B, *αὐτῇ* V *ἱκ. ἡ κ.* V, *ἡκανὴ ἡ κ.* M 6—8 *ᾖ . . . ἀνδρῶν* om. V *πονέεσθαι* M 7 post *γὰρ* add. *καὶ* B *μηχανοποιέειν* codd. *μηθὲν* BM 8 *ᾖ* de meo addidi 9 ante *ἀναγκ.* add. *τῶν* MV *ἀναγκαίων* codd., *-έων* Litt. *προσχωρέῃ* BMV, *προχ.* D Chart. Erm. 10 *ἔστ᾽ ἂν* pro *ὅταν* V *κατορθῶσθαι* M, *-θοῦσθαι* V 12 *χειρέων* BMV *ἀπιθύν.* B 13 *κατορθώσῃ* MV *τοῖσι* M 14 *κατατεταμένα* V 15 *ξυμφ.* codd. *αὐτέοισι* codd. *βαλλέσθω* MV 16 *τοῦ ὀθ.* om. MV *κατὰ* vulg., om. BMV 17 *περιβαλλέσθω* MV 18 *κἄπειτα νεμέσθω* MV 19 *καὶ* om. MV *ἐπὶ* pro *ἐν* MV *τοῖσι* BM 21 *πλέω πουλὺ* MV *τὰ* B, *αὐτὰ* MV, *αὖ τὰ* Pq. *σκελεος* B[1], mut. in *σκέλος* B[3] *τῇ* om. B

*δ' ἐπιδήσῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διεστράφθαι ἢ τῇ ἢ τῇ, μήτε λορδὸν μήτε κυφὸν εἶναι. μάλιστα δὲ συμφέρει προσκεφάλαιον ἢ λίνεον ἢ ἐρίνεον, μὴ σκληρόν, μέσον κατὰ μῆκος ποιήσαντα λαπαρόν ὑποθεῖναι ἢ ἄλλο τι ὃ τούτῳ ἔοικε.*

*Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅ τι συμβουλεύσω, εἰ ὑποτιθέναι χρὴ ἢ οὔ· ὠφελέουσι μὲν γάρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ |* 476 *ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμεῖν, ὡς οἴονται· οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ ἔνθα ἢ ἔνθα ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθεῖν τὸ σκέλος, ἢν μὴ ἐπιμελῆται αὐτὸς ὤνθρωπος, οὔτε αὐτὸ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι ἢ τῇ ἢ τῇ. ἀλλὰ μὴν ἀστεργέστερόν γε ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμῶς αὖτις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ. εὐχρηστότατον δέ ἐστιν ἔν τε τῇσι μεθυποστρώσεσι καὶ ἐν τῇσιν ἐς ἄφοδον προσχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι· πιθανώτερον δὲ τοῖσι δημότῃσίν ἐστιν καὶ τὸν ἰητρὸν ἀναμαρτητό-*

1 *ἐπιδέῃς* MV *ἐπ'* B, *ἐφ'* cet. 2 *ἡ τη ἡ τη*, prius *ἡ τη* mut. in *ἤ τοι*, alterum del. B[3] 3 *ξυμφ.* codd. 4 *λινέον* M *ἐρινέον* M, *ἐρινεὸν* V 5 *λαπ.* ante *μέσ.* colloc. omnes praeter B *υποθηιναι* B, mut. in *ὑποτιθέναι* B[3] 7 ante *ὅ τι* add. *τα* B[1], del. B[3] *ξυμβ.* MV *ἢ* libri, *εἰ* Litt. 8 *χρὴ οὖν* B[1], *οὖν* del. et *ἢ οὐ* super *χρὴ* scr. B[3] 10 *ἀτρεμέειν* codd. 11 post *στρεφ.* add. *ἢ* vulg., om. B ante *ἐπαν.* verba *ἐπαναγκάζουσι . . . ἔνθα* punctis circumclusa iterat B 12 *ἐπακολουθέειν* BMV, *εῖν* rec. *ωνθρ.* B[1], mut. B[3] in *ὁ ἄνθρ.* 13 *αὐτὸ τὸ σκ.* V, *αὐ* (*τὸ* ss.) *τὸ σκ.* B (*τὸ* ss. B[3]), *αὐτὸ σκ.* M, *αὖ τὸ* Pq. 15 *τε* MV vulg., *γε* unus B *ὅμως* M, *ὅκως* B *αὖτις* scripsi, *ἄν τις* codd., cf. Herm. XXVII, 301 16 *ἐντεθῇ* libri, *ἐντιθῇ* Lind. Erm. *ἐστι* M 17 *τε* om. libri praeter B, *μεθ' ὑποστρώσεσι* M *τῇσι* BM *προχ.* MV 20 *δημότῃσί* BM *ἐστι* MV

*τερον εἶναι, ἢν σωλὴν ὑποκέηται. καίτοι ἀτεχνώτερόν γέ ἐστιν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντη πάντως ἐς ἰθύ. ἐπεί τοί γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ θέσει, ὅποι ἂν ῥέπῃ καὶ ὁπόσα ἂν ῥέπῃ· ὑποκρινέσθω δὲ ὁ ἐπιδεδεμένος ταὐτά, ἅπερ καὶ πρότερον εἴρηται· καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι καὶ τὸ οἴδημα*
478 *οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα καὶ τὰς χαλάσιας οὕτως καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω | ἐπὶ ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιεῖσθαι καὶ πλείοσι τοῖσιν ὀθονίοισι· περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα· ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρῇ, ἐπὶ μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἐπὶ δὲ αὖ παραγωγότερα τὰ ὀστέα, ἐνακούοντα τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος ἢ ἐναταῖος ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας χρὴ προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισιν κατήγμασιν εἴρηται. τῶν δὲ ναρθήκων τὰς ἐνέδρας χρὴ φυλάσσεσθαι κατά τε τῶν σφυρῶν τὴν ἴξιν καὶ κατὰ τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢν ὀρθῶς ἰη-*

1 *ἀτεχνέστερον* libri omn. praeter B 2 *ἐστι* V 3 *εἰθύ* B, *ἐπί το ἀνάγκη* B[1] mut. in *ἐπεί το γε ἀ.* B[3] *κραθῆναι* MV 5 *διαθέσει* MV *ὁκόσα* codd. 6 *ταῦτα* codd., *ταὐτὰ* Litt. 8 *ἐξαείρασθαι* MV, *ἐξαερεῖσθαι* B, *ἐξαείρεσθαι* Parr. DHIJK 9 *ἐπὶ* B, om. cet. 11 *ποιέε.* V *πλέοσι* V *τοῖσι* BM 13 *τὸ* om. B[1], adscr. B[3] 16 *χωρέῃ* codd. 17 *δ' εὖ πραγωτερα* B[1], mut. in *δ' εὖ παραγωγότερα* B[2] 18 *δὲ* add. MV (B[1], del. man. posterior) 19 *ἐνvατ.* V *χρὴ* B, om. cet. 20 *τοῖς* BMV, *τοῖσιν* rec. *ἄλλοισι* MV 22 *ἴξιν* ut solet V

τρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαί τινος διορθώσιος ἤ τινα ἕλκωσιν ὀρρωδῇς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ εὐθετισάμενον μετεπιδῆσαι.

17. Ἢν δὲ τὸ ἕτερον ὀστέον κατεήγῃ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρή οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει, μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνεῖται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μή, ὡς τάχιστα· ὅ τι γὰρ ἂν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυναίτερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἰητρείη ἡ αὐτή.

18. Τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεομένου ὀχλω|δέστερον ἐν τῇ ἰητρείῃ ἐστὶν καὶ κα- 480
τατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστιν· καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναιντ᾽ ἂν τούτου καταγέντος. ἢν δὲ τὸ ἔξω ὀστέον καταγῇ, πολὺ μὲν εὐφορώτερον φέρουσι, πολὺ δὲ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς συντεθῇ — ἐπίσαρκον γάρ ἐστιν — ἐπὶ πόδας τε ταχέως ἵστανται· τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχεῖ τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ τῷ σκέλει καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ κατὰ τὸ σκέλος τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον· τοῦ γὰρ μηροῦ ἡ κε-

2 ὀρρωδέῃς codd. 3 εὐθετήσάμ. (ϊ supra η) V, εὐθετισάμ. B, εὐθετησάμ. cet. 4 κατεήγῃ scripsi, -ηγῇ B, -εαγῇ MV 6 ἀμβλακεύειν B, αὖ βλ. Ilb. ante μάλ. add. καὶ Erm. 7 ἐφικνέε. codd. 8 ἀεὶ V 10. 11 ἡ δὲ ἄλλη . . . αὐτή om. B[1], adscr. i. m. B[2] ἰητρίῃ B ut saepius 13 ἐστί MV 16 ἐστι MV 16. 17 βραδύτερα MV δύναιτ᾽ V τουτέου codd. κατηγέντος B correxi, κατεηγέντος M, κατεηγότος V 18 κατεήγῃ MV πουλὺ MV bis 19 δ᾽ MV καὶ ἢν mut. B[3] in κἢν ξυντ. MV 20 ἐστι M 21 ἀχθέντος MV ὀχέει codd. εἴσ. B

φαλὴ ὑπεροχεῖ τὸ ὕπερθεν τοῦ σώματος, αὐτή τε ἔσωθεν πέφυκε τοῦ σκέλεος καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ ἔξωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν, ὥσπερ καὶ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. ἐν μέντοι τῷ κάτω ἄρθρῳ τούτῳ οὐχ ὁμοίη ἡ ὑπότασις τοῦ ὀστέου τοῦ μακροτέρου· ἀνομοίως γὰρ ὁ ἀγκὼν καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου καταγέντος ταχεῖαι αἱ ἐπιβάσιες, τοῦ δὲ ἔσωθεν ὀστέου καταγέντος βραδεῖαι αἱ ἐπιβάσιες. |

482 19. Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν χρὴ περὶ παντὸς ποιεῖσθαι, ὅπως μὴ ἐνδεεστέρως σχήσει· πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. οὐδὲ γὰρ οὐδ' εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατεῖν ἡ ἐπίδεσις ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτε τάχιστα ἀφείησαν οἱ τείνοντες· παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι

1 ὑπεροχέει codd. ὕπερθε M αὐτὴ V, αὕτη cet. τε B, Gal. in cit. XVIII, 2, 443, δὲ cet. εἴσωθ. codd., ἔσωθ. Gal. l. l. 5 εἴσωθεν MV, ἅμα δὲ ὅτι . . . ἔξωθεν i. m. adscr. $B^2$ εἴσω MV 6 ante ἐν add. τὸ omnes (Par. N oblit.) praeter B ante κατὰ add. δὲ $B^1$, del. $B^3$ μικρ. codd. 8 τῶ ἄρθρῳ τῷ κάτω MV ὑποτασις mut. in ἐπίτασ. $B^3$ post ὀστ. add. ἡ B, del. $B^3$ 9 τοῦ μακροτέρου mut. in τούτου μακροτέρου ὄντος $B^3$ ἀνόμοιος MV post ἀγκ. add. τε BMV, om. Parr. DFHJ ἰγνὺς V 11 sq. κατεαγέντος bis MV 12 εἴσ. B ὀστέου post ἔσωθ. om. M 13 tit.: Ζ περὶ μηροῦ καταγέντος B, ῆ (om. V) περὶ μηροῦ MV 14 ποιέε. codd. π. περὶ πάντ. MV ὅπος B, ὅπως MV, ὅκ. vulg. 15 σχήσῃ V 16 οὐδ' B, om. cet. διεστῶτα BV 17 ἐπιδέοιτο B 18 κρατέειν codd. 19 ὅτι codd., scripsi ὅτε post τάχ. add. ἂν vulg., om. BMV ἀφείησαν B, ἀφίησαν MV

*κρατήσουσιν τῆς ἐπιδέσιος, ἀλλ' οὐ κρατηθήσονται. περὶ οὗ οὖν ὁ λόγος, διατείνειν εὖ καὶ ἀδιαστρέπτως χρὴ μηδὲν ἐπιλείποντα· μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γενομένη καὶ συγκρυφθείη ἂν καὶ οὐ μέγα τὸ σφάλμα· σκέλος δὲ βραχύτερον γενόμενον χωλὸν ἀποδείξει τὸν ἄνθρωπον· τὸ γὰρ ὑγιὲς ἐλέγχει παρατιθέμενον μακρότερον ἐόν· ὥστε λυσιτελεῖ τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον· ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει. καὶ ὑποκρινέσθω ταὐτὰ ὥσπερ καὶ πρόσθεν, καὶ πονείτω κατὰ ταὐτὰ καὶ ῥηιζέτω καὶ μετε|πιδείσθω ὡσαύτως· καὶ ναρθήκων πρόσθεσις ἡ* 484 *αὐτή. κρατύνεται δὲ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσι.*

20. *Προσσυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς γαῦσός ἐστιν ἐς τὸ ἔξω μέρος ἢ ἐς τὸ ἔσω καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν, ὥστε οὐδὲ συγκρύπτειν δύνανται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποι-*

1 *κρατήσουσι* MV  2 post *εὖ* add. *μάλα* K Litt. Erm. Pq. *διαστρέπτως* B  3 ante *χρὴ* add. *ὡς* B, del. B[3]  5 *γιν.* MV *ξυγκρ.* MV  6 *φλάσμα* B, mut. in *σφάλμα* B[3]  7 *παρατιθ.* om. mss. omnes (N oblit.) praeter B  8 *λυσιτελεει* codd. 10 *εἰσόρροπον* B  11 *κατανύσῃς* B, emend. B[3]  15 *ταῦτα* mss., *ταὐτὰ* Litt.  16 *κατ' αὐτὰ* M, *κατὰ ταῦτα* V  18 *ὁ μηρ.* vulg. edd., *ὁ* om. BMV *ἡμέρῃσιν* M  19 *προσξυν.* codd.  20 *ἐστι* B 24 *ξυγκρ.* MV  25 *μηχανοποιέε.* codd.

εἶσθαι χρὴ ἅπερ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ
παρήνηται. προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθο-
νίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον καὶ τὰς ἰξύας, ὅπως ἂν
οἵ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πλιχάδα
486 καλεομένην | προσεπιδέηται· καὶ γὰρ ἄλλως συμφέρει
καὶ ὅπως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ
ἀνεπίδετα προσβαλλόμενα. ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ
γυμνοῦ αἰεὶ τοὺς νάρθηκας καὶ ἔνθεν καὶ ἔνθεν ἱκα-
νόν· καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθεῖσθαι
χρή, ὅπως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ
τὰ ἄρθρα φύσει πεφυκότων μήτε κατὰ τὸ νεῦρον ἔσται.

21. Τὰ δὲ οἰδήματα τὰ κατ' ἰγνύην ἢ κατὰ πόδα
ἢ κατά τι ἄλλο ἐξαειρόμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι
πολλοῖσι ῥυπαροῖς, εὖ κατεργασμένοις, οἴνῳ καὶ ἐλαίῳ
ῥήνας, κηρωτῇ ὑποχρίων καταδεῖν, καὶ ἢν πιέζωσιν
οἱ νάρθηκες, χαλᾶν θᾶσσον. ἰσχναίνοις δ' ἄν, εἰ ἐπ-
ανεὶς τοὺς νάρθηκας ὀθονίοις ἰσχυροῖσι συχνοῖσιν |
488 ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω
ἐπὶ τὸ ἄνω νεμόμενος. οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν
τὸ οἴδημα γένοιτο καὶ ὑπέλθοι ἂν ὑπὸ τὰ ἀρχαῖα ἐπι-
490 δέσματα. ἀλλ' οὐ χρὴ | τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς

1 ἅπερ B, οἷάπερ cet. διεστραμμένῳ V 2 ὀλίγα punctis inclus. $B^3$ 3 ante κύκλῳ add. καὶ B ὅπ. BMV hic et 6, ὅκ. vulg. 4 πλιχ. BV, πληχ. M 5 ἐπιδέηται V ξυμφ. codd. 6 ὁπ. BMV ἄκραια B 7 προσβάλλοντα $B^1$, mut. in -όμενα $B^3$ 8 αἰὲς $B^1$, ἀεὶ δεῖν $B^3$ 9 προσμηθ. $B^1$, σ del. $B^3$, προμηδέε- V, -θέε- M vulg. 10 ὅκ. V 11 ante νεῦρον add. ἄρθρον codd. omnes (N ex emend.) praeter B 12 ηδυματα B τὰ post οἰδ. B(HN al. man.), om. cet. 13 ἐξαειρεύμενα codd., Gal. 523, correxi 14 ῥυπαροῖσι M, -ν V 16 ἰσχναινειαις $B^1$, ἰσχναινοιαις $B^3$, ἰσχναίνειε MV, corr. Litt. ἐπανεις B, ἐπὰν ἐς τ. ν. MV 17 ὀθονίοις ἰσχνοῖσι συχνοισι B, ὀθονίοισι(ν V) ἰσχνοῖσι(ν V) MV, συχν. om. MV, ἰσχυρ. pro ἰσχν. Bosq. 18 κατωτάτου BV 20 γένηται V ὑπέλθοι ἂν ὑπὸ B, ὑπερθείη ὑπὲρ MV

*ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ· γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα ἢ κατακρεμάμενον ἔχῃ ἢ κνᾶται τῇ χειρὶ ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.*

22. *Σωλῆνα δὲ εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι· οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι, ἀσηρόν τ' ἂν εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ ὃ ἥκιστα δεῖ, τοῦτ' ἂν ἐποτρύνοι ποιεῖν, κατὰ τὸ γόνυ κάμπτειν· πᾶσαν γὰρ ἂν τυρβὴν παρέχοι τῇσιν ἐπιδέσεσιν καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης ὅστις κατὰ τὸ γόνυ κάμπτοι· ἀνάγκη γὰρ ἂν εἴη τοὺς μύας ἄλλοτε ἄλλο σχῆμα ἔχειν· ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. δοκέοι ἂν οὖν μοι ὁ σωλὴν ὑπερέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελεῖν ὑποτιθέμενος· καὶ ἄλλως κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν | σὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι* 492 *κοίτῃσι σπαργανοῦται. εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφηται ἢ ἐς τὸ πλάγιον, εὐκατασχετώτερον εἴη ἂν σὺν τῷ σωλῆνι οὕτως. ἢ οὖν διαμπερής σοι ποιητέος ὁ σωλὴν ἢ οὐ ποιητέος.*

2 *τοιοῦτο* $B^1$MM, *-ον* $B^3$ rec. *μὴ* om. $B^1$, add. $B^3$ 3 *κνᾶται* B, *κνῆ-* cet. 7 *ὠφελοίη* B 8 *κεινεε-* B *τ' ἂν* B, *γὰρ* cet. 10 *τοῦτ' ἀποτρ.* $B^1$, mut. in *τοῦτ' ἂν ἐποτρ.* $B^3$ *ποιέειν* codd. post *π.* add. *ἥκιστα γὰρ δεῖ* vulg., om. $B^1$, ss. $B^3$ 11 *ἂν* om. V *τύρβην* V *τοῖσιν* B *ἐπιδέσεσι* V 13 *καμπτη* B *ἂν* om. MV post *εἴη* add. *τοῦτο* MV *ἄλλοτε καὶ ἄλλοτε σχ.* M, *ἄλλοτε καὶ ἄλλοτε ἄλλο σχ.* V 14 *ἴσχειν* MV 16 *ἐκτετάσθαι* $B^1$, mut. in *ἐντ.* $B^3$ *δοκοι* B, *δοκῇ* V, *δοκεῖ* M *μοι* B, *ὁμοίως* MV *ὑπερεχων* B, *ὁ περιέχων* cet. 17 *ὠφελέειν* codd. 18 *ἄλλος* $B^1$, mut. $B^3$ in *-ως* *ταινίη* B 19 *ξὺν* MV 21 *διαστρέφοιτο* codd., correxi 22 *ξὺν* MV *εἰ* V, *ἡ* M, *ἢ* $B^1$, mut. in *ἢν* $B^2$

23. *Πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελεῖσθαι ὡς εὐθέτως ἔχῃ καὶ ἐν τοῖσι κατὰ κνήμην καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ πους τῆς ἄλλης κνήμης ἡρματισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι· ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη [ᾖ] τοῦ μετρίου ἡρματισμένη ᾖ, ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τὸ ὀστέον τοῦτο κατὰ τὸ ἀντικνήμιον κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα καταμένῃ ἀτρεμέοντα ἐν τῷ αὐτῷ σχήματι καὶ αἱ πωρώσιες ἀσθενέστεραι.*

24. *Ταῦτα μὲν δὴ ὅσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει δὲ μή, μηδὲ ἄλλως ἕλκος ἐγένετο. οἷσι δὲ τὰ*
494 *ὀστέα | κατέηγεν ἁπλῷ τρόπῳ καὶ μὴ πολυσχιδεῖ, ⟨ἐξέσχε δέ,⟩ αὐθήμερα ἐμβληθέντα ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχίδων ὀστέων ἀπιέναι ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο,*

*διαμπερέσιοι ποιητ.* MV, *διαμπερής σοι* B, *διαπερὲς εἴη* pro *δ. σοι* vulg. Litt., *διαμπερὲς ἴῃ* rec. Pq.

1 *περὶ πτέρνης* tit. V, *θ π. πτ.* M *λιαν* i. m. adscr. B *ἐπιμελέε.* MV 2 *ἔχει* BM 3 *κατήγμασι* B *ἀπαιώρηται* V, *ἀπεώρ.* (αι) M, *ἀποκρέμαται* adscr. i. m. B 4 *ἡμαρτισμένης* M 6 *ῇ* (*ἢ* V) delevi *ἡρτισμένη* MV, *ἡρματισμένη η* B 7 *τούτῳ* BM 8 ante *κοιλ.* add. *τοῦτο* MV 9 *πτέρνα* B 11 *κείμ. ᾖ καὶ τὰ μὴ ἀτ.* vulg. *ᾖ* om. BMV *μὲν* pro *μὴ* B pro *καὶ τὰ μὲν* scripsi *καταμένῃ*, cf. Herm. XXVII, 301 12 *αὐτέῳ* MV *πωρόσιες* B, *παρώσηες* V in marg. *ἐν λόγῳ* adscr. B³ 14 *μὲν ουν δη* B, *δη* del. B³ *ὅσων* B, *ὅσοις* MV, *ὅσοισι* cet. 15 *ἐξέχῃ* B

16 ante *ἁπλῷ* ex rec. codd. add. *τῷ* Litt. Pq., om. BMV *πουλυσχ.* M, *πολυσχεδεῖ* B 17 ⟨*ἐξέσχε δὲ*⟩ add. Litt. et ex concinnitate sententiarum et ex comm. Gal. p. 533 coniectans, *καὶ ἐξ. μὲν, αὐθ. δ' ἐμβ.* Erm. ante *κατὰ* ex codd. rec. add. *καὶ* Litt. Pq., om. BMV 18 *χωρειν ἱζομεναι* B *παρασχιδὼν* V

19 *ἀπιέναι* del. Erm.

τὰ δὲ ὀστέα τὰ κατεηγότα οὐκ ἐξίσχει οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παρασχίδας ὀστέων ἐούσας ἐπιδόξους εἶναι ἀναπλῶσαι, τοὺς τοιούτους οἱ μὲν μήτε μέγα | ἀγαθὸν μήτε μέγα κακὸν ποιέοντες ἰητρεύουσι 496 τὰ μὲν ἕλκεα καθαρτικῷ τινι ἢ πισσηρὴν ἐπιθέντες ἢ ἔναιμον ἢ ἄλλο τι ὧν εἰώθασιν ποιεῖν· ἐπάνω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ [ὁκόσοι] ἐπιδέουσιν ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται καὶ ἤδη συμφύηται, τότε τοῖς ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ νάρθηξι κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθόν τι ποιεῖ, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλὰ τινὶ καὶ ὀγκηρότερα τὰ ὀστέα τοῦ καιροῦ ταύτῃ γίνεται. γένοιτο δ' ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν ἢ πήχεος ἢ κνήμης.

25. Ἄλλοι δ' αὖ τινές εἰσιν, οἳ ὀθονίοισιν τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσιν τοῖς ὀθονίοισι, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσιν καὶ ἐῶσιν ἀνεψύχθαι· ἔπειτα ἐπιτιθέασιν

1 τὰ δὲ ὀστέα bis deinceps M τὰ post ὀστ. om. MV 2 κατίξηος V 2. 3 ἐούσας del. Litt. eiusque in locum transposuit εἶναι; idem interpunctionem post ἀναπλ. intulit, ante ἀναπλ. et post τοιούτους sustulit 3 ἀναπλῶσει B[1], mut. in ἀναπλεῦσαι B[3] 4 μέγα prius om. V 5 καθαρτικόν τι Galenus videtur legisse 6 εἰώθασι MV ποιέειν MV 7 ἐπανω B, ἐπαινέω MV εἴρια ῥυπαρὰ om. Gal. comm. post ῥυπ. add. ὁκόσι° (ο ss. B[2]) B, ὁκόσοι cet. (oblit. ab al. m. H), del. Litt., ὁμόσε Wb. 9 ξυμφ. codd., ξυμφύεται MV 11 ἡ om. V ποιέει B 13 καὶ B, om. MV 14 οστεα B, σώματα MV 16 πήχεως MV 17 δὲ sine αὖ Gal., de plac. Hipp. et Plat., p. 785 Iw. Mueller ὀθονίοισι MV τοιαῦτ' Gal. ib. 19 ἐπιδέουσι MV Gal. ib. τοῖσι Gal. ib. κατὰ τὸ ἕλκος δὲ Gal. ib. διαλεί(λί M)πουσι MV Gal. ib. 20 ante ἐπιτιθ. add. καὶ Gal. ib.

ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι καὶ σπλήνεσιν οἰνηροῖς ἢ εἰρίοις ῥυπαροῖσιν θεραπεύουσιν. αὕτη ἡ ἴησις
498 κακή, | καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετεῖν καὶ ἐν τοῖσι ἄλλοισι κατήγμασι καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστιν τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρή, καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις βάλληται μηδὲ πιέζῃ ᾗ μάλιστα χρή, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἀφ' ἑκατέρου ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρείη· ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ οἶδος ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθείη, μάλιστα κατὰ τὴν διάλειψιν οἰδήσειεν ἂν καὶ ἀχροιήσειεν· πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν
500 πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπε|πλιγ-

1 σπλήνοισιν V οἰνηροῖς BMV, -οῖσι Gal. ib., -οῖσιν rel. 2 εἰρίοισι M, ἐρίοισι V Gal. ib. ῥυπαροῖσι MV, οἰσυπηροῖσι Gal. ib. θεραπεύουσι M Gal. ib. ἴσης B 4 ἀσυνετέειν codd. τοῖσι BM Gal. ib., -ν V vulg. ἄλλοις BM τῆσι V 5 ἐστιν B, ἐστι MV Gal. ib. καθ' om. V 6 ὁπ. codd. hic et 7, ὁκ. Bosq. τρόπον B[1], mut. in τόπον B[2] ante βάλλεσθαι add. μὲν Erm. Pq. 8 πιεζῆ V, πιέζειν Gal. ib. 9 ᾗ om. B[1], ss. B[2], ἢ V 10 post βάλλ. add. ην μη ορθως επιτεθη B μὴ δὲ πιεζή, ἢ V ᾗ μάλ. χρὴ om. Gal. ib. ἀλλ' Gal. ib. 11 πρόσθε M γεγραμμένοισι M Gal. ib. 12 ὁπ. codd., ὁκ. Bosq. ἀφ' B Gal. ib., ἐφ MV ἑκατέρων codd., -τέρου Gal. ib. ἐπιβ. Gal. ib. μαρτυρεῖ codd., -έει Gal. ib. 13 ἰτριη B, ἰητρικὴ MV Gal. ib. 14 εἶδος MV ἐξαειρησθαι εἰς B 15 ἔ. μὲν κ. ἔ. ἐπιδεσθείη Gal. ib. 16 διαλειφθῇ MV διάληψιν M 17 ἀχροΐσειε Gal. ib. 18 ἔχοι V ἐκπεπετιγμενον B, ἐκπεπλιεχμένον MV, ἐκπεπιεσμένον vulg., ἐκπεπιεγμ. Gal. ib., ἐκπεπληγμ. H, ἐκπεπλιγμ. Litt.

*μένον εἶναι τὸ ἕλκος δακρυῶδές τε καὶ ἀνεκπύητον, ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι ἀποστατικὰ γενέσθαι· σφυγμῶδές τε καὶ πυρῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν· ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν· ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπόταν σφιν παλιγκοτῇ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ' ἧσσον καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν· οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην εἶναι, ἀλλ' ἄλλην τινὰ ἀτυχίην. οὐ μέντοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας· ἐπίκαιρον δὲ τὸ ἀπομάθημα· μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα εἴτε ἥκιστα.*

26. *Χρὴ δέ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ οἷσιν ὀστέα μὲν*

1 *εἶναι τὸ ἕλκ.* Gal. ib., *τὸ ἕλκ. εἶναι* codd. *δακνῶδες* Gal. ib. *τε* Gal. ib., *δὲ* codd. post *ἀνεκπ.* add. *εἶναι* codd., om. Gal. ib. 2 *δ' ἢν μέλη* Gal. ib. pro *δὲ καὶ μὴ μέλλ.* *συστατικὰ* pro *ἀποστ.* Gal. ib. 3 *πυρετῶδες* B[1]MV, *πυρῶδες* B[3] Gal. comm. 4 *δὲ* om. Gal. in cit. l. l. 5 *ἐπιδεομένοισι* M Gal. ib. 7 *ἐπιγένηται* B, *-γίγν.* Gal. ib. 8 *παλιγκ(ινκ* B)*οτέῃ* codd., *πάλιν κοτέῃ* Gal. l. l. 9 *δὲ* Gal. ib. *τρῶμα* om. Gal. ib. 10 *τοιοῦτον* Gal. ib. *ἰητρεύουσι* V Gal. ib. 12 *εἶναι* om. MV *αἰτίαν εἶναι τ. ἕλκους* Gal. ib. *ἀλλὰ* Gal. ib. 13 *εὐτυχίην* Gal. ib. *ἀνέγγ.* V, *ἂν ἔγγ.* M *τουτέον* codd. 14 *εὐ μεν ηδεῖν* V 15 *ἐπὶ καιρὸν* V *δὲ* post *ἐπικ.* del. B[3] 17 *πρόσθε* M 17. 18 *ητε . . . ητε* B, *ᾗ τε . . . ᾗ τε* Erm. 20 *ἡ* om. B

502 κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα· τάς | τε γὰρ κατα-
τάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον
χρὴ ποιεῖσθαι τήν τε ἐπίδεσιν παραπλήσιον τρόπον.
ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα
σπλῆνα λεπτὸν διπλόον ἐπιθεῖναι, τὰ δὲ πέριξ κηρωτῇ
λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερά
τινι ἐσχισμένα ἔστω ἢ εἰ μὴ ἕλκος εἶχεν· καὶ ᾧ ἂν
πρώτῳ ἐπιδέηται, συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον.
τὰ γὰρ στενότερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος·
τὸ δ' οὐ χρή· ἀλλὰ ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω
τὸ ἕλκος, καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν.
βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν
ἴξιν τοῦ ἕλκεος, πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος
504 εἶχεν, ἐπινέμεσθαι δὲ τῇ | ἐπιδέσει ὥσπερ καὶ πρόσθεν
εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλ-
θακοῦ ἔστωσαν· μᾶλλον δέ τι δεῖ ἐν τοῖσιν τοιούτοισιν
ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων· μὴ
ἐλάσσω ἔστω τῶν προειρημένων, ἀλλά τινι καὶ πλείω.
ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμάσθαι μέν,
πεπιέχθαι δὲ μή· φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα
ἡρμάσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι
ἐπὶ τὸ μᾶλλον δοκεῖν ἡρμάσθαι, τοὺς αὐτοὺς δὲ ἐπὶ

1 *κατεαγ.* V 2 *κατορθώσηας* V, *ρθω* in ras. 3 *χρὴ* B, om. MV *ποιέεσθαι* codd. *τ'* B 5 *δίπλοον* V *ἐπιθῆναι* B, *ἐπιδεθῆναι* MV, scripsi *ἐπιθεῖναι* 6 *λεπτῇ* codd., *λευκῇ* Foes. Litt. *χρέειν* (ι supra ε) V 7 *ἐσχισμ.* om. B *εἶχε* MV 8 *συχνῶς* B *πλατύτερα* MV 9 *στενώτερα* M 10 *τόδ'* V *ἀλλ'* MV 13 *ἶξιν* V 14 *εἶχε* M 16 *ἵστωσαν* M, *ἵστ.* V *τε* pro *τι* M, *τινι* pro *τι δεῖ* B *τοῖσι* MV 17 *εἶχε* MV 18 *ἐλάσσων* . . . *πλειων* B *τῶν πρότερον εἰρημένων* MV 19 *δ'* MV *ἡρμάσθαι* B, Gal. gloss., Erm., *ἡρμόσθαι* MV 21 *ἡρμασθαι* B[1], mut. in *ἡρμωσθαι* B[3], *ἡρμόσθαι* MV 22 *τῶ* pro *τὸ* V *δοκέειν* codd. hic et 85, 1 *ἡρμασθαι* B[1], *ἡρμόσθαι* B[3]MV

*τὸ μᾶλλον δοκεῖν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. μετεπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος, ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον, καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλως ἰητρευμένων ἑλκέων, ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη καὶ ἐθανατώθη, θᾶσσον περιρρήγνυται καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ ἢ ἐν τῇσι ἄλλῃσιν, ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευμένον. πάντων δὲ τούτων αἴτιον, ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα παραπλησίως ἰητρεύειν, ὡς τὰ | ἄνευ ἑλκώσιος ὀστέα κατηγνύμενα·* 506
*τοὺς δὲ νάρθηκας οὐ χρὴ προστιθέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισι πλείω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτι τε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτερον προστίθενται. ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι, ἄλλως τε καὶ χαλαρῶς προστιθέναι, προμηθεύμενος ὅπως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται*

1 *τοῖσιν* B 2 *ποιέοντα* pro *μεταπ.* B 4 *εἰς* B *πιεζέειν* MV 5 *γίνεται* B 8 *ἐκποιήσιες* BMV 9 *ἄλλων* codd., *ἄλλως* Bosq. Litt. *ἰητρευομένων* V 10 *περιρη(ρϊ* B*)γν.* BMV 11 *τισι* B, *τῇσι* M, *τῇσιν* rel. *ἀλλησιος* B, mut. in *ἄλλῃσιν ἐς* B[3] 13 *ἰητρεύμ.* V 16 ante *ἰητρ.* add. *χρὴ* MV *ὡς τὰ* B, *ὥστε* MV *ἑλκωσιως* B, *-κώσιος* N, *-σίων* M, *-σήων* V 17 *οὐ* om. MV *διατοῦτο* V 18 *πλέω* BV 19 *ὅτι τὸ ἧ.* B, *ὅτε ἧ.* MV, *ὅτι τε ἧ.* N Litt., *διότι τε ἧ.* Gal. comm. *βραδύτερον* B, *-οι* MV 21 *ἶξιν* V *ἀλλωσται και* B, *ἀλλ' ὥστε καὶ* M, *ἄλλως τε κ.* V 22 *προμηθευμενοις* B, *προθυμευμένοις* MV, *προμηθεύμενος* Chart. Litt. *ὅκως* MV *μὴ δὲ μία* MV

δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισι. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον ποιεῖσθαι οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται καὶ οἷσιν ὀστέα ἐξίσχει· καὶ τὸ σύμπαν δὲ εἰρῆσθαι, ἐπὶ τοῖς ἰσχυροτάτοισι τρώμασι ἀκριβεστέρην καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

27. Ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦν, ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται ἢ τοῖσι ὀθονίοισι μᾶλλον πιεχθέντος ἢ ὑπὸ νάρθηκος ἐνέδρης ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ, τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσι· καὶ τὸ οἴδημα τὸ ἐν τοῖς ἄκροις σκληρότερον γίνεται τῶν τοιούτων, καὶ εἰ τὸν δάκτυλον ἐπάγοις, τὸ ἔρευθος ἐξείργεται,
508 ἀτὰρ καὶ αὖ|τις ὑποτρέχει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή, ἢν μὲν ᾖ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας καὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. ἢν δὲ τούτων μὲν

2 post *χρόνον* add. *χρὴ* MV 2. 3 *ποιέε.* codd. *οἷσι ἐξ* BM 4 *τοῖσι* M *ξύμπ.* codd. 5 *τρώμασιν* V *πουλ.* M 8 *μηθὲν* BV post *μηδὲν* add. *ἢ* MV, ss. B[3], scripsi *ἦν* supra *ἐν* ss. *ἐνίοις* (?) B[3] 9 *ἰητρίη* B *ἐπιγίνεται* pro *ἕλκος γένηται* Litt. coniectans ex Gal. comm., qui dicit: *Ὁ λόγος αὐτῷ νῦν ἐστι περὶ τῶν ἐπιγινομένων ἑλκῶν τοῖς κατάγμασιν ἐν τῷ χρόνῳ ἐκ τῆς τῶν ναρθήκων ἐπιδέσεως.* *γίν.* V *τοῖσιν* V 10 post *πιεχθ.* add. *τοῦ ὀστέου* Wb. pro *ἢ ὑπὸ νάρθηκος* propter genetivum *πιεχθέντος* Littraeus dedit *νάρθηκος ὑπὸ* 13 *τοῖσι* M, *-ν* V *ἄκροισι* MV *σκληρότερον* B, Gal. in cit. XVIII, 2, 577, *σκληρὸν* MV *τοιουτέων* MV 14 *ἐπαγωγοῖς* MV *το ερευθως* B, om. MV *ἐξείργεται* scripsi, cf. c. 48, *ἐξαρειαται* B[1], *ἐξαείρεται* B[2] Pq., *ἐξαείραται* MV, *ἐξαιρέεται* Litt., *ἐξανίσταται* Wb. *τὸ ἔρευθος ἐξαείραται* Gal. in cit. l. l. *ἐξαρύαται: ἐκκενοῦται, ἐκθλίβεται* Gal. in Exegesi 15 *αὖτις* B[1], mut. in *αὖθις* B[3] 16 *ὑποπτεύοις* B 17 post *καὶ* add. *ἐπὶ* V, ss. *ἐπὶ* M man. 1 *καὶ αλλο τι τὸ ἐπιδ.* B[1], *καὶ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδ.* B[3] *τὸ ἄλλο* bis M

μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκηται ἢ ἐπὶ πολὺ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκίων ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων, τούτους οὐδὲν δεῖ ἀναψύχειν παντάπασιν οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' ἰητρεύειν τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ἀκρέοισι πάνυ χαλα- | ροῖσιν, καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει αἰεὶ ἐς τὸ 510 ἄνω καὶ πεπιέχθαι μὲν μηδαμῇ, ἡρμάσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα ἐπὶ ἧσσον. τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά· τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω ὅσον περ καὶ ἐν τοῖσι νάρθηξιν εἰ ἐπιδέοιτο ἢ ὀλίγῳ ἔλασσον. ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπληνίον τῇ λευκῇ κηρωτῇ κεχρισμένον· ἤν τε γὰρ σὰρξ ἤν τε νεῦρον μελανθῇ, προσεκπεσεῖται· τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσι ὥσπερ τὰ πυρίκαυστα. μετεπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι· ἀτρεμεῖν δὲ ἐπὶ μᾶλλον ἢ πρόσθεν καὶ ὀλιγοσιτεῖν. εἰδέναι δὲ χρὴ εἴτε σὰρξ εἴτε νεῦρον τὸ ἐκπεσούμενόν ἐστιν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. καίτοι καὶ ἢν

1. 2 εὑρ. μέλαν ἐπὶ πουλὺ ἢ ἀκ. MV 2 σαρκῶν MV 3 τουτέους codd., τούτους Erm. 7 ὀθονίοισι M 8 ἀκραίοις BMV, ἀκρέοισι Bosq. χαλαροῖσι M 9 ἐπιδέσι B 10 ἡρμόσθαι B[3]MV 18 μαλθακοῖσιν MV πυρίκαυτα M 19 ἀτρεμέειν codd. 20 ante πρόσθεν add. τὸ B[2]MV ὀλιγοσιτέειν codd. 21 ante prius εἴτε add. οτι B ἐστι V 24 τι pro τις V ἐπιθειει B

ἐκπέσῃ τὸ ἐκπυησόμενον, θᾶσσόν τε σαρκοῦται ἐκείνως
ἢ ἑτέρως ἰητρευόμενον καὶ θᾶσσον ὠτειλοῦται. πάντα
μήν ἐστι ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι.
προσσυμβάλλεται δὲ καὶ τὰ σχήματα, ἢν ⟨ᾖ⟩ οἷα χρὴ
εἶναι, καὶ ἡ ἄλλη δίαιτα καὶ τῶν ὀθονίων ἡ ἐπιτη-
δειότης.

28. Ἢν δὲ ἄρα ἐξαπατηθῇς ἐν τοῖς νεοτρώτοισι μὴ
οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ' ἐπίδοξα ᾖ
512 ἀναπλῶσαι, οὐ | χρὴ ὀρρωδεῖν τοῦτον τὸν τρόπον τῆς
ἰητρείης· οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο, ἢν
μοῦνον οἷός τε ᾖς τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ
ἀσινέας ποιεῖσθαι. σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων
ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης·
πῦον γὰρ συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος καὶ ὀργᾶν φαίνε-
ται. πυκνότερον οὖν μετεπιδεῖν διὰ τὸν πλάδον, ἐπεὶ
ἄλλως τε καὶ ἀπύρετοι γίνονται, καὶ ἢν μὴ κάρτα
πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος καὶ τὰ πε-
ριέχοντα ἰσχνά. ὅσαι μὲν οὖν λεπτῶν πάνυ ὀστέων
ἀποστάσιες, οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ'
ἢ χαλαρώτερον ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ |
514 πῦον, ἀλλ' εὐαπόρρυτον ᾖ καὶ πυκνότερον μετεπιδεῖν

1 ἐκπεσούμενον Bosq. Litt. 4 προσυμβ. V σχ. καὶ ἢν οἷα N, σχ. καὶ οἷα DFHIJK Bosq. Litt., [ἢν] οἷα Gal. Bas., σχ. ἂν οἷα Erm. ⟨ᾖ⟩ ego addidi 7 δ' MV τοῖς BMV, τοῖσι rec. et edit. 8 ἢ V 9 ἀναπλωσαι mut. B$^3$ in ἀναπλευσαι ὀρωδεην B, φοβεῖσθαι ss. B$^3$, ὀρρωδέειν cet. τοῦτον om. B$^1$MV, add. B$^3$H al. manu Bosq. Litt. Erm. 10 ἰητρίης B ἂν om. B 11 ἔσῃ pro τε ᾖς MV 12 ποιέεσθαι codd. 13 ἰητρίης B 14 ποιον B, πύον V φέρει B$^1$, lineola del. et ss. ῥέει B$^3$ 15 μετεπιδέεσθαι MV πλαδὸν V 16 ἄλλως τε καὶ ἐπεὶ ἀπύρετοι γίγν. Rhd. πυρετοὶ γιγν. MV καὶ ante ἢν om. B μὲν pro μὴ MV 18 ὅσα M 19 μεγάλης om. antigrapha quaedam Galeni 20 χαλαρώτερον H, -ώτερα cet. codd., -ώτερα . . . τὰ ὀθόνια Gal. c., -ωτέρως vulg. 21 ποιον B, πύον V

*ἔστ' ἂν ἀποστῇ τὸ ὀστέον, καὶ νάρθηκας μὴ προστιθέναι.*

29. *Ὁπόσοισι δὲ μέζονος ὀστέου ἀπόστασις ἐπίδοξος γίνεται, ἤν τε ἐξ ἀρχῆς προγνῷς ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰητρείης δεῖ, ἀλλὰ τὰς μὲν κατατάσιας καὶ τὰς διορθώσιας οὕτως ποιεῖσθαι, ὥσπερ εἴρηται· σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν ἡμισπιθαμιαίους, μὴ ἐλάσσους — ὁποῖον δὲ ἄν τι καὶ τὸ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι —, μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ ἢ ὥστε δὶς περιικνεῖσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον, μακροτέρους δὲ συχνῷ ἢ ὥστε ἅπαξ περιικνεῖσθαι, πλῆθος δὲ ὁπόσους ἂν συμφέρῃ ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχέων ὑποδεσμὶς ἐπιδεῖται, περιελίσσειν καὶ ἔπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιεῖν καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος· καὶ πεπιέχθω μὲν μή, ἀλλ' ὅσον ἑρμασμοῦ εἵνεκεν τοῦ ἕλκεος | προσκείσθω. ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος* 516 *ἐπιτιθέναι χρὴ πισσηρὴν ἤ τι τῶν ἐναίμων ἤ τι τῶν ἄλλων φαρμάκων ὅ τι σύντροφόν ἐστιν ἐπιτέγξει. καὶ*

3 *ὀκ.* codd. *μείζ.* MV 4 *γένηται* MV *καὶ* del. B[3] 5 *δεῖ* B, mut. in *δεῖται* B[3], *δεῖται* B[3]MV 6 *οὕτω* MV *ποιέεσθαι* codd. 7 *διπλοὺς* V 8 *ἡμισπηθ.* BM *ὁκοῖον* MV post *δὲ* add. *δεῖ* B 9 *τὸ* NH[2], ss. B[3], om. B[1]MV 10 *βραχ. μην ὀλ.* B, *βρ. μὲν ὀλ.* MV, altero loco *οὐκ ὀλ.*, altero *μὴ ὀλ.* Gal. c., *οὐκ ὀλ.* Bosq., *μὴ ὀλ.* Litt. *περιικνέεσθαι* BMV 11 *τὸ σ.* (*τοῦ σώματος*? cf. c. 30 *τὸ κατ. τοῦ σ.*) codd., om. Severini exemplar Frobenianum (L), Vossianus, Erm. Litt. 12 *περιικνέεσθαι* codd. *ὀπ.* BMV, *ὀκ.* cet. *ξυμφ.* MV 14 *ἀρχῶν* MV 15 *ὑπόδεσμις* BM *κἄπειτα* MV 16 *παραλάσσ.* BV *ἀφειέναι* B 17 *ποιέειν* codd. 18 *πιέχθω* MV 19 *ἕνεκεν* codd., scripsi *εἵν.* ante *προσκ.* iterat *και πεπ. μεν μη* B post *προσκ.* add. *δὲ* punctis inclusum B 21 ante *σύντρ.* add. *τὸ* B[1], del. B[3]

ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας πυκνά, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἰρία πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω. ἰξαλῆν δὲ χρὴ [αἰγὸς] ὑποτετάσθαι καὶ εὐαπόρρυτα ποιεῖν, φυλάσσοντα τοὺς ὑπορρόους, μεμνημένον ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσι αὐτοῖσι σχήμασι πολλὸν χρόνον κειμένοισι ἐκτρίμματα δυσάκεστα ποιέουσιν.

30. Ὅσους δὲ μὴ οἷόν τε ἐπιδέσει ἰήσασθαι διὰ τούτων τῶν εἰρημένων τρόπων ἢ τῶν εἰρησομένων, τούτους περὶ πλέονος χρὴ ποιεῖσθαι, ὅπως εὐθέτως σχήσουσι τὸ κατεηγὸς τοῦ σώματος κατ' ἰθυωρίην προσέχοντα τὸν νόον καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ τῷ κατωτέρω. εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι, ὅπως κατάτασιν δικαίην καὶ μὴ βιαίην σχήσει τὸ κατεηγὸς τοῦ σώματος·
518 μάλιστα δὲ | ἐν κνήμῃ ἐνδέχεται μηχανοποιεῖν. εἰσὶν μὲν οὖν τινες οἳ ἐπὶ πᾶσι τοῖς τῆς κνήμης κατήγμασι, καὶ τοῖσιν ἐπιδεομένοισι καὶ τοῖσι μὴ ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσι πρὸς τὴν κλίνην ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι

ξύντρ. MV ἐστι BM ante ἐπιτ. add. ὁ M et i. m. γρ. καὶ ὅπηι τέγξει, ὅπη τέγξει pro ἐπ. V

1 μὲν om. V ὥρα V, ὀρθὴ M 1. 2 τουσπλ. B, σ ss. B³ 2 ante εἰρ. add. καὶ B εἴρια V 3 ἰξάλην codd., -ῆν Foes. 4 δ' (δὲ V) αἰγὸς χρὴ MV αἰγὸς del. Bosq. et Litt. Galeni et Erotiani glossis et commentario Galeni collatis ὑποτετάσθω B ποιέειν codd. 6 οἱ pro οὗτοι Litt. propter comm. Galeni, qui eius modi exulcerationes ad os sacrum pertinere dicit τοῖσιν V κειμένοισι B, κείμενον MV, κείμενοι vulg. 7 ποιέουσα B, mut. in -σιν B³, ποιέουσι M 8 διά τινα τούτ. MV 10 πλείονος MV ποιέεσθαι codd. ὅκως MV 11 σχήσωσι M κατεθυωρίην B 12 δὲ post ἀνωτ. del. Wb. τῶ post ἢ om. BMV, add. D 14 ὅκως MV 15 σχήσῃ V 16 μηχανοποιέειν codd. εἰσὶ MV 17. 18 τοῖς τ. κν. κ. κ. om. B

*μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν· οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα, — οὐδὲν γὰρ ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο, — οὔτ' αὐτὴν ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει· στρεφομένου γὰρ τοῦ ἄλλου σώματος ἢ τῇ ἢ τῇ οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα καὶ τὰ ὀστέα τὰ τῷ ποδὶ προσηρτημένα ἐπακολουθεῖν τῷ ἄλλῳ σώματι. εἰ δὲ μὴ προσεδέδετο, ἧσσον ἂν διεστρέφετο· ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος. εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος Αἰγυπτίου τοιαύτας οἵας φορέουσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσι πολλὸν χρόνον πεπεδημένοι, αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας, τὰ μὲν πρὸς τοῦ τρώματος βαθυτέρους, τὰ δὲ πρὸς τῶν ἄρθρων βραχυτέρους, εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαί, ἁρμόζουσαι δέ, ἡ μὲν τῷ ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ τῷ κάτωθεν τοῦ γού|νατος, ἐκ δὲ πλαγίης ἑκατέρη* 520
*δισσὰ ἑκατέρωθεν ἔχοι προσαρτήματα ἢ ἁπλόου ἱμάντος ἢ διπλόου, βραχέα ὥσπερ ἀγκύλας, τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος, [καὶ ἡ ἄνωθεν σφαῖρα | ἕτερα τοιαῦτα ἔχοι] κατὰ τὴν ἰθυωρίην* 522

3 *γὰρ* om. MV 5 *ουτ αυτην εστιν εἰθ.* B, *οὔτ' αὖ ἐς τὴν εἰθ.* (*ἰθ.* V) B³V, *οὔτ' ἂν ἐς* (*ἐς* semirasum) *τ. ἰθ.* M *ὠφελέει* codd. 6 *στρεφο!μένου* M 7 *οὐδὲν* om. B 8 *τὰ* post *ὀστ.* om. MV *ἐπακολουθέει* MV 12 *σκύτεως* V *αἰγυπτί* M *φοροῦσι(ν* V) MV 13 *τισι* B 17 *τῶν ἄν.* B, corr. B³ *τω, τὸ* MV *σφυγμῶν* V 18 *τῷ* ante *κάτ.* om. MV *ἑκατέρης* V 19 *προσηρτημένα* B, *-τισμένα* MV, scripsi *προσαρτήματα* (cf. *ἐξαρτημάτων* Gal. c. XVIII, 2, 579) *ἁπλοῦ* MV *ἱμ.* V 20 *βραχύτερα* MV 20. 21 *σφυγμοῦ* V *τη* utroque loco B, priore corr. *τοι* B³, *τι* bis MV 21 *γόν.* V post *γουν.* add. *τα μεν τι τα δετι* B 21. 22 *καὶ . . . ἔχοι* delevi, *καὶ . . . αὐτήν.* (92, 1) del. Erm. 22 *ἔχει* V

*τὴν αὐτήν· καὶ ἔπειτα κραναίνας ῥάβδους τέσσαρας λαβὼν ἴσας μέγεθος ἀλλήλῃσι, πάχος μὲν ὡς δακτυλιαίας, μῆκος δέ, ὡς κεκαμμέναι ἐναρμόσουσιν ἐς τὰ ἀπαιωρήματα, ἐπιμελόμενος ὅπως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσῃ. εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων καὶ πλείω καί τινι καὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων, καί τινι καὶ βραχυτέρας καὶ σμικροτέρας, ὡς καὶ μᾶλλον διατείνῃς, ἢν βούλῃ, καὶ ἧσσον· ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. ταῦτα δ' εἰ καλῶς μηχανοποιηθείη, τήν τε κατάτασιν καὶ δικαίην ἂν παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην καὶ τῷ τρώματι πόνος οὐδεὶς ἂν εἴη· τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δ' ἐς τὸν μηρόν, αἵ τε ῥάβδοι εὐθετώτεραι αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τῶν σφυρῶν, ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης, τό τε τρῶμα εὐκατάσκεπτον καὶ εὐβάστακτον· οὐδὲν γὰρ ἐμποδών, εἴ τις ἐθέλοι*
524 *τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλ|λήλας ζεῦξαι, καὶ εἴ τις κούφως βούλοιτο ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ*

1 *κἄπειτα* MV *τέσσ.* om. MV 2 post *ἀλλήλ.* (*-οισιν* V) add. *ἔχουσας* MV, om. B[1], ss. B[3] 3 *δ'* MV 4 *ἐπαιώρ.* B *ἐπιμελώμ.* M *ὅκως* MV 5 ante *σφαιρ.* iterat *ῥάβδων . . . ἄκρα τῶν* B *ρεγκέλσῃ* B, *ρ* del. B[3], *ἐνκ.* M 7 *πλέω* MV *καὶ* ante *μακρ.* om. MV *ἑτερέων* B 8 *παχυτέρας* pro *βραχ.* B *καὶ σμικρ.* om. B *μικρ.* MV, *σμ.* cet. 9 *διατεινησιν βουλη* B, mut. in *διατείνῃς ἢν βούλῃ* B[3], *διατείνειν ἢν βούληται* MV *καὶ ἧσσον* om. MV ante *ἔστ.* add. *καὶ* MV 10 *ἑκατέραι* V *σφαιρέων* pro *σφ.* Bosq. 11 *καὶ* ante *δικ.* om. MV 12 *ἂν* post *δικ.* om. MV 14 *τοι* B *τὸ μὲν* B 15 *δὲ ἐς* M *αἱ* ante *μὲν* om. B 16 *δ' ἔνθεν* MV *σφαιρέων* Bosq. 17 *εὐκατάσκηπτον* MV 20 *εἴ* Wb., *ἢν* codd. *βούληται* V *ὡς* pro *ὥστε* B 22 *η* pro *εἰ* B

*μὲν οὖν αἵ τε σφαῖραι προσηνέες καὶ καλαὶ καὶ μαλθακαὶ καὶ καιναὶ ῥαφεῖεν καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα· εἰ δέ τι τούτων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς ἢ καλῶς μηχανᾶσθαι ἢ μὴ μηχανᾶσθαι· αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιεῖσθαι.*

31. *Τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα, καὶ τὰ σὺν ἕλκεσι καὶ τὰ ἄνευ ἑλκέων, τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν εἰρίοισι ῥυπαροῖσι, καὶ οὐδέν τι ἄτεχνον δοκεῖ τοῦτο εἶναι. ὅσοι μὲν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων μὴ ἔχοντες ὀθόνια εἰρίοισι παρασκευάσασθαι, τούτοισι πλείστη συγγνώμη· οὐδὲ γὰρ ἄν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίου ἐπιδῆσαι ἐπὶ τὰ τοιαῦτα· εἶναι δὲ χρὴ πάμπολλα καὶ πάνυ καλῶς εἰργασμένα καὶ μὴ τρηχέα· τῶν γὰρ ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ μίαν ἢ δύο ἡμέρας εἴρια ἐπιδεῖν δικαιοῦσι, τρίτη δὲ καὶ τετάρτη ὀθονίοις ἐπιδέοντες πιέζουσι καὶ κατατείνουσι τότε μάλιστα, οὗτοι πολὺ τῆς ἰητρικῆς καὶ κάρτα ἐπίκαιρον ἀσυνετέουσι· ἥκιστα γὰρ χρὴ τρίτη καὶ τετάρτη στυφελίζειν πάντα τὰ τρώματα ὡς ἐν* |

2 *κεναὶ* MV *ῥαφαιην* B, *-εῖεν* corr. B[3] 3 *ταθείη* B 4 *τουτέων* MV 6 *ἢ* prius del. B[3] *ἢ μὴ μηχανᾶσθαι* om. B et i. m. adscr. *γρ. εὐμηχανέειν ἢ μὴ μηχανῆσθαι* B[4] 7 *μηχανᾶσθαι* pro *ἀμηχανοποιεῖσθαι* (*-έεσθαι* rel. codd.) B 8 *ἰατρῶν* V 9 *ξὺν* MV 10 *ἡμερῶν* B *ἐρίοισι* B 11 *δοκέει* codd. 12 *νεωτρ.* M 13 *τουτέοισι* MV *συγγνωμη* B 14 *οὐ γὰρ* MV 16 *τριχ.* B, *τραχ.* MV, *τρηχ.* cet. codd. 18 ante *μίαν* add. *ἐπὶ* M, *μὴ ἐπὶ* add. V *εἰρία* V *ἐπιδέειν* codd. *δοκέουσι* V 19 *ὀθονίοισι* M, *-σιν* V *πιεζέουσι* M 20 *πουλὺ* M *τι* pro *τῆς* MV 21 *ἐπὶ καιρὸν* V *ἀσυνετέουσιν* M ante *τρίτη* add. *τῇ* MV 22 ad *στυφελίζειν* i. m. *διασείειν πλήσσειν* B[4]

526 κεφαλαίῳ εἰρῆσθαι· καὶ μηλώσιας χρὴ πάσας φυλάσσεσθαι ἐν ταύτῃσι τῇσι ἡμέρῃσι καὶ ὁπόσοις ἄλλοισιν τρώματα ἠρέθισται. τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισι τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ καὶ ὅσα ἂν ἐς πυρετοὺς ἴῃ. καὶ μάλα πολλοῦ ἄξιον τοῦτο τὸ μάθημα, εἴπερ τι καὶ ἄλλο· τίνι γὰρ οὐκ ἐπικοινωνεῖ τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μοῦνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νοσήματα; εἰ μή τις φήσειε καὶ τὰ ἄλλα νοσήματα ἕλκεα εἶναι· ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν· πολλαχῇ γὰρ ἠδέλφισται τὰ ἕτερα τοῖσι ἑτέροισι. ὁκόσοι μέντοι δικαιοῦσιν εἰρίοισι χρῆσθαι, ἔστ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν, ἔπειτα κατατείνειν τε καὶ κατορθοῦν καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φανεῖεν· καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθε, καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἡσσᾶται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος·
528 κεῖνος | μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσιν ἀφλεγμάντους καὶ παρασκευάζει νάρθηξιν τελέως

1 καὶ μηλ. δὲ π. φυλάττεσθαι χρὴ MV  πάσας lineola del. B[3]  2 τῆς B[1], corr. τῇσι B[3], τῇσιν V  ὁκόσοις MV  ἄλλοισι MV  3 τρώμασι(ν V) MV, τρώματα B  ἐρεθίζεσθαι εἴθισται Erm.  5 παλινκοτιας B  φλεγμονίην V  ἀκάθαρσιν B[1], mut. in -σίην B[3]  6 ἂν om. B  ἴει MV  7 τὸ om. MV  τινὶ V  8 ἐπικοινωνέει codd.  9 μόνον M  post κατὰ add. τὰ B  κατ' ἄλλα MV  10 τἆλλα M, τ' ἄλλα V  post νοσ. add. τὰ M  12 γὰρ om. MV, δὲ pro γὰρ vulg.  τοῖσιν ἑτέροισιν V  ὁκοσοι MV  15 ὀθονίοισι BM  ante οὐκ add. οὐ B[1], del. B[3]  17 παρεληλυθατε B[1], corr. παρελήλυθε B[3]  18 εἴ pro εἴη B  ἥσσηται B  19 αὐτὴ V  ἡ om. B  μελέτης B[1], ς del. B[3]  τοῖσι B  ὀθονίοισι M  20 ἀποδείκνυσι codd.  21 ἀφλεγμ. N, ss. B[3], om. cet. codd.  νάρθηξι V  τελέως om. B

*ἐπιδεῖν· οὗτος δὲ ὁ τρόπος πολὺ ὑστερεῖ, βλάβας δέ τινας καὶ ἄλλας ἔχει· ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν.*

*Οἷσι δὲ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάστασις· σιδήρια χρὴ ποιεῖσθαι ἐς τοῦτον τὸν τρόπον, ὅνπερ οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέωνται, τὸ μέν τι πλατύτερον, τὸ δέ τι στενότερον· εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω, ὡς τοῖσι μάλιστα ἁρμόσουσί τις χρήσεται· ἔπειτα τούτοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα, πρὸς μὲν τὸ κατωτέρω τοῦ ὀστέου τὸ κατώτερον ἐρείδοντα, πρὸς δὲ τὸ ἀνωτέρω τὸ ἀνώτερον τοῦ σιδηρίου, ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς· ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρίη, ἤν τά τε σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις ὡς χρή· ὁπόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ καὶ μόχλευσις καὶ σφήνωσις. ἄνευ δὲ τούτων ἑνός τέ τινος ἢ πάντων οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ | ἄνθρωποι ἐπιτελέουσι. οὔκουν ἀτιμαστέη ἡ μό-* 530

4 *ὁκόσοισι* MV ante *ὀστ.* add. *τὰ* MV 5 *τὴν ἑωυτῶν* om. B[1], ss. B[3] *καθοιδρ.* B *κατάτασις* MV, *καταστ.* B Gal. c. p. 591 6 *σιδήρεια* M *ποιέεσθαι* codd. *ὅνπερ* B[1], *ὁκοῖα περ* B[3], *οὗπερ* Pq. 7 *ὑλατύποι* pro *οἱ λ.* MV *χρέω-* scripsi, *χρῶνται* B *χρέο-* cet. 8 *στενώτ.* MV 9 *πλεῖον* MV *τοῖς* MV *ἁρμόζ.* MV 10 *χρήσαιτο* MV *τουτέοισι* codd. 11 *ὑπερβ.* Pq. priore loco *κατώτερον* B[1]MV, corr. *-τέρω* B[3] alterum *τὸ κατώτερον* om. BMV, *τοῦ ὀστ.* om. B[1], *τοῦ ὀστέου τὸ κατώτερον* adscr. B[2] in marg. 12 *ἐρίδ.* B *ἀνώτερον τῷ ἀνωτέρω* MV, *ἀνωτερω το ἀνωτερω* B, loco posteriore scripsi *ἀνώτερον* 15 *οἴονται* M 16 *τε τὰ* MV *ἐπιτήδια* B *ᾖ* om. MV *καὶ* om. B *μοχλεύη τε* B 17 *ὁκ.* MV *ἅρμ.* BMV vulg., *ἄρμ.* Parr. FIJ 18 *ὧν ἤ* pro *ὄνου* V 19 ante *ἑνός* add. *ἢ* MV 21 *ἐπιτελέουσιν* MVB[3] *οὐκ οὖν ἀτιμαστέα* V *αὕτη ἡ μόχλ.* MV

*χλευσις αὕτη· ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα ἢ οὐκ ἄλλως. ἢν δ' ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ πάροξυν παραφέρῃ, παραγλύψαντα χρὴ τοῦ ὀστέου ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθήμερα ἢ δευτεραῖα, τριταῖα δὲ μή, τεταρταῖα δὲ ὡς ἥκιστα καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλήσαντι δὲ ἐν ταύτῃσι τῇσι ἡμέρῃσι φλεγμονὴν ἂν ποιήσειε καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον· σπασμὸν μέντοι ἐμβάλλοντι πολὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα εὖ χρὴ εἰδέναι· καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης· λυσιτελεῖ δὲ ὀπίσω ἐκβάλλειν τὸ ὀστέον, εἰ οἷόν τε εἴη ἀόχλως. οὐ γὰρ ἐπὶ τοῖς χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλὰ ἐπὶ τοῖς ἐντεταμένοισι μᾶλλον. περὶ οὗ οὖν ὁ λόγος, οὐ χρὴ ἐνοχλεῖν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν ταύτῃσι, ἀλλὰ μελετᾶν ὅπως ἥκιστα φλεγμανεῖ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσει. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος,*
532 *τότε ἧσσον κωλύει πειρᾶσθαι ἐμβάλλειν, ἢν | ἐλπίζῃς κρατήσειν· εἰ δὲ μή, οὐδὲν δεῖ μάτην ὀχλεῖν καὶ ὀχλεῖσθαι.*

1 *εἰ γὰρ* MV *ἐνπ.* B 3 *ἔχει* B *παροξὺν* B, *παροξὺ* M vulg., *παρ' ὀξὺ* V 4 *ὃ παραφέρει* MV *παροξὺ ἐὸν παραφέρῃ* Bosq. Litt. 8 *τῇσιν* V 10 *πολὺ*$^{\nu}$ B, *ν* ss. $B^2$, *πουλὺ* M 12 *μὲν* lineola del. $B^3$ 13 *λυσιτελέει* codd. *ἐμβάλλ.* B *θιον* pro *οἷόν* $B^1$, corr. $B^3$ 14 *τοῖσι χαλ.* MV 15 *ἐπιγένονται* B *ἀλλ'* MV 16 *ἐνοχλεύειν* B, *-λέειν* cet. codd. 17 *ἡμέρῃσι* MV *ταύτῃσιν* V 18 *ὅκως* MV *φλεγμενει* BM, *-μαινη* V, *-μανεῖ* Litt. *ἐκποιήσει* B, *-πυήσει* M, *-πυήσῃ* V 20 ante *πλ.* add. *καὶ* V *φλεγμαίνει* BM 21 *κωλύειν ἢ* MV, *κωλύει* sine *ἢ* B, *κωλύῃ* Wb. *πειρῆσθαι* MV 22. 23 *ὀχλέειν* et *ὀχλέεσθαι* codd.

32. Ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι, ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ καὶ ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιούτοισι τὴν ἐπίδεσιν ποιεῖσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον ὡς ἐπὶ τὸ πολύ, ὡς ἀπὸ δύο ἀρχέων ὑποδεσμὶς ἐπιδεῖται. τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅπως ἥκιστα σεσηρὸς καὶ ἐκπεπλιγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν· τοῖσιν μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν σύντρόφως ἔχει, τοῖσι δὲ ἐπ' ἀριστερά, τοῖσι δὲ ἀπὸ δύο ἀρχέων.

33. Ὁπόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν, ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν. ψιλοῦται δὲ ἐνίων μὲν τὸ ἄνω μέρος, μετεξετέρων δὲ κυκλόθεν περιθνήσκουσι αἱ σάρκες· καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος σεσάπρισται ἔνια τῶν ὀστέων, τῶν δ' οὔ, καὶ τῶν μὲν μᾶλλον, τῶν δὲ ἧσσον, καὶ τὰ μὲν σμικρά, τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν, ὁπότε τὰ ὀστέα ἀποστήσεται· τὰ μὲν γὰρ διὰ σμικρότητα, τὰ δὲ διὰ τὸ ἐπ' ἄκρου ἔχεσθαι θᾶσσον ἀφίσταται· τὰ δὲ διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι καταξηρανθέντα καὶ σαπρὰ γενόμενα· πρὸς

2 *γεγράφαται* $B^1$, mut. in *-φεται* $B^3$ *οἵως* pro *ὡς* B 3 *τ'* MV 4 *ἀποστήσεσθαί τῳ τρ., τ. ὀ. . . . τ. ἐπίδ. π.* Wb. 5 *τοιουτέοισι* MV 6 *ποιέεσθαι* codd. 7 *πουλὺ* MV *ἐπὶ* pro *ἀπὸ* MV *ἀρχαίων* V *ὑπόδεσμις* V *ὑποδεῖται* MV 8 *δὲ* om. $B^1$, add. i. m. $B^2$ *ὅκως* MV 9 *σεσηρώς* M *ἐκπεπληχμένον* BMV, *-πληγμ.* vulg., *-πλιγμ.* Litt. cf. s. c. 25 10 *τοῖσι μὲν* MV *γὰρ* om. Bosq. *ξύντροφον ἔσται* MV 12 *Ὁκ.* MV 13 *αὐτὰ* om. B 15 *κύκλωθεν* M *περιθνισκουσι*$^{ν}$ B, *ν* ss. $B^2$, *ἀμφιθνήσκουσιν* MV 16 $^{σ}$*εσαπρισται* B, *σ* ss. $B^2$ 18 *δ'* priore loco MV 19 *ὀνόμ. ἑνὶ* V 20 *ὁκότε* MV 21 *μικρ.* BM

534 δὲ τούτοις διαφέρει τι καὶ ἰη|τρείη ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τούτων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες, τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυίαι· καὶ γὰρ αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν αὗται μετεωρίζουσιν τὰ ὀστέα ὡς ἐπὶ τὸ πολύ. ὅλος μὴν κύκλος ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται· ἔνια γὰρ ἐς ἑξήκοντα ἡμέρας ἀφικνεῖται· τὰ μὲν γὰρ ἀραιότερα τῶν ὀστέων θᾶσσον ἀφίσταται, τὰ δὲ στερεώτερα βραδύτερον· τὰ δὲ ἄλλα τὰ μείω πολλὸν ἐνδοτέρω, ἄλλα δ' ἄλλως.

Ἀποπρίειν δὲ ὀστέον ἐξέχον ἐπὶ τῶνδε τῶν προφασίων χρή· ἢν μὴ δύνηται ἐμβάλλειν, σμικροῦ δέ τινος αὐτῷ δοκῇ δεῖν παρελθεῖν καὶ οἷόν τε ᾖ παραιρεθῆναι· ἤν τε ἀσηρὸν ᾖ καὶ θραῦόν τι τῶν σαρκίων καὶ δυσθεσίην παρέχῃ, ψιλόν τε τυγχάνῃ ἐόν, καὶ τὸ τοιοῦτο ἀφαιρεῖν χρή. τὰ δ' ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρῖσαι οὔτε μὴ ἀποπρῖσαι. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ὀστέα, ὅσα τελέως στέρεται τῶν |
536 σαρκῶν καὶ ἐπιξηραίνεται, [ὅτι] παντελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀπο-

1 τϊ B, τε MV ἰητριηητριης B εως pro ὡς B 2 τουτέων MV ὀστέα om. V 4 σαρκοφυεῖαι B 5 μετεωρίζουσι MV 6 πουλύ MV ὁ κύκλ. τοῦ ὀ. MV 7 εἰς M 8 ad ἡμ. ἀφικν. in marg. ἢ καὶ πλείους B[3] ἀραιωτερὰ B 12 ἀποπρειοιν B δ' MV 13 δύνῃ Erm. μι. codd., scripsi σμ. 14 αὐτῷ del. Erm. δοκέει codd., scripsi δοκῇ οἴονται pro οἷόν τε BM 16 δυσαισθησίην MV παρέχει B δὲ pro τε MV τυγχάνει M 17 τοιοῦτο[ν] B, ν ss. B[2], τοιοῦτον V ἀφαιρέειν codd. 18 ἀποπρίσαι (bis) V οὔτε μὴ ἀποπ. om. B[1], add. i. m. B[2] σαφῶς B 19 στερέεται MV 20 ὅτι om. Par. I, Bosq. Litt. Erm., prius ὅτι deleri mavult Ilb. παντελως B, πάντα τελέως MV, πάντως Gal. comm.

*πρίειν· τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν τεταγμένων σημείων τὰ τελέως ἀποστησόμενα.*

34. *Ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσιν καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθε γέγραπται ἐπὶ τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι δὲ χρὴ μὴ κάρτα ψυχροῖσι τέγγειν τὸν πρῶτον χρόνον· ῥιγέων γὰρ πυρετωδέων κίνδυνος· κίνδυνος δὲ καὶ σπασμῶν· προκαλεῖται γὰρ σπασμὸν τὰ ψυχρά, ποτὶ δὲ καὶ ἕλκη. εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γίνεσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύεται καὶ οἷς ὅλος ὁ κύκλος τοῦ ὀστέου ἀπέστη.*

35. *Ὅσων δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέσχεν, οὗτοι οὐ μάλα περιγίνονται· τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα, καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα καὶ νεῦρα καὶ μύες καὶ φλέβες. καὶ ἢν μὲν ἐμβάλλῃς, σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι, μὴ ἐμβληθεῖσι δὲ πυρετοὶ ὀξέες καὶ ἐπίχολοι καὶ λυγγώδεες καὶ ἐπιμελαίνονται. περιγίνονται δὲ οὐχ ἧσσον, οἷσι μὴ ἐνεβλήθη μηδ' ἐπειρήθη ἐμβάλλεσθαι· ἔτι δὲ μᾶλλον περιγίνονται, οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέσχεν ἢ οἷσι τὸ ἄνω· περιγένοιντο δ' ἂν καὶ οἷς ἐμβληθείη, σπανίως γε μήν. μελέται γὰρ μελετέων μέγα διαφέ- |*

3 *σπλήνεσι* MV 4 *ἰητρίῃ* ut fere solet B 4 *πρόσθε* M, *-ν* cet. *ἐπὶ* om. MV 5—6 *κάρτα ψ.* Erm., *καταψυχροῖσι* BMV, solum *ψυχροῖσι* DFHIJKL Bosq. Litt. 7 *κίνδ.* semel pos. Gal. i. t. *τὲ* ut videtur pro *δὲ* V *προκαλέεται* codd. 8 *ποτὲ* L Gal. Bosq. Erm., cf. s. c. 3 *ἕλκει* B, *-ειν* V 9 post *ὅτι* add. *περ* vulg., add. *τὰ* MV, utrumque om. B *τὰ* ante *σ.* om. V *γενέσθαι* MV 11 *ἰητρεύηται* BMV, *-εται* J Litt. Erm. 12 *ὅσον* BV, *ὅσων* M, *ὅσοις* vulg. 15 *ἐμβάλλοις* BMV, *-λλῃς* IM Littraei 17 *λιγγυώδεις* M *μελαίν.* V 18 *μεν* pro *μὴ* B, corr. B[3] *ἐμβληθῇ μηδὲ πειρηθῇ* codd., *ἂν* ante *μὴ* add. Erm., scripsi *ἐνεβλ. μηδ' ἐπ.* 19 *μὴ δὲ* V 21 *περιγίνονται δ' ἂν* MV 22 *μελλέτεται* B[1], mut. in *μελλέται* B[2]

538 ρουσιν καὶ φύσιες φυσίων τῶν σωμάτων ἐς εὐφορίην. διαφέρει δὲ μέγα καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξέχῃ· πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει, ὧν ἔνιαι τιτρωσκόμεναι σφάγιαί εἰσιν· εἰσὶν δὲ καὶ ἐν τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισιν τρώμασιν τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁποῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβάλλειν, ἐλπίζοις δὲ ἐμβάλλειν, καὶ μὴ πολλὴ ἡ παράλλαξις εἴη τοῦ ὀστέου καὶ μὴ συνδεδραμήκοιεν οἱ μύες — φιλέουσι γὰρ συνθεῖν —, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν συλλαμβάνοιτο.

36. Ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν πῖσαι χρὴ αὐθημερόν, ἢν αὐθημερὸν ἐμβληθῇ· εἰ δὲ μή, οὐδ' ἐγχειρεῖν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρή, οἷσί περ κεφαλῆς ὀστέα κατεηγυίης, καὶ ψυχρὸν μηδὲν προσφέρειν, σιτίου δὲ στερῆσαι τελέως· καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα τούτῳ διαιτᾶν· ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατι |
540 πόματι χρῆσθαι· καὶ ἢν μὲν πυρεταίνῃ συνεχέως, τεσσαρεσκαίδεκα ἡμέρας τὸ ἐλάχιστον οὕτω διαιτᾶν, ἢν

1 εἰς MV 2 ἢν om. B[1], sed καὶ ἢν i. m. B[2] 3 ἐξέχει B καὶ om. B[1], ss. B[2] 5 εἰσὶ MV 6 τοῖσι M τοιούτοισι τρώμασι MV 7 ὁκ. MV 8 ἀναγκάζοις B, -κάζοι ὁ MV, -κάζοιο vulg. 9 μὲν ἐμβαλεῖν MV μὴν pro μὴ B[1], corr. B[3] 10 ἤει B, ᾖ MV, εἴη cod. Sev. et Voss. Litt. Erm. ξυνδ. MV, ξυνδεδραμηκοσι B[1], mut. in -κασι 11 ξυνδεῖν MV 12 post τῆς add. κατὰ τῆς lineola deletum B ξυλλ. MV 13 ἐμβαλόντα Erm. ἐλέβ. V πεισαι B[1], ss. πι B[3], πιπίσαι MV 15 ἐγχειρέειν codd. οἵη περ MV 16 κατηγύης BM μηθὲν BV προσφερέειν V 17 σιτίων M ἢν μὴ πικρ. . . . ἢν δὲ καὶ πικρ. MV Artemid. Cap., quam inversionem confutat Gal. comm. 608 19 τουτέῳ codd. καὶ pro μὴ V ὕδατος Gal. comm. 20 ξ(σ B)υνεχῶς codd., scripsi -έως 21 ἡμέραις MV

δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρας. ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον ἐς φαύλην δίαιταν ἄγειν. καὶ οἷσιν ἂν μὴ ἐμβληθῇ τὰ ὀστέα, καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιεῖσθαι καὶ τῶν ἑλκέων τὴν μελέτην καὶ τὴν δίαιταν· ὡσαύτως καὶ τὸ ἀπορεύμενον τοῦ σώματος μὴ κατατείνειν, ἀλλὰ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἡ ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν, ἅμα ἥν τις καλὴν φυγὴν ἔχῃ· αἵ τε γὰρ ἐλπίδες ὀλίγαι καὶ οἱ κίνδυνοι πολλοί· καὶ μὴ ἐμβαλὼν ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβαλὼν ἂν ἐγγυτέρω θανάτου ἀγάγοι ἢ σωτηρίης.

37. Τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα καὶ τὰ διακινήματα τῶν ὀστέων εὐηθέστερα πολὺ τῶν κατὰ ἀγκῶνα κινημάτων καὶ ὀλισθημάτων· τό τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ τῷ μεγέθει ἢ τὸ τοῦ βραχίονος καὶ δικαίην φύσιν μοῦνον ἔχον καὶ ταύτην περιφερέα· τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα τε καὶ βαθμίδας πλείονας ἔχον. πρὸς δὲ τούτοις τὰ μὲν τῆς κνήμης ὀστέα παραπλήσια μῆκός ἐστιν καὶ σμικρόν τι οὐκ ἄξιον λόγου τὸ ἔξω ὀστέον ὑπερέχει οὐδενὸς μεγάλου κώλυμα ἐόν, | ἀφ' οὗ πέφυκεν ὁ ἔξω 542
τένων ὁ παρὰ τὴν ἰγνύην· τὰ δὲ τοῦ πήχεος ὀστέα

1 ἄπυρος B ἡμέρῃσιν codd., scripsi -ας 2 ἐς om. MV 3 βληθῇ MV 4 ποιέεσθαι codd. 5 distinguit ante ὡσ. Litt. ἀπαι(ε M)ωρεύμ. MV 6 post ἀλλὰ add. καὶ rec., om. BMV 7 ἡ om. MV 9. 10 αμα ην τις καλειν
τὴν ἀπο
φυγειν ἔχη B, ss. B³, ἀλλ' ἥν τις καλὴν ἔχῃ τὴν ἀποφυγὴν (-φυγειν M) MV 11 ἐμβάλλων bis MV 12 τοῦ ante θαν. add. MV θανάτω B αὐτὸν ante θαν. add. Gal. i. t. 14 πουλὺ M κατ' MV 15 ἀρθίον M 16 τῷ om. MV 18 φέρει B¹, mut. in περιφερέα B³ 20 supra μῆκος ss. κατὰ B³ ἐστι MV

*ἄνισά ἐστιν, καὶ τὸ βραχύτερον παχύτερον συχνῷ, τὸ δὲ λεπτότερον πολλὸν ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον· ἐξήρτηται μέντοι καὶ τοῦτο τῶν νεύρων κατὰ*
544 *τὴν κοινὴν σύμφυ|σιν τῶν ὀστέων· πλέον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον ἤπερ τὸ παχύ. ἡ μὲν οὖν φύσις τοιουτότροπος τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος. καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα πολλάκις μὲν ὀλισθάνει, ῥηϊδίως δ' ἐμπίπτει· φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται οὐδὲ δεσμὸς τοῦ ἄρθρου. ὀλισθάνει δὲ τὰ πλεῖστα ἐς τὸ ἔσω μέρος, ἔστιν δὲ ὅτε καὶ ἐς τὸ ἔξω, ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. τούτων ἁπάντων ἐμβολαὶ οὐ χαλεπαί, ἀλλὰ τὰ μὲν ἔσω καὶ ἔξω ὀλισθάνοντα καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον χαμαὶ ἢ ἐπὶ χαμαιζήλου τινός, τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν, μὴ μὴν πολλῷ. κατάτασις δὲ ὡς ἐπὶ τὸ πολὺ μετρίη ἀρκεῖ, τῇ μὲν κατατείνειν τὴν κνήμην, τῇ δὲ ἀντιτείνειν τὸν μηρόν.*

38. *Τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀχλωδέστερά ἐστι τῶν κατὰ τὸ γόνυ καὶ δυσεμβολώτερα καὶ διὰ τὴν φλεγμονὴν καὶ διὰ τὴν φύσιν, εἰ μή τις αὐτίκα ἐμβάλοι·*

1 *ἐστι* MV 2 *πολλων* B 3 *τουτο* B¹, mut. in *τουτου* B², *τούτων* MV, *τοῦτο* iam scripsit Litt. coniciens e Gal. comm. 4 *ξύμφ.* codd. *πλεῖον* MV 4 ante *πλ.* add. *πλεῖον δὲ μέρος ἔχει τὸ ἄρθρον* Gal. Merc. in marg. 6 *παχύν* B *τοιουτόστροπος* B 9 ante *γόνυ* add. *τὸ* codd. Sev. et Voss., Litt. *ὀλισθαίν.* MV ut saepius 10 *δ' οὐ* MV 11 *εἰς* M *εἴσω* BM 12 *ἔστι* MV *δ' ὅτε* MV *εἰς* B 14 *ἔσσω* BM *ὀλισθάνονται* B¹, *ι* del. man. posterior 15 *ἀνθρ. χαμαι ἢ ἐπιχαμεξηλου* B, *χαμαὶ ἢ* om. MV 17 *πουλὺ* MV *ἀρκέει* codd., *-έῃ* Gal. i. t. 18 Quae sequuntur post *μηρόν*, non sunt in commentario Galeni, cuius loco succedit Oribasii epitome (Bussemaker et Daremberg IV, 225 sqq.) 19 *ἐστιν* M 21 *κ. διὰ τ. φύσιν* N, om. B¹MV, ss. B² 21 *ἢν* codd., scripsi *εἰ* *ἐμβάλ(λ* V)*οι* codd., *-βάλῃ* Litt. ex lect. Sever.

*ὀλισθάνει μὲν γὰρ ἧσσον ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ καὶ δυσθετώτερα καὶ ἐπιφλεγμαίνει μᾶλλον καὶ ἐπιπωροῦται.*

39. *Ἔστιν δὲ καὶ τούτων τὰ μὲν πλεῖστα σμικραὶ ἐγκλίσιες, ἄλλοτε ἐς τὸ πρὸς τῶν πλευρέων μέρος, ἄλλοτε ἐς τὸ ἔξω, οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκός, ἀλλὰ μοῦνον τὸ κατὰ τὸ κοῖλον | τοῦ ὀστέου τοῦ βρα-* 546
*χίονος, ἢ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἐξέσχεν. τὰ μὲν οὖν τοιαῦτα κἂν τῇ ἢ τῇ ὀλίσθῃ, ῥηίδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη κατ᾽ ἰθυωρίην τοῦ βραχίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν, τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα, τὸν δὲ τῇ ἑτέρῃ πρὸς τὸ ἐξεστεὸς ἄρθρον τὸ θέναρ προσβάλλοντα ὠθεῖν, τῇ δὲ ἑτέρῃ ἀντωθεῖν προσβάλλοντα πρὸς τοῦ πήχεος ἐγγὺς τοῦ ἄρθρου.*

40. *Ἐνακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμήνῃ ἐμβάλλῃ τις. ὀλισθάνει δὲ ὡς ἐπὶ τὸ πολὺ μᾶλλον ἐς τὸ ἔσω μέρος, ὀλισθάνει δὲ καὶ ἐς τὸ ἔξω· εὔδηλα δὲ τῷ σχήματι. καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα καὶ ἄνευ ἰσχυρῆς*

1 *δὲ* om. MV 4 *Ἔστι* MV *μικραὶ* B 7. 8 *ἀλλὰ μένον τι κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βρ., ἢ* . . . Wb. 7 *μονον* B, scripsi *μοῦν.*, *μένοντι τὸ κατὰ* M, *μένον τί κατὰ* V ante *τοῦ ὀστ.* add. *ὀστέον* MV 8 *ἢ* V *ἐξεσχεν* B et i. m. *γράφεται καὶ ἔχει* B³, *ἔχει* MV 9 *τοια* B *ὀλισθῇ* codd., *ὀλίσθῃ* Litt. 10. 11 *ει ἐς τὸ ειθυ γινομενον* (corr. *-μένη* man. posterior) *κατ᾽ εἰθ.* B *γεν.* V 14 *ὠθέειν* codd. *δ᾽* MV 15 *ἀντωθέειν* codd. *προστουπηχεος* B, om. MV 15. 16 *το αρθρον* B, *τῷ ἄρθρῳ* cet. 17 ante *ἐνακ.* Litt. lacunam esse suspicatus de suo interposuit: *Διακινέεται δὲ τὸ κατ᾽ ἀγκῶνα τὸ τοῦ βραχίονος, καταλιπὸν τὴν βαθμίδα τοῦ πήχεος*, cf. vol. III, p. 369—378 18 *ἐμβάλῃ* MV 19 *πουλὺ* MV

κατατάσιος· χρὴ δὲ τῶν ἔσω ὀλισθανόντων τὸ μὲν ἄρθρον ἀπωθεῖν ἐς τὴν φύσιν, τὸν δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα.

41. Ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον ἢ ἔνθα ἢ ἔνθα ὑπὲρ τὸ ὀστέον τὸ τοῦ πήχεος τὸ ἐξέχον ἐς τὸ κοῖλον τοῦ βραχίονος — γίνεται μὲν ὀλιγάκις τοῦτο, ἢν δὲ γίνηται —, οὐκ ἔτι ὁμοίως ἡ κατάτασις ἡ ἐς τὴν ἰθυωρίην
548 γινομένη ἐπιτηδείη τῶν τοιούτων ὀλισθημάτων· | κωλύει γὰρ ἐν τῇ τοιαύτῃ κατατάσει τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. χρὴ τοίνυν τοῖσιν οὕτως ἐκβεβληκόσι τὴν κατάτασιν ποιεῖσθαι τοιαύτην, οἵη περ πρόσθε γέγραπται, ἐπήν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ, ἀπὸ μὲν τῆς μασχάλης ἐς τὸ ἄνω τείνεσθαι, ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ ἐς τὸ κάτω ἀναγκάζειν· οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπεραιωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος· ἢν δὲ ὑπεραιωρηθῇ, ῥηϊδίη ἡ κατάστασις τοῖσι θέναρσι τῶν χειρῶν, τὸ μὲν ἐς τὸ ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθεῖν, τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον τὸ παρὰ
550 τὸ ἄρθρον ἐμβάλλοντα ἀντωθεῖν, τὸν | αὐτὸν τρόπον ἄμφω, ἧσσον μέντοι*. ἡ τοιαύτη κατάτασις τοῦ τοιού-

2 ἀπωθέειν codd. 3 καταπρηνής B¹, corr. B² 6 το τοῦ π. B, του τω π. M, τούτω π. V ἐξεσχον B, corr. 7 ante ὀλιγ. add. οὖν MV 8 ἐστιν B, mut. in ἐς τὴν B² 9 γινομένην B¹, corr. man. posterior τοιουτέων MV 12 ποιέεσθαι codd. 13 πρόσθε M, -ν cet. 17—18 ὑπερεωρ. BM utroque loco 18 κατάτασις codd., καταστ. Bosq. puncto distinguit post καταστ. Erm. 19 ἐς τὸ post μὲν B, om. cet. ἐμβαλλον (τα ss.) B² 20 ὠθέειν codd. 21 ἀντωθέειν codd. 22 ἄμφω del. Erm., ἀμφω. Ἴσον μέντοι ἡ τ. κ. Litt., ego aliquid intercidisse suspicatus signum lacunae posui, τὸν αὐτὸν . . . μέντοι expungi vult Wb.

του ὀλισθήματος δικαιοτάτη· ἐμβληθείη δ' ἂν καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος, ἧσσον δὲ ἢ οὕτως.

42. Ἢν δὲ ἐς τοὔμπροσθεν ὀλίσθῃ ὁ βραχίων, ἐλαχιστάκις μὲν τοῦτο γίνεται, ἀλλὰ τί ἂν ἐξαπιναίη ἐκπάλησις οὐκ ἐκβάλλοι; πολλὰ γὰρ καὶ παρὰ τὴν ἐοικυῖαν φύσιν ἐκπίπτει, καὶ ἢν μέγα τι ᾖ τὸ κωλῦον. ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα τι τὸ | ὑπερβαινόμενον τὸ 552
ὑπὲρ τὸ παχύτερον τῶν ὀστέων καὶ τῶν νεύρων συχνὴ κατάτασις· ὅμως δὲ δή τισιν ἐξεπάλησεν. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν· οὐδὲν γὰρ χρῆμα τοῦ ἀγκῶνος κάμψαι δύνανται, ἔνδηλον δὲ καὶ τὸ ἄρθρον ψαυόμενον. ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ καὶ πυρετώδεες γίνονται· ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμβολον. ὀθόνιον γὰρ σκληρὸν εἰλιγμένον ἀρκεῖ μὴ μέγα ἐνθέντα πλάγιον ἐς τὴν καμπὴν τοῦ ἀγκῶνος ἐξαπίνης συγκάμψαι τὸν ἀγκῶνα καὶ προσαγαγεῖν ὡς μάλιστα τὴν χεῖρα πρὸς τὸν ὦμον. ἱκανὴ μὲν αὕτη ἡ ἐμβολὴ τῷ τοιούτῳ· ἀτὰρ καὶ ἡ ἐς τὸ ἰθὺ κατάτασις δύναται εὐθετίζειν τοῦτον τὸν τρό-

1 δὲ καὶ (ἂν om.) MV 2 οὕτω MV 3 ὀλισθῇ codd. ὁ B³ et vulg., om. B¹MV 4 ἐλαχίστης V εξαπιναίεις B, ἐξαπίν..ης M, -πίνης V 5 ἐκπαλήσιος B¹, mut. in -λήσεις B³, ἐκπάλλ. V utroque loco οὐ ἐμβαλοι B et i. m. οὐκ ἐμβα (λ ss.) B³ 6 οἰκείαν V κ' ἢν MV 7 μέγιστα pro μ. τι B, mut. in μέγα B³ 7. 8 Littraeus proponit τὸ ὑπερβαινόμενον τὸ ὑπερέχον τῶν ὀ., si ὑπερβ. passivo sensu, vel τὸ ὑπερβ. ὑπὲρ τὸ ὑπερέχον τ. ὀ., si activo sensu intellegas ὑπερβ., ὑπερβαίνειν μὲν Erm. μέγα τι (scl. ἐστὶ τὸ κωλῦον) τὸ ὑπερβ. τὸ ὑπὸ τοῦ παχυτέρου Wb. 9 ἐξεπάλλησε duplici λ ut solet V 10 ἐκπαλέσασιν B τοτου B, sed το B³ videtur delevisse 11 ἔνδ. B¹M, εὔδ. B³V 14 χρὴ δὲ ὀθ. σκλ. κτλ. MV 15 εἰλ. N, εἰλ. BMV ἀρκέει B, ἀρκέσει MV ἐνθεντ (α ss.), α postea ss. B, ἐνθεν τὰ V 16 κάμπην V ut solet ξυμκ. B, ξυγκ. M συγκάψαι (μ ss.) V 18 post μὲν add. οὖν MV τοῖσι(ν V) οὕτω ἐκπαλ(λ V)ήσασι(ν V) pro τῷ τοιούτῳ MV · ἡ om. MV

που τῆς ἐκβολῆς· τοῖσι μέντοι θέναρσι τῆς χειρὸς χρὴ τὸν μὲν ἐμβάλλοντα ἐς τὸ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν ὀπίσω ἀπωθεῖν, τὸν δέ τινα κάτωθεν ἐς τὸ τοῦ ἀγκῶνος ὀξὺ ἀντωθεῖν ἐς τὴν ἰθυωρίην
554 τοῦ πή|χεος ῥέποντα. δύναται δὲ ἐν τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος κἀκείνη ἡ κατάτασις ἡ πρόσθε γεγραμμένη, ὡς χρὴ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ καταταθῇ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιεῖσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται.

43. Ἢν δ' ἐς τοὐπίσω βραχίων ἐκπέσῃ — ὀλιγάκις δὲ τοῦτο γίνεται ἐπωδυνώτατόν τε τοῦτο πάντων καὶ πυρετωδέστατον συνεχέων πυρετῶν καὶ ἀκρητοχόλων, θανατωδέων καὶ ὀλιγημέρων —, οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχῃς, βιάζεσθαι χρὴ ἐκτανύσαντα τὸν ἀγκῶνα καὶ αὐτομάτως ἐμπίπτει. ἢν δέ σε φθάσῃ πυρετήνας, οὐκ ἔτι χρὴ ἐμβάλλειν· κατακτείνειε γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδὲ ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα.

44. Ἔστιν δὲ καὶ ἄλλα σίνεα κατ' ἀγκῶνα ὀχλώδεα· τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἔστιν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, καὶ οὔτε συγκάμπτειν οὔτε κατα-

1 ἐμβ. codd., corr. Litt. τῶν χειρῶν V 2 μὲν om. B[1], ss. B[3] 3 ἀπωθέειν codd. 4 post ὀξὺ add. ἐμβάλλοντα MV ἀπωθ. pro ἀντωθ. M 5 δύνανται V τουτέῳ MV 6 πρόσθεν codd. 9 ποιέεσθαι codd. 11 δὲ M 12 ἐπωδυνότ. M δὲ pro τε MV 13 πυρετωδέστερον V ξυνεχ. MV πυρετῶ B 14 ὀλιγημερέων MV 15 εἰ . . . παρατύχοις MV βιάσασθαι MV 16 αὐτόματον MV 18 κατατεινεῖν B, ε ss. B[3], κατατείνειε V, κατακτείνειε MFHIK Erm. 19 οὐδ' MV 21 ἔστι MV 23 τὸ pro καὶ M ξυγκ. MV κτανύειν B

*τανύειν ὁμοίως δύνανται. δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν σύγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν διασχίδα τῆς φλεβὸς τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκ ἔτι ῥηίδιον ἐς τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν· οὐδὲ γὰρ | ἄλλην οὐδεμίαν ῥηίδιον συμφυ-* 556
*άδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην* 6
*φύσιν ἱδρυθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν. ὡς δ' ἐπιδεῖν χρὴ ἐν ἄρθρῳ, ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται.*

45. *Ἔστιν δ' οἷσιν ἀπάγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποτεταγμένον τῷ βραχίονι, ὁτὲ μὲν τὸ χονδρῶδες αὐτοῦ, ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, ⟨ὁτὲ δὲ τὰ πρόσω κατὰ τὴν ἀρχὴν τῆς ἐκφύσιος τοῦ προσθίου κορωνοῦ⟩· καὶ ἐπὴν τοῦτο κινηθῇ, πυρετῶδες καὶ κακόηθες γίνεται· τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ· πᾶσα γὰρ ἡ βάσις αὐτοῦ ταύτῃ ὑπέχει. ἢν δὲ ἀπαγῇ ταύτῃ, ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, πλανωδέστερον τὸ ἄρθρον γίνεται, ἢν παντάπασιν ἀποκαυλισθῇ. ἀσινέστερα δέ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντα τὰ καταγνύμενα τῶν*

1 *δύναται* M 2 *ξύγκ.* M, *ξύμκ.* V 5 *οὐ δὲ μίην* MV *ξυμφ.* MV 6 *ἀρχαίαν* BV 7 *ἱδρῦθ.* B, *ν* ss. B³, *ἱδρυνθ.* cet. 8 *δ'* del. B³ *ἐπιδέειν* MV *σφυρῶν* V 10 *ἔστι δ' οἷσι κατήγν.* MV 11 *ὑποτεταμένον* MV 13 *ὁτὲ δὲ . . . κορ.* om. codd.; ex Oribasii epit. (Bussemaker et Daremberg IV, XVI, 6) desumpta intulit Litt., cf. Litt. III, 384—388 16 *πασα* B, *ἴσως* MV 17 *αὐτέον* codd. *ὑπέχει* (ερ ss.) B, *ερ* ss. B³, *ὑπερέχει* cet. post *ὑπ.* titulus columnae: *Η περὶ κατήγματος κεφαλῆς πήχεος καὶ βραχίονος* BV, in summa col. *διολου κατεαγη ραφανιδον κα* B² *ἢν* B, *ὅταν* MV *ᾗ ὑπερέχῃ, η* in loco raso, V 18 ad *πλανωδ.* i. m. *τὸ μὴ κατὰ τάξιν ὄντα γινόμενα ὡς ἀστέρες πλανιται* B² 19 ante *ἢν* add. *ἢ* Lind. Bosq. 20 *καταγνύμενα* V, *κατηγν.* cet. codd.

*ὀστέων ἐστὶν ἢ οἷσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφιφλᾶται ἐν τούτοισι τοῖσι χωρίοισι· ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ ἐκεῖνα, ἢν ἐκπυρωθῇ συνεχεῖ πυρετῷ. ὀλίγα γε μὴν τὰ τοιαῦτα κατήγματα γίνεται.*

46. *Ἔστιν δ' ὅτ' αὐτὴ ἡ κεφαλὴ τοῦ βραχίονος*
558 *κατὰ τὴν ἐπί|φυσιν κατάγνυται· τοῦτο δὲ δοκέον κακοσινώτατον εἶναι πολλῷ τῳ εὐηθέστερον τῶν κατ' ἀγκῶναι σινέων ἐστίν.*

47. *Ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει μάλιστα ἰητρεύειν, γέγραπται, καὶ ὅτι παραχρῆμα ἐμβάλλειν μάλιστα ἄρθρον συμφέρει διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὅμως φιλεῖ τὰ νεῦρα σύντασιν ποιεῖσθαι καὶ κωλύειν ἐπὶ ποσὸν χρόνον τήν τε ἔκτασιν, ὅσην περ πέφυκε ποιεῖσθαι, τήν τε σύγκαμψιν. ἰητρεύειν δὲ πάντα παραπλησίως τὰ τοιαῦτα συμφέρει καὶ ὅσα ἀπάγνυται καὶ ὅσα διίσταται καὶ ὅσα ὀλισθάνει· πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι καὶ σπλήνεσι καὶ κηρωτῇ ἰητρεύειν, ὥσπερ καὶ τὰ ἄλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος ἐν τούτοισι δὴ καὶ παντάπασι χρὴ*

3 *χωρίοισιν* MV *πελάζειν* B 4 *ξυνεχ.* codd. 5 *τὰ* om. B 6 *ἔστι* MV *δὲ* V *ὅτε* MV *αὔτη* MV 7 *κατάγνυνται* V *οὕτω δὲ δοκέων* MV 8 *κακοσινώτερον* MV *πολλῷ πολλῷ* vulg., alterum *π.* om. BMV *τω* B¹, del B³ et ss. *τινι*, *τινὶ* MV 10 *ἁρμόσσει* Parr. FHIK Bosq. Litt. 11 ante *μάλ.* add. *ἐμβάλλειν* MV, om. B 12 *ξυμφ.* MV 14 *ἐνπέσει* B *ὁμοίως* MV *φιλέει* codd. *ξύντ.* MV *ποιέεσθαι* hic et l. 16 codd. 15 *πόσον* MV 16 *φιλέει* pro *πέφ.* MV *ξύγκ.* MV 17 *ταὐτὰ* M, *ταῦτα* V pro *τὰ τοιαῦτα* *ξυμφ.* MV *ὁκόσα* MV, etiam altero ac tertio loco *ὁκ.* M 17—18 *ἀπα* ss. *άγνυται*, ss. B³, *ἄγν.* MV 19 *σπλήνεσιν* M 20 *τ' ἄλλα* MV 21 *δεῖ καὶ* V *χρὴ* om. V, *δεῖ* pro *χρὴ* M

*τοιοῦτον ποιεῖσθαι, οἷόν περ οἷσι βραχίων ἐπεδεῖτο καταγεὶς καὶ πῆχυς· κοινότατον μὲν γὰρ πᾶσιν τοῖσιν ὀλισθήμασιν καὶ τοῖσι κινήμασιν καὶ τοῖσι κατήγμασιν τοῦτο τὸ σχῆμά ἐστι, κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν καὶ τὸ ἐκτανύειν ἕκαστα καὶ συγκάμπτειν· ἐντεῦθεν γὰρ ὁδοὶ ἐς ἀμφότερα παραπλήσιοι· εὐοχώτατον δὲ καὶ εὐαναληπτότατον αὐτῷ τῷ κάμνοντι τοῦτο τὸ σχῆμα. ἔτι δὲ πρὸς τούτοις, εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος, εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα· πολλῶν μὲν γὰρ ἂν κώλυμα εἴη, ὠφελίη δὲ ὀλίγων· εἰ δ' αὖ | συγκεκαμ-* 560
*μένη, μᾶλλον εὔχρηστος ἂν εἴη· πολλῷ δὲ εὐχρηστοτέρη, εἰ τὸ διὰ μέσου σχῆμα ἔχουσα πωρωθείη [κρέσσων]. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα.*

48. *Ἐπιδεῖν δὲ χρὴ τήν τε ἀρχὴν τοῦ πρώτου ὀθονίου βαλλόμενον κατὰ τὸ βλαφθέν, ἤν τε καταγῇ ἤν τε ἐκστῇ ἤν τε διαστῇ, καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιεῖσθαι καὶ ἐρηρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιεῖσθαι χρὴ τοῦ τε πήχεος καὶ τοῦ βραχίονος καὶ ἐπὶ πολὺ πλέον ἑκάτερον ἢ ὡς οἱ πλεῖστοι ποιέουσι, ὅπως ἐξείργηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσπεριβαλλέσθω δὲ καὶ*

1 *ποιέεσθαι* codd. *οἷσιν* M 2 *πᾶσι* MV 3 *κινήμασι . . κατήγμασι* MV 5 *διάστασιν* MVPq. *τὸ* del. B[3] *ἐκτανν.* V 7 *εὐανάληπτον* MV 8 *τουτοισιαρα* B 10 *εἴ* pro *εἴη* B *πολλῷ* MV *ἂν* om. MV 11 *ἤει* B *ὠφελείη* MV *ὀλίγον* MV *ξυνκ.* B, *ξυγκ.* MV 13 *εἴη* pro *εἰ* MV *κρέσσων* BM, *κρέσσον* V del. Bosq. 18 *τούτου* MV *ποίεε.* hic et l. 20 codd. *ἐρηιρείσθω* M 21 *πουλὺ* MV *ἑκατέρου* Wb. 22 *ποιέουσιν* M *ὅκ.* MV *ἐξαρίαται* BMV, *-ρύεται* vulg., *-ρύηται* Lind. Bosq. Litt., *ἐξέργηται* Wb., ego *ἐξείργ.*

*τὸ ὀξὺ τοῦ πήχεος, ἢν τὸ σίνος κατὰ τοῦτο ᾖ ἤν τε μή, ἵνα μὴ τὸ οἴδημα ἐνταῦθα περὶ αὐτὸ συλλέγηται. περιφεύγειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅπως μὴ κατὰ τὴν καμπὴν πολλὸν τοῦ ὀθονίου ἠθροισμένον ἔσται ἐκ τῶν δυνατῶν· πεπιέχθαι δὲ κατὰ τὸ σίνος ὡς μάλιστα. καὶ τὰ ἄλλα καταλαβέτω αὐτὸν περὶ τῆς πιέξιος καὶ τῆς χαλάσιος ταὐτὰ καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἕκαστα, ὥσπερ τῶν ὀστέων τῶν κατεηγότων ἐν τῇ ἰητρείῃ πρόσθε γέγραπται· καὶ αἱ μετεπιδέσιες διὰ τρίτης ἔστωσαν· χαλᾶν δὲ δοκείτω τῇ τρίτῃ, ὥσπερ καὶ* 562 *τότε· καὶ νάρθηκας προσπεριβάλ|λειν ἐν τῷ ἱκνεομένῳ χρόνῳ — οὐδὲν γὰρ ἀπὸ τρόπου καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι καὶ τοῖσι μή, ἢν μὴ καὶ πυρεταίνῃ —, ὡς χαλαρωτάτους δὲ τοὺς μὲν ἀπὸ τοῦ βραχίονος κατατεταγμένους, τοὺς δὲ ἀπὸ τοῦ πήχεος ἀνειμένους· ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες· ἀναγκαῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισι, παραλλάσσειν δὲ παρ' ἀλλήλους, ᾗ ἂν συμφέρῃ τεκμαιρόμενον πρὸς τὴν σύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθεσιν τοιαύτην χρὴ ποιεῖσθαι, ὥσπερ καὶ τῶν ναρθήκων εἴρηται, ὀγκηροτέρους δὲ ὀλίγῳ κατὰ τὸ σίνος προστίθεσθαι. τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς τεκμαίρεσθαι καὶ ἀπὸ τῶν πρόσθε γεγραμμένων.*

1 *τε σ.* pro *τὸ σ.* B *σῖν.* M ut solet 2 *μὴ* post *ἵνα* om. MV *αὐτὰ* MV *ξυλλ.* MV 3 *ὅκ.* V 4 *πολλῷ* MV *ἠθρυσμ.* M 6 *τὰ ἄλλα* om. B[1], add. B[3] i. m. 7 *·ταῦτα* codd., *ταὐτὰ* interpunctione sublata Litt. 9 *πρόσθε* MB[1], *ν* ss. B[3], *-ν* cet. 10 *δοκεέτω* MV 11 *ἱκνευομένω* MV 13 *καὶ* ante *πυρ.* om. MV 14—15 *κατατεταγμ.* vulg. Litt. Pq., *-τεταμ.* codd. Erm. 15 *ανημενους* B, *κειμένους* MV 17 *παραλλήλους* V 18 *ἢ* V *ξυμφ.* codd. 19 *ξύγκ.* BM 20 *ποιέε.* codd. 21—22 *προστιθέναι* MV 22 *τοὺς δὲ χρόνους . . . . γεγραμμένων* om. B 23 *πρόσθεν* V *τέλος τοῦ περὶ ἄκμων Ἱπποκράτους* V

# ΠΕΡΙ ΑΡΘΡΩΝ ΕΜΒΟΛΗΣ.

1. Ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθάνον, IV 78 L. τὸν ἐς τὴν μασχάλην· ἄνω δὲ οὐδέπω εἶδον οὐδὲ ἐς τὸ ἔξω· οὐ μέντοι διισχυριείω γε, εἰ ὀλίσθοι ἂν ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ ὅ τι λέγω. ἀτὰρ οὐδ' ἐς τοὔμπροσθεν οὐδέπω ὄπωπα, ὅ τι ἐδοξέν μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰητροῖσι δοκεῖ κάρτα ἐς τοὔμπροσθεν ὀλισθάνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοις, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα· φαίνεται γὰρ τοῖσι τοιούτοισι παντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος ἐξέχουσα ἐς τοὔμπροσθεν. καὶ ἔγωγέ ποτε τὸ τοιοῦτον οὐ φὰς ἐκπεπτωκέναι ἤκουσα φλαύρως ὑπό τε τῶν ἰητρῶν

1 in titulo ante *περὶ* add. *Ἱπποκράτους* BMV *ἐμβ.* BV, om. M 2 ante *Ὤμου* titulum *περὶ ὤμου* et i. m. add.: *γνήσιον ὡς Γαληνός φησι· τοῦτο δὲ καὶ τὸ περὶ ἀγμῶν ὁ αὐτός φησι ὅτι τῇ τῶν στερεῶν φύσει ὁ Ἱπποκράτης ἀνετέθηκεν* M *ολισθανοντα τον* Ap. 3 *οὐδεπω* (*δε* punctis circumdatum) B, *οὔπω* ΓAp., *οὐδέποτε* V 4 *τὸν ἔξω* Γ post *μέντοι* add. *γε* servato *γε* altero VΓ *διισχυρισω* (alt. *σ* punctis circumscriptum) B, -*ριεύω* M, -*ρεύω* V, *διι*(alterum *ι* a man. 3 in ras.)*σχυριεῶ*⋯ Γ, *διισχυρισείω* codd. regii ap. Foes., *ἰσχυρίζω* Gal. in cit. VII 448 *ἔγωγε* ibid. et N ante *γε* ss. *εγω* B[3] *εἰ*⋯ Γ *ὀλισθάνοι* M 5 *καίτοι* Γ (*αι* man. 3 in ras.), Gal. l. l. *αὐτῶν* unum exemplar exhibuisse dicit Gal. l. l. *ἀτὰρ . . . τοιόνδε* (p. 112, 4) om. Γ *οὐδὲ* MV 6 *τὸ ἐμπ.* MV *ἔδοξέ* MV 6—7 *ὀλ.* BM 7 *ἰατρ.* B *δοκέει* codd. 8 *ὀλισθαίν.* M[2]V *ἐξαπατέονται* B 8—9 *τούτοισιν* MV 10 ante *τοῖσι* add. *ἐν* vulg., om. BMV 10—11 *τοιουτέοισι* B 12 *ἐγὼ δέ* pro *κ. ἔγωγε* MV ad *οὐ φὰς* i. m. *καὶ μὴ εἰπὼν* B 13 ad *φλ.* i. m. *κακῶς* B[2] *ἰατρ.* V

*ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα· ἐδόκεον γὰρ αὐτοῖσιν ἠγνοηκέναι μοῦνος, οἱ δὲ ἄλλοι ἐγνωκέ-* 80 *ναι, καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀνα|γνῶσαι, εἰ μὴ μόγις, ὅτι τόδ' ἐστὶ τοιόνδε· εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τῶν σαρκῶν τὴν ἐπωμίδα, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσειε δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην καὶ τὴν κληῖδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτ' ἂν ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα· πέφυκεν γὰρ ἐς τοὔμπροσθεν προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος· τὸ δὲ ἄλλο ὀστέον τοῦ βραχίονος ἐς τὸ ἔξω καμπύλον. ὁμιλεῖ δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ᾖ· ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ σύμπασα χείρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται, καὶ οὐκ ἔτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ οὖν ὁ λόγος, οὐδέπω εἶδον οὐδ' ἐς τοὔμπροσθεν ἐκπεσόν· οὐ μὴν ἰσχυριείω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσοι ἂν οὕτως ἢ οὔ.*

1 ad *δημ.* i. m. *ἰδιωταίων* B² 2 *αὐτοῖσι(ν²)* M 3 *μόλις* MV 4 *ὅτι* om. B¹, ss. B² *ἥτις του βραχιονος ψιλω|σις· εἶεν δε η ὁ μυς Γ* 5 *ἣ* pro *ᾗ* B 6 *ψιλώσειν Γ* 7 *τε καὶ κλίδα* sine articulo *Γ*, *κληίδα* V *ἔχ.* om. *Γ* 7—8 *φαίνοιτο* MV 8 *ἡ* om. B¹, ss. B² *τοῦ βρ. ἡ κεφ. εἰς Γ* 9 *ἐκπεπτωκυῖαν* B *πέφυκε* MV, *πεφ. . . . καμπύλον* om. *Γ* 11 *δ'* MV 11—12 *καμπῦλον* B 12 *ὁμιλεῖ Γ*, *-λέη* B, *-λέει* MV *κῦλω* B, *τὸ κοῖλον* V 13 *πλαγίως* Gal. in cit. XVIII, 2, 347, *πλα|γιο⸗ς Γ* (ϊ erasum) *ὁπότε* Gal. ibid. *τεταμ.* B, *παρα* ss. B² *ἔῃ* BM, *εἴη* V, *ἡ* ut saepius pro *ᾖ Γ* post *ᾖ* add. *εἰ* B, del. man. alt. 14 *εἰς Γ* ut solet *ἐκτανυθῇ* B *ξύμπ.* codd. 15 *κατ' ἴξ. Γ*, *ἶξ.* B, *ἴξ.* ut solet. V, i. m. *εὐθυωρ* B²

16 *τοῦ κύλου* (ω ss.) B, ss. B², *τοῦ κοίλου* MV, *τῷ κοίλῳ Γ* vulg. Gal. *οὐ|κετ' Γ* *ἐξέχει, ν* postea adscr. MV 17 *φαίνεται Γ* *περὶ . . . γεγραψ.* (113, 7) om. *Γ* 18 *οὐδὲ* M, *οὔτε* V *ἰσχυριεύω* BMV

ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖς ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν· εὐπαίδευτον δ' ἐστὶ τὸ εἰδέναι πάντας τοὺς τρόπους ὅσοισιν οἱ ἰητροὶ ἐμβάλλουσιν καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τούτοισι κάλλιστα χρῷτο· χρῆσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς· κράτιστος δὲ ὁ ὕστατος γεγραψόμενος.

2. Οἷσι μὲν οὖν πυκνὰ ἐκπίπτει ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ | πολὺ αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν· 82
ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσι παρὰ τὸ στῆθος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἰητρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου τοῦ ἐκπεπτωκότος ὑποτείνας τοὺς δακτύλους ἀπαναγκάζοι ἀπὸ τῶν πλευρέων ἐμβαλὼν τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος εἵνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν ἀντωθέοι πρὸς τὰς πλευράς — συμφέρει δὲ καρτερὰς τὰς χεῖρας ἔχειν

1. 2 πολλοῖσιν MV 3 δὲ MV post τρόπ. add. τῶν ἐμβολέων Ap. 4 ὅσοις MV οἱ om. M ἐμβάλλουσι MV ὡσὰν V 5 τοῖς τρ. MV ἄν τις post κάλλ. iterant BMV οἷς ἰητ. ἐμβ. καὶ ὡς αὐτοῖς τοῖς τρόποις τούτοις κάλλ. ἄν τις χρέοιτο Ap. χρέεσθαι codd. 7 ad ἀνάγκην i. m. βίαν B[2] ἐὰν ὁ ὦμος πυκνὰ ἐκπίπτει M i. m. sup. 8 ὅσοισι MV πυκινα Γ εἰ μ. ο. π. ἐκπίπτοι Ap. ὦμος om. ΓAp. 9 πλεῖστον pro πολὺ MV πολοι Γ αὐτοῖσι M[1], -ν M[2] εἰσί M ἐπὶ π. αὐτοὶ ἑαυτοῖς εἰσιν ἐμβ. Ap. 10 δακτύλους pro κονδ. V 12 post παράγ. add. ἀεὶ Ap. 13 καὶ om. B ὁ ante ἰ. om. BMV, add. cet. εἴρηται ὅσαν pro ἰητ. ἂν Γ ἐμβάλοι ΓM 15 ὑποβάλλοι pro ὑποτ. Ap. ἀναγκάζοι V ἀπαναγκάζων Γ post ἀπαν. add. δὲ Ap. ὑπὸ, corr. ἀ. Γ 16 ἐμβάλλ. MV, ἐπιβάλλων Ap. χεῖρα pro κεφ. Ap. ἐπὶ pro ἐς Ap. 17 ἀντερείσ., ει in raso loco M ἕνεκα MΓ τοῖσι δε τοις Γ δὲ ἔν. τοις δετῶ ἄνω παρα Ap. 18 ἐς om. Ap. ἐμβάλλων VAp. 19 ξυμφ. MV κρατ. MVAp.

*τὸν ἐμβάλλοντα —, ἢ εἰ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτω ποιοίη, ἕτερος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. ἔστι δὲ ἐμβολὴ ὤμου καὶ ἐς τοὐπίσω ὑπερβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν. αὕτη ἡ ἐμβολὴ καὶ ἡ πρόσθεν εἰρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφισφάλλουσαι τὸ ἄρθρον ἀναγκάζουσιν ἐμπίπτειν.*

3. *Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσιν· χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσι ἑωυτοῦ τῆς χειρὸς τῆς σιναρῆς κατατείνειν αὐτήν, τὴν δὲ πτέρνην ἐς*
84 *τὴν μασχάλην | ἐμβάλλοντα ἀντωθεῖν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιήν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι*

1 *ει η* B, *η* mut. in *εἰ* $B^3$, *ἡ αὐτὸς* (om. *εἰ*) *Γ*, *ἢ* om. Ap. 2 *ποιείη* B*Γ* *ἄλλος* pro *ἕτερος* MVAp. 2. 3 *παράγοιτο* Ap. 3 *ἔστιν Γ* *δ'* MV *ἐμβολῆς* Ap. 4 *ὑπερβάλλοντας Γ*

5 *εἰς* B*Γ* 6 *δ'* MV 7 *ἐρείδην* (*νε* ss.) B, ss. $B^3$, *ἐνεριδειν Γ* 8 *ὁμοίως Γ* *ἀμφιβάλλ.* MV*Γ*, *ἀμφισφαλουσαι* $B^1$, *περισφαλουσαι* i. m. $B^2$, *περισφάλλεται* Gal. p. 327, *ἀναγκάζουσι* M *ἐμβολὴ ὤμου εἰς τὸ ὀπίσω* tit. i. m. sup. M 10 *οἱ δὲ τὰς ἐμβολὰς ἐρρωμένως ἐμβ. εἰωθότες εὐθέως καταναγκάζουσι. χρὴ γὰρ τόν τε ἀνθ. χ. κατατεῖναι ὑ.* Ap. *ἡ* pro *τι Γ* 11 *ἀναγκάζουσι* MV 12 *τόν τε* Ap. 13 *ἑκάτερα* Ap. *εφεκαπερα τὸ ἄ. Γ* *ἐκπεπτώκει* VAp. 14 *λαβομενος Γ* *τῇσι χ. τ. ἑωυτ.* om. *Γ* *τῇσι ἑωυτ.* om. Ap., *τῇσιν ἑ.* MV, *ν* add. $M^2$ ad *σιν.* i. m. *κακόμενον καὶ βεβλάμενον* $B^2$ 15 *αὐτησ Γ*, om. Ap. *τῇ δὲ πτέρνῃ* MVAp. *πτέρναν Γ* 16 *ἐμβ.*, *ἐμ* add. $M^2$ *ἀντωθέειν* BMN, *-εῖν* EHK *δεξιην* pro *δεξιῇ Γ* 17 *τὴν μ. δεξιὴν εἰς τ. δ., τὴν δὲ ἀριστερὴν εἰς τ. ἀ.* Gal. ap. Cocchium, Chir. vet. p. 138 *δ' ἀριστ.* V

*ἐναρμόσσον· ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραί, οἷαι ἐκ πολλῶν σκυτέων ῥάπτονται· ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἱκνεῖσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος· κατατεινομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη· οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσίν. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιᾶ ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης· ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανόν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαῖραν περιβεβλημένου τοῦ ἱμάντος καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχέων τοῦ ἱμάντος ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαῖρα ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω καὶ μὴ ὑπὸ τῇ κεφαλῇ τοῦ βραχίονος.*

4. *Ἔστιν δὲ καὶ ἄλλη ἐμβολή, ὡς κατωμίζουσιν ἐς ὀρθόν· μέζω μέντοι χρὴ εἶναι τὸν κατωμίζοντα, δια-*

1 *ἐναρμοστον* B[1], mut. in *-ττ-* B[3], *-άρμοσον Γ*, *-όσων* Ap., *-μόττον* MV, *-σσ-* Gal. ib. *ἐπιτηδειότατον* MV Gal. ib., *ἐπιτηδιοταται Γ* *αἱ* om. *Γ* Gal. ib. *μικραὶ* M 1. 2 *σμικρεσσφαιραις σκληραις Γ* *πάνυ αἱ μικκαὶ σφ. αἱ σκλ.* Ap. 2 *καὶ* om. Gal. ib. *οἷον* Ap., *οἷον αἱ Γ* *ἐκ τῶν πολλ. σκ.* BM Ap. *Γ* *τῶν* om. V *ἐκ τῶν ποικίλων σκ.* Wb. collata glossa Hesychii: *πάλλα· σφαῖρα ἐκ ποικίλων ναμάτων* (l. *δερμάτων*) *πεποιημένη.* *σφαιρα δερματινει* i. m. B[2] *πολλαὶ ἐκ τῶν σκυτέων* vulg. 3 *ἢν . . . βραχίονος* (l. 18) om. *Γ* *ἐκκ.* BMV 4 *πτέρνα* B *ἱκνέε.* codd., *εἰσελθεῖν* i. m. B[2] 7 *ἀντιτείνοντες* pro *ἀντισφ.* V *ἐναντίοι* expunxit et *αἴτιοι* ss. B[3] *εἰσί* MV 9 *ὑγιέα* codd. 10 *ἱμ.* ut solet V 11 *εἰς* V 12 *σφαίρην* MV 13 *τοῦ ἱμάντος* del. Wb. *ἀμφοτερέων* MV 14 *ἀρχῶν* MV 16 *τοστέον* M *σφαίρῃ* MV 17 *πλευρῶν* B 18 *ὑπὸ τὴν κεφαλὴν* B, *ἐπὶ τῇ κεφαλῇ* MV Ap. *ἐμβολὴ κατωμίζοντος* tit. i. m. M 19 *ἔστι* MV*Γ* *ὥσπερ* Ap. *κατωμίζουσι(ν*[2]*)* M 20 *ὀρθ≣όν* M *κατωμιζουσιν εἰς ἄνθρωπον Γ* *μέζω . . .*

λαβόντα δὲ τὴν χεῖρα ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ
86 ὑπὸ τὴν μασχάλην ὀξύν, κἄ|πειτα ὑποστρέψαι ὡς ἂν ἐνίζηται ἕδρῃ, οὕτω στοχασάμενον ὅπως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην· αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιείτω ἢ ἐπὶ τὸν ἕτερον· τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς μάλιστα· ἐν τούτῳ δὲ τῷ σχήματι προσανασειέτω, ὅταν μετεωρίσῃ τὸν ἄνθρωπον, ὡς ἀντιρρέπῃ τὸ ἄλλο σῶμα αὐτῷ ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου· ἢν δὲ ἄγαν κοῦφος ᾖ ὥνθρωπος, καὶ προσεκκρεμασθήτω ὄπισθεν κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ἀρμένων δέονται ἐπεσενεχθῆναι· χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι.

5. Ἀτὰρ καὶ οἱ περὶ τὰ ὕπερα ἀναγκάζοντες ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι· χρὴ δὲ τὸ μὲν ὕπερον κατειλίχθαι ταινίῃ — ἧσσον γὰρ ἂν ὑπολισθάνοι —, ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ

ἄλλοθι (c. 4 extr.) om. *Γ* μεῖζον B, μείζω cet. εἶναι χρὴ MV p. 115, 20 — 116, 1 διαβάλλοντα B 2 κἄπειτ' M ἐπιστρ. BMV, ὑποστρ. cet. codd. Ap. ὑποστροφήν Gal. 2. 3 ὥσπερ ἵζεται Ap 3 ὅκ. codd. ὅπως δε ἀμφὶ Ap. 4 κρεμᾶι Ap. 5 τε Ap. 6 ποιεέτω codd. πρὸς τῷ ἑ. στ. i. m. B¹ δὲ om. Ap. 9 ἀνασειέτω Ap. ὁκόταν ṀV μετεωρήσει B ἀντιρρέποι MV 10 ἐν ss. ἀντίον B³ 11 ἔῃ MV 12 καὶ om. M ante ὅπ. add. τις MV Ap. 13 δὲ om. Ap εἰσι M 14 ἀλολίων ὀργαμενων Ap. ἁρμ. M ἐπισ. B, ἐπεισ. cet. 16 ὅπερ pro ἀτὰρ *Γ* οἱ in raso l. Ṁ ὑπερ (α ss.) B, α ss. B³ περιαναγκ. Gal. ib. 16. 17 ἐγγύς τι τοῦ om. Ap. et quaedam antigrapha Gal. 17 ἐμβάλλουσιν *Γ* χρὴ . . . χεῖρας (p. 117, 9) om. *Γ* τὸ μὲν ss. B³ 18 κατειλῆχθαι M post ταινίῃ add. τινὶ μαλθακῇ MV, om. B¹, ss. B³ κατειληχθαι τινί· ἧσσον Ap. 18. 19 ὀλισθ. Ap. 19 ὑπηναγκᾶσθαι B

*τῆς κεφαλῆς τοῦ βραχίονος· καὶ ἢν μὲν βραχὺ ᾖ τὸ
ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς
μόλις | τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ* 88
*ὕπερον· μάλιστα δὲ ἔστω μακρότερον τὸ ὑπεροειδές,
ὡς ἂν ὤνθρωπος ἑστεὼς σμικροῦ δέῃ κρεμᾶσθαι ἀμφὶ
τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρα-
τεταμένος παρὰ τὸ ὕπερον ἔστω, τὸ δ' ἐπὶ θάτερα τοῦ
σώματος καταναγκαζέτω τις περιβάλλων κατὰ τὸν αὐ-
χένα παρὰ τὴν κληῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ
κατὰ φύσιν ἐπιεικέως ἐστὶν καὶ ἐμβάλλειν δύναται, ἢν
χρηστῶς σκευάσωνται αὐτήν.*

6. *Ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη
καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν
τῇ, τὸ δὲ τῇ ἀντισηκωθείη μετεωρισθέν· περὶ γὰρ τὸ
ὑπεροειδὲς ὁ ὦμος ἢν καὶ καταπεπήγῃ, περισφάλλε-
σθαι κίνδυνος τὸ σῶμα ἢ τῇ ἢ τῇ· χρὴ μέντοι καὶ
ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι ἄνωθεν στρογγύλον
ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσδια-*

1 *ἔῃ* MV, *ᾖ* om. $B^1$, *ἡ* ss. $B^3$ 2 *ὑπεροον* $B^1$, corr. $B^3$ 4 *ἐς τὸ* pro *ἔστω* V *ὕπερον* pro *ὑπεροειδὲς* MV 5 *ὤνθρ.* B, *ὁ* praefixit $B^3$ *ἑ(ἐ* V*)στεὼς ὁ ἄνθ.* MV, *ἔσται ὡς ἀνος* Ap. *κρ. μικ. δ.* MV *μικ.* codd. *δέοι* V *κρέμασθαι* M *κρέμηται μ. δεῖν* Ap. 6 *τὸ ξύλω* B, *τὸ ξύλον* V 7 *δὲ* MV 8 *περβαλλων* $M^1$, mut. in *περιβαλὼν* $M^2$, *περιβαλὼν* V *περὶ τ. α. περὶ τ. κλ.* Ap. 9 ante *παρὰ* ss. *καὶ* $B^3$ *αὐτη Γ* 10 *ἐπιεικως* BΓ, ss. *μετρίως* $B^3$, *ἱκανως* i. m. $B^3$, *ἐπιεικέων* V *ἐστὶ* MV *δύνανται* Ap. *καὶ ἐμβ. — αὐτὴν* om. *Γ* 11 ad *χρηστῶς* i. m. *καλῶς* $B^2$ *αὐτὴν* om. Ap. 12 *κατὰ* pro *διὰ* Ap. 13 *εἴ τι βελτιω Γ* *ὅτι . . . τῇ ἢ τῇ* om. *Γ* *ἀσφαλέστερον πᾶν τὸ σ. τ. μ. τεινηται, τ. δ. ἀντισηκώσει μ.* Ap. 14 *ἀντισηκωθῇ* B 15 *ὅμως* pro *ὁ ὦμ.* BVAp., *ὃ ὅμως* M *καταπεπήγηι, ηι* in raso l. M 15. 16 *περισφάλεσθαι* B 16 *τὸ σ. κίνδ.* MV *ἢν τῇ ἢν τῇ* $B^1$, corr. $B^3$ *τ. σ. κ. εἴη εἴ τι* Ap. 17 ad *κλιμ.* add. *τοῦ πλαγίου ἐν τῇ κλίμακι ξύλου* i. m. $B^2$ *στρογγυλον τι ἄν. Γ*, *στρ. ἄν. ἐναρμόσων* Ap. 18 ad verba *ὃ . . . τὴν* add. *ἀντὶ τοῦ ὅπως* i. m. $B^1$M, *ὅπως διαναγκάσῃς* Ap., *ὁποσδιαναγκασει Γ*

*ναγκάσει τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.*

*7. Κρατίστη μέντοι πασέων τῶν ἐμβολέων ἡ τοιήδε· ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πενταδάκτυλον ἢ τετραδάκτυλον τὸ ἐπίπαν, πάχος δὲ ὡς διδάκτυλον ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ ἢ ὀλίγῳ ἔλασσον· ἔστω δ' ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον· ἄμβην δὲ ἐχέτω σμικρὸν |* 90 *ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐπὶ τῷ μέρει μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειεν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενον. ὀθονίῳ δὲ ἢ ταινίῃ μαλθακῇ κατακεκολλήσθω ἄκρον τὸ ξύλον, ὅπως προσηνέστερον ᾖ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείναντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα κατά τε τὸν πῆχυν κατά τε τὸν καρπὸν τῆς χειρός, ὡς ἀτρεμῇ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιεῖσθαι, ὅπως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν*

3 *τρόπος κράτιστος ἐμβολῆς ὤμου* in tit. M ad *κράτ.* i. m. *ἰσχυρει* B[2] *τῶν* om. MV *ἡ* om. Γ 4 *ξύλον . . . βραχίονος* (119, 1) om. Γ 6 *ἢ* alt. om. B *ἢ καὶ ὀλ.* VAp. 7 *δὲ* MV *τὸ* om. Ap. 8 *μικ.* MVAp. 9 *ὑπερέχουσα* Ap. *ἐσχάτῳ* Ap. *ἐν* pro altero *ἐπὶ* MVAp. 11 *ὑφαρμόσῃ ἐν τ.* cod. Voss. Wb., *-σειε* V 13 *ὑποτιθέμενος* M, *-μένης* V 13. 14 post *μαλθ.* add. *ἁπλῇ* Ap. 14 *ἄκρην* MV *ἄκρωθεν τω ξυλω* Ap. *ὅκ.* MV 15 *ᾖ* om. B[1], ss. B[3], *ἔῃ* MV 16 *ὑπὸ τ. μ.* om. Ap. 17 *δὲ* om. Ap. *ὅλην* corr. ex *αλλην* B 18 *κατατείνοντα* Ap. 20 ante *ἀτρ.* add. *ἂν* MV, om. BAp. *ἀτρεμέῃ* codd. *ὅτι* om. Ap. *μάλ. δὲ π. π. χρὴ π.* Ap. 21 *ποιέε.* codd. *ὅκ.* MV

*τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα σὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὡς ἡ μὲν χεὶρ ἐπὶ θάτερα ᾖ, ἐπὶ θάτερα δὲ τὸ σῶμα, κατὰ δὲ τὴν μασχάλην ὁ στρωτήρ· ἔπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν σὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα, ἐπὶ θάτερα δὲ τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι ἐπ' ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν μοῦνον ἐσωτέρω ᾖ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιρροπαί, | ἀσφαλέες δὲ* 92 *τῷ ὀστέῳ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ καὶ κατατετάσθαι δοκεῖν· ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ᾖ ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη· οὐ μὴν ἀλλ' ἐμβάλλειν ἄν μοι δοκέοι*

1 *μέσηγι* Γ *δύο*, *υ* in raso l. M ad *στρωτ.* add. i. m. *δοκίδα* B² *στωτ.* ut solet V 2 *τι* pro *εὖ* Γ *καὶ ἔπ.* Ap. *ἔπειτα . . . δοκεῖν* (l. 15) om. Γ 3 *ξὺν* MV *ὅκως* MV 4 *ἔῃ* MV 5 *κἄπειτα* MV, *καὶ ἔ.* Ap. 6 *ξὺν* MV *πρὸς* pro *περὶ* B 7 *δ'* MV 9 *ἄκρον* V, *ἐπάκρον* M *ἐπ' ἄ. τ. π.* om. Ap. *παραπολὺ* M 10 ad *κράτ.* i. m. add. *ἰσχυρος* B² *δικαιότατα*, extr. *α* in raso l. M *μοχλεύειν* B Ap., *ν* del. B³ 11 *μόνον* MV *ἐσωτέρῃ* V *ἔῃ* MV, *ἦν* Ap. 12 *ἀσφαλες δε τω οστεον* Ap. 13—14 *ἐμπ. τε θάσον ως* Ap. 14 *πρὶν . . . δοκ.* om. Ap. *ἢ* om. B¹, ss. B³ *καὶ* om. MV *κατετάσθαι* B 15 *δοκέειν* codd. *παλλ.* B *μόνον* Ap. *ἐμβολέων*, *έ* in raso l., M 16 *ἡ μη ἤδ' ὑπο* Γ 17 *κεφαλην* pro *κοτ.* Γ *ἢν δὲ κεφ.* Pq. 18 *ἑωυτὴν* B *ἔῃ* MV, *ἡ* Γ *ἢν δ'* pro *ἵνα* Γ 19 *οὐ μὴν . . . σκευάσαντα* (120, 5) om. Γ *γὰρ* pro *ἂν* codd. Ap., scripsi *ἂν* (post *γὰρ* add. *ἂν* expunctum N) *δοκέοι* B, *-έει* rel.

καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα βραχίονος· τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέοι κατὰ χώρην, ἀλλ' ὀλισθάνοι ἂν ἐς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιεῖ καὶ περὶ κλιμακτῆρα καταναγκάζειν τοῦτον τὸν τρόπον σκευάσαντα. πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ ἕδος μέγα Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ᾖ τὸ ὀλίσθημα· ἐσκευάσθαι μέντοι χρὴ τὸ ξύλον οὕτως, ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ· ἔπειτα τὸν βραχίονα σὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ θάτερα δὲ τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ
94 ποιεῖν καὶ ὑπὲρ δίκλειδος θύρης ἀναγκάζειν. | χρῆσθαι δὲ χρὴ αἰεὶ τούτοισι, ἃ ἂν τύχῃ παρεόντα.

8. Εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηιδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα· διενέγκαι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον· πλεῖστον δὲ δια-

1 *ἐκπτ.* om. Ap. post *βρ.* add. *βραχίονα* MV, *βραχίονα* pro *-ος* Ap. 2 *οὐ κιν.* Ap. p. 7, *οὐκ ὀνήσειεν* p. 24 Schöne 3 *δοκε$^{η}$ει* V, *-έῃ* Ap. p. 7, *-οῖεν* p. 24 *ὀλισθαίνειν* MV *ὡς* pro *ἐς* M 4 *ἔθ≡ος* M *ὀλισθάνειν εἰς τὸ ἔσω* p. 7, *εἰς τὸ ἐκτός* p. 24. Ap. *ποιέει* codd. 5 *πᾶν οὐ μὴν* Ap. 6 *μέγα ἕδ.* MVΓAp. ad *ἕδος* add. *διφρος θε|λιος ανακι* i. m. B², *θρόνου σχῆμα ἦν | θετταλιον υπ |* B³ super *ἕδος* ss. *καθεδρη* M² *θεσσαλονικὸν* V 7 *ὃν* (pro *ἢν*) *νεαρὸν τῶ ὀλήσθημα* Ap. *ἡ νεαρον εἶ* Γ *ἔῃ* MV *ἐσκευάσθαι . . . παρεόντα* (l. 14) om. Γ *μὲν γὰρ* pro *μέντοι* Ap. 8 *οὕτως* om. MV 9 *ἔπιτα* B, *κἄπειτα* MV 10 *ὑπερβαλέειν* MV, *λ* in raso l. V 11 *ἐπὶ δὲ θ.* MV 12 *τὸ δὲ αὐτὸ* Gal. 13 *ποιέει* MV, *-εῖ* Ap. *ἐπὶ δίκλειδος* Gal. *δίκλιδος* MV *θυραν* i. m. B² *χρέε.* MV 14 *δεῖ* pro *χρὴ* M, ante *δεῖ* adscr. *δὲ* M² *χρὴ αἰεὶ* om. V *τούτοισιν* M (*ν* add. M²) V 16 *διαφέρουσι(ν²)* M ad *ῥηιδ* i. m. *ἐλαφρότερον* B² 17 *διενέγκοι* MV *διενέγκαι . . . συντεταμ.* (p. 121, 2) om. Γ 18 *εὖ ὑ.* MV *καὶ* om. MV

*φέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ συντεταμένος. καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τῶν νεύρων τὴν ἀπάρτησιν, ἣν χαλαρά τε ᾖ φύσει καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι οἳ οὕτως ὑγροί εἰσι, ὥστε, ὅταν ἐθέλωσι, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίσταται ἀνωδύνως καὶ καθίσταται. διαφέρει μέντοι τι καὶ σχέσις τοῦ σώματος· τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισι ἐκπίπτει τε ἧσσον ἐμπίπτει τε χαλεπώτερον· ὅταν δὲ αὐτοὶ σφέων αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον ἐμπίπτει τε ῥήιον. σημεῖον δὲ ὅτι ταῦθ' οὕτως ἔχει καὶ τόδε· τοῖσι γὰρ βουσὶ τότε ἐκπίπτουσιν μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφέων | αὐτῶν λεπτότεροι ἔωσι· γίνονται δὲ* 96
*βόες λεπτότατοι τοῦ χειμῶνος τελευτῶντος· τότε οὖν*

1 *καὶ* post *διαφ.* om. Ap. *ἔνδεσμος* Ap. 2 *ξυντ.* MV, *συνδεδεμένος* Ap. 3 *τοῖσι* BΓ *ἀνθρώποισιν* M *γίγν.* BΓ *ἢ* pro *ἡ* MV, *ἡ* om. N$^1$, *δια* pro *ἡ ἐκ Γ*, *ἐπὶ* pro *ἐκ* Erm. 4 *ἀπάρτισιν* MV, *ἀπάρθρησιν Γ*, *ἀποκρεμασιν* i. m. B$^2$ *ἢν Γ χαλαρή* B *ἔῃ* MV 5 *ἐπιτάσιας* B, mut. in *-δόσιας* B$^3$ *ἡ φυσικη επιτασις* Ap. p. 8, *ᾖ φύσει καὶ ἐπιτ.* Ap. p. 26 *φέρει* BΓ *συχνοὺς . . . καθίστ.* om. *Γ* 6 *οὗτος* M, *ω* ss. M$^2$ *εἴσιν* MV *ὡς ὅταν* B, *ὥστε ὁπ.* MVAp. *ἐθέλωσι . . . ἄρθρα* om. Ap. p. 8, *τότε . . . ἄρθρα* om. Ap. p. 26 Sch. 7 *καὶ καθ.* om. VAp. p. 26 post *καθ.* iterat *ἀνωδ.* MAp. p. 8 8 *τι* om. *Γ* *ἕξις* Ap. *τοῦ Γ*, om. BMVAp. 9 *γύον* V *καὶ γ. καὶ σεσ.* Ap. p. 26 *σωμα(τος?) μερος. μέλος* i. m. B *σεσαρκωμένοισιν* (*ν* add. M$^2$) MV 10 prius *τε* om. Ap. *τε ἧσσον ἐμπ.* om. Ap. p. 26 *δὲ* om. Ap. p. 8 11 *σφῶν* BMV, *σφέων* N (ex em.) Litt. *σφῶν ἑαυτῶν* Ap. p. 8, *σφ.* om. p. 26 *λεπτοὶ καὶ ἄσαρκοι* Ap. *και και ἀσ. Γ* *ἀσαρκώ.* BΓ 12 prius *τε* om. Ap. *ῥᾷον* codd., *ἑτυμότερον εὐχερεστερον* i. m. B$^2$ *σημήϊον* MV ut solent *σημεῖον . . . καταμεμαθ.* (122, 3) om. *Γ* 13 *ταῦτα* MV *περὶ τῶν βοῶν* i. m. MV *ἐμπίπτουσι* (*μ* in ras. M) MV 14 *οἱ μ. τότε ἐκπ.* (*μᾶλλ.* om.) Ap. p. 26 15 *σφῶν* BMV, *σφέων* Litt. ex Par. N (ex em.) M *ἑωυτῶν* pro *σφ. αὐ.* Ap. p. 26 *λεπτότατοι* MVAp. p. 26

*καὶ ἐξαρθρέουσι μάλιστα, εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι· [δεῖ δέ·] καλῶς γὰρ Ὅμηρος καταμεμάθηκε ὅτι πάντων τῶν προβάτων βόες μάλιστα ἀτονέουσι ταύτην τὴν ὥρην καὶ βοῶν οἱ ἀρόται, ὅτι τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν καὶ ἐκπίπτει μάλιστα· οὗτοι γὰρ μάλιστα λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα πρόβατα δύναται βραχεῖαν τὴν ποίην βόσκεσθαι, βοῦς δὲ οὐ μάλα, πρὶν βαθεῖα γένηται· τοῖσι μὲν γὰρ ἄλλοισι ἐστὶ λεπτὴ μὲν ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος, βοὶ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος, παχεῖα δὲ καὶ ἀμβλεῖα ἡ ἄνω γνάθος· διὰ ταῦτα ὑποβάλλειν ὑπὸ τὰς βραχείας ποίας οὐ δύναται. τά τε αὖ μώνυχα, ἅτε ἀμφόδοντα ἐόντα, δύναται μὲν σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν ποίην ὑποβάλλειν τοὺς ὀδόντας, καὶ ἥδεται τῇ τοιαύτῃ μᾶλλον ἢ τῇ βαθείῃ· καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα ποίη τῆς βαθείης, ποτὶ καὶ πρὶν*

1 *ἐξαρθρευ-* B *δϊ* B[1], mut. in *δε* B[3], *δεῖ* V pro *δὴ* *τοιουτώδη* V 2 *δεῖ δέ·* del. Wb. *ὅμηρος* in summa columna add. M *καταμεμαθήκηι* M, *-κει* vulg., *-μάθηκε* Erm. 3 *πάντα τὰ τετράποδα* i. m. B[2] *θρεμμάτων* pro *προβ.* MV ante *βόες* add. *καὶ* V *πονευσι* B, *ἀτονέουσι* Γ, ss. B[3], *πονέουσι* MV 4 *καὶ βόων . . . οὐ δύναται* (l. 12) om. Γ 5 *ὅτι τοῖς ἀσάρκοις μᾶλλον τὸ ἐκπίπτειν καὶ ἐμπίπτειν* i. m. M 7 *βοσκήματα* pro *προβ.* MV *δύνανται* B *βραχειην* B *περὶ βοῶν* tit. M 8 *βαθε..* B 9 *ἄλλοισιν* (*ν* add. M[2]) MV *ἔστι* V *μὲν* om. MV *προσβ.* hic et l. 10 B 10 *παχείη* bis B, *-εία* V 11 *ἀμβλη(α)* B, *α* add. B[3], *-εία* V 12 *βραχίας* B *πόας* V *δυνα//ται* M, *δύνανται* V 13 *ἀμών.* pro *αὖ μ.* Γ ad *μών.* adscr. *μονονυχα* i. m. B[2] post *μών.* add. *τῶν ζώων* MV *ἀμφώδ.* BMΓ *τὰ ἄνωθεν καὶ κάτω ὀδοντισμένα* i. m. sup. B[2] *τε* ante *ἐόντα* add. Γ *δύνανται* BΓ 14 ad *σαρκ.* adscr. *δάκνειν τὰ χείλη* i. m. B[2] *δύνανται* B, *δύναναται* Γ *βραχείην* B, *-είαν* V, *-ιην* Γ 15 *καὶ ἥδ. — σεσαρκ.* (p. 123, 14) om. Γ 16 *ἡὶ* B 17 *ἡ* ss. B[3] *βραχείη* B, *-εία* V *βαθείας* M *πόη* M *ποτὶ* Litt. e Gal. comm. 3, XVIII, A 497 (cf. infr. c. 41 in.), *ὅτι* codd., *ἔτι* Wb., *ὅτι κ. πρ. ἐκκαρπεῖ ἡ βαθεῖα* Erm.

ἐκκαρπεῖν τὴν βα|θεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν τάδε 98 τὰ ἔπη·

ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν,

ὅτι ἀσμενωτάτη αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται. ἀτὰρ καὶ ἄλλως βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων ζῴων καὶ διὰ τοῦτο εἰλίπους ἐστὶν μᾶλλον τῶν ἄλλων ζῴων, καὶ μάλιστα ὅταν λεπτὸς καὶ γέρων ᾖ. διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοὶ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστιν. περὶ οὗ οὖν ὁ λόγος, ὅτι τοῖσι ἀσάρκοισι μᾶλλον ἐκπίπτει καὶ θᾶσσον ἐμπίπτει ἢ τοῖσι σεσαρκωμένοισι, καὶ ἧσσον ἐπιφλεγμαίνει τοῖσι ὑγροῖσι καὶ τοῖσιν ἀσάρκοισιν ἢ τοῖσι σκληροῖσι καὶ σεσαρκωμένοισι καὶ ἧσσόν γε δέδεται ἐς τὸν ἔπειτα χρόνον· ἀτὰρ καὶ εἰ μύξα πλείων ὑπείη τοῦ μετρίου μὴ σὺν φλεγμονῇ, καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη· μυξωδέστερα δὲ τὸ ἐπίπαν τὰ ἄρθρα τοῖσι ἀσάρκοισιν ἢ τοῖσι σεσαρκωμένοισί ἐστι· καὶ γὰρ αὗται αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῆς

1 βαθείην B, -είαν V ταῦτα B, τοῦτ' M, διατοῦτ' V ἐποίησε V 3 ἤλυθεν M ἕλ. V Versus in nostris Homeri editionibus non exstat 4 ante αὐτ. add. τοῖσιν MV αὐτοῖσι M βαθείη BV πο(ίη in ras. l.) M 5 ἄλλως· M βοῦς adscr. M[3] ἄρθον M 6 καὶ om. MV ante εἰλ. add. καὶ MV εἰλίπουν codd., -πους Erm. 7 ἐστὶ MV 8 λεπτὸν MV γηραλέον MV ἔῃ MV ἐμπ. M 9 αὐτέου B 10 ἐστι MV 11 ὅτι B, om. cet. τοῖσιν V ἀσάρκοις B 12 σεσαρκωμένοις B 13 τοῖσιν ὑ. κ. τοῖσιν ἀ. V τοῖσι ἀσάρκοισι(ν M[2]) BM 14 σκληρεῖσι B, σκελίφροισι MV, σκληροῖσι i. m. M τε pro γε Γ 15 ἀτὰρ . . . σεσαρκ. ἐστι. om. Γ ad ἀτὰρ adscr. ἐπειαλλατ{ i. m. B[2] 15. 16 ἡ πλέω μύξα ὑ. B εἰ E, Erm., ἡ cet. 16 ξυμφλ. M ξυμφλεγμονήν B, ξυμφλεγομένη V 17 τοὐπίπαν MV 18 τοῖσιν (ν M[2]) MV ἀσάρκοισι M, ν add. M[2] σεσαρκωμένοισιν (ν M[2]) MV 19 ὀρθ. om. M[1], adscr. i. m. M[2]

*λελιμαγχημένων, αἱ τῶν λεπτῶν, μυξωδέστεραί εἰσιν ἢ αἱ τῶν παχέων.*

*Οἶσι μέντοι σὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον· διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἄν, εἰ μή τι ἢ πλέον ἢ ἔλασσον φλεγμονῆς ὑπεγίνετο.*

100 9. | *Οἶσι μὲν οὖν [ὅτ]ἂν ἐμπέσῃ τὸ ἄρθρον καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα χρῆσθαί τε ἀνωδύνως αὐτίκα δύνωνται τῷ ὤμῳ, οὗτοι μὲν οὐδὲν νομίζουσιν σφᾶς αὐτοὺς ἔτι δεῖν ἐπιμελεῖσθαι· ἰητροῦ μήν ἐστι καταμαντεύσασθαι τῶν τοιούτων· τοῖσι τοιούτοισι γὰρ ἐκπίπτει καὶ αὖτις μᾶλλον ἢ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα. τοῦτο κατὰ πάντα τὰ ἄρθρα οὕτως ἔχει, καὶ μάλιστα κατ᾽ ὦμον καὶ κατὰ γόνυ· μάλιστα γὰρ οὖν ὀλισθάνει ταῦτα. οἷσι δ᾽ ἂν ἐπιφλεγμήνῃ, οὐ δύνανται χρῆσθαι τῷ ὤμῳ· κωλύει γὰρ ἡ ὀδύνη καὶ ἡ σύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους χρὴ ἰᾶσθαι τῇ κηρωτῇ καὶ τοῖσι σπλήνεσι καὶ*

1 *λελειμαγχημ.* B[1]*Γ*, mut. in *-μαγχονημενων* B[3], *λελιμαχημ.* (γ ss.) M, *λελιμαμχημ.* V *αἱ τ. λεπτ.* Erm. ut scholion eiecit 2 *αἱ* om. B*Γ* 3 *οἷσι . . . περιβάλλ.* (pg. 125, 9) om. *Γ* *ὅσοισι* MV *ξὺμ* M, *ξὺν* cet. *ἐπιγ.* V, *ὑπογείνηται* B 5 *ἐμπ.* Erm. ex Par. N[1] *εἰ μὴ* del. B[3] *μὲν* pro *μὴ* Erm. *ἢ* ss. V 6 *ὑπογείνοιτο* B, *ὑπεγίνετο* M, *ὑπεγένετο* V *περὶ μὴ φλεγμαινόντων ὤμων* in calce columnae M 7 *ὅταν* codd., *ἂν* iam Litt. proposuit, *Οἷσι μ. ο., ὅταν ἐ. τ. ἄ., μὴ ἐπιφλεγμαίνει* Litt. in textu, *ὅσοι μ. ο., ὅταν ἐ. τ. ἄ. καὶ μ. ἐ.* Erm., idem *τε* post *χρ.* del. 9 *δύναται* B, *-ανται* cet., *-ωνται* Wb. *αὐτ. τ. ὤ. δ.* MV *οὐδὲ* B 10 *ἔτι δειν* B[1] mut. in *ἐπιδεῖν* B[3] *νομίζουσι δεῖν ἑωυτῶν ἐπιμ.* MV, *γρ. δεῖν ἑωυτῶν ἐπιμελέεσθαι* i. m. B[2] 11 *τοιουτέων* B 12 *καὶ αὖτις* bis B[1], mut. *τ* in *ϑ* B[3] *ἢ* ss. B[3] *οἷσι* M 15 ante *ὀλ.* add. *καὶ* MV *ὀλισθαίν.* ut saepius M *οἷς* B post *ἐπιφλ.* add. *τὰ νεῦρα* MV 16 *δύναται* (ν ss.) M, *ν* ss. M[2] *χρέε.* MV 17 *ξύντ.* codd. 18 *ἰᾶσθαι* B, *ἰῆ.* cet. *ἰ. χρ.* MV *τῇ* et *τοῖσι* om. MV *σπλήνοισι* V

ὀθονίοισι πολλοῖσι ἐπιδέοντα· ὑποτιθέναι δ' ἐς τὴν μασχάλην εἴριον μαλθακὸν καθαρὸν συνελίσσοντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ᾖ, ἀνακωχῇ δὲ τὸ ἄρθρον· τὸν δὲ βραχίονα χρὴ ἐς τὸ ἄνω ῥέποντα ἴσχειν τὰ πλεῖστα· οὕτω γὰρ ἂν ἑκαστάτω εἴη τοῦ χωρίου, ἐς ὃ ὤλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα. χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχαίως καὶ λιπαρῶς· πολλῶν δὲ ἔμπειρον εἶναι δεῖ τὸν ἰητρόν, ἀτὰρ καὶ ἀνατρίψιος· ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τωὐτὸ | ἀποβαίνει· καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις 102 χαλαρώτερον ἐὸν τοῦ καιροῦ καὶ λύσειεν ἄρθρον σκληρότερον τοῦ καιροῦ ἐόν· ἀλλὰ διοριεῖται περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ· τὸν δὲ οὖν τοιοῦτον ὦμον μαλθακῇσι συμφέρει τῇσι χερσὶν ἀνατρίβειν καὶ ἄλλως πρηέως· τὸ δ' ἄρθρον διακινεῖν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδύνως κινῆσαι. καθίσταται δὲ πάντα, τὰ μὲν ἐν πλέονι χρόνῳ, τὰ δ' ἐν ἐλάσσονι.

1 πολλοῖσιν MV ἐπιτιθ. V 2 εἰρίον MV ξυνειλίσσοντα MV 3 ἀντιστήρισμα B 4 ἔῃ MV ἀνακωχέῃ codd., scripsi -χῇ, ἀναπιέζει i. m. B² δὲ om. M¹, ss. M² 5 σύσχειν B¹, corr. B² 6 supra ἐκ. ss. πορρωτάτω B³ ante ἐκ. add. οἵῃ M, οἵῃ V (εἴη Par. C) post εἴη rasus l. in M χώρου V εἰσὸν B¹ mut. in εἰσ ὃ B³ 9 κύκλω τινὶ V 10 ἡσυχέως BΓ, ἡσύχως MV, -χαίως H², Litt. λιπαρως εν βρεχει i. m. B² 11 πολλῶν . . . πρηέως (l. 18) om. Γ δεῖ εἶναι M ἰατ. M post ἀτὰρ add. δὴ V 12 αὐτέου B τῶὐ τῶ B, τὸ αὐτὸ MV 13. 14 χ. τ. κ. ἐ. MV 15 διορεῖται B, διώρισται Gal. comm. 16 δ' οὖν MV 16. 17 μαλθακῇσί τε χερσὶ ξυμφ. ἀνατρ. MV 18 δὲ MVΓ διακινέειν B μὴ διακ. τῇ β. V 19 κινήσεται MV, κινησε Γ καθίσταται . . . ἐλάσσ. om. Γ 20 ἐν in raso l. M πλείονι MV δὲ MV ἐπ' B

10. *Γινώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τοισίδε χρὴ τοῖσι σημείοισι· τοῦτο μέν, ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα, παραδείγματι χρῆσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς καὶ τῷ μὴ ὑγιεῖ πρὸς τὸ ὑγιές, μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα — ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασι —, ἀλλὰ τὰ αὐτοῦ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ κάμνοντι. καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς, παρασύνεσιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα, καὶ οὐκ ἀρκεῖ μοῦνον λόγῳ εἰδέναι ταύτην τὴν τέχνην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλεῖν· πολλοὶ γὰρ ὑπὸ ὀδύνης ἢ καὶ ὑπὸ ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτοῖσι τῶν ἄρθρων ὅμως οὐ δύνανται |
104 ἐς τὰ ὅμοια σχήματα καθεστάναι, ἐς οἷάπερ τὸ ὑγιηρὸν σῶμα σχηματίζεται· προσσυνιέναι μὲν οὖν καὶ ἐννοεῖν καὶ τὸ τοιόνδε σχῆμα χρή. ἀτὰρ τοῦτο μὲν ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος, τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον· καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἔξοχον φαίνεται,*

1 *τοῖσι δὲ* BMV, *τοῖσδε* ΓAp. 2 *τούτοις* Ap. 3 *ἔχουσιν* Γ 4 *χρέε-* MV *δεῖ* om. MV, *χρη* pro *δεῖ* Ap. 4. 5 *τῷ ὑγιεῖ πρ. τῷ ὑγιεῖ τὸ μὴ ὑγιὲς* (*τὸ* [μὴ] *ὑγιὲς* V) *πρ. τὸ μὴ ὑγιὲς* MV *μὴ* post *τὸ* om. Ap. *τὸ μὴ . . . πρὸς* om. Γ *καὶ τῷ . . . ὑγιὲς* om. BAp. *μήτ'* pro *μὴ τὰ* MV, *μή τ'* Γ 6 *ἄλλως* pro *ἄλλων μᾶλλ.* Ap. 7 *πεφύκασιν* VM² *ἀλλὰ . . . καμν.* om. Γ *τὰ* om. Ap. 8 *ᾖ* om. B, *ἔῃ* MV *τῷ μὴ ὑγιεῖ* pro *τῷ κάμν.* Ap. 9 *παραξ.* MV 10 *διὰ . . . ὁμιλ.* om. Γ *ἀρκέει* codd. 11 *τὴν τ. ταύτην* M, *τ. τοιαύτην τ.* V *ὁμιλέην* B, *-έειν* cet. 12 alterum *ὑπὸ* om. V, *ὑπ'* M *αλλοιησι* B, ex em. Γ 13 *ἑστεώτων* V *αὐτέοισι* B 14 *καθιστάναι* BMΓ *οἷά[illegible]περ* M *ὑγιαῖνον* MV 15 *προσξ.* MV *προσσυνιέναι . . . κάτω χωρίον* (127, 1) om. Γ *δὲ δεῖ* pro *μὲν* MV 16 *χρὴ* om. V *τοῦτο μὲν* B et Ap., *καὶ* pro *τ. μ.* rel. 18 post *μᾶλλ.* add. *ἢ* Erm. 19 *ἐπωμίς* tit. M 20 *καὶ τοῦ ἀ. τὸ ὀ.* Ap. *ἀκρωμί* i. m. M *ἔξοχ.* BAp., *ἐξέχον* rel.

ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω χωρίον. παρασύνεσιν μὴν καὶ ἐν τούτῳ ἔχει τινά, ἀλλὰ ὕστερον περὶ αὐτοῦ γεγράψεται· ἄξιον γὰρ γραφῆς ἐστιν. τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μέν, ἐπιπόνως δέ. τοῦτο δέ, ἄνω τὴν χεῖρα ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύνανται, ὡς τὴν ὑγιᾶ, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ γεγραμμέναι αἵ τε ἰητρεῖαι αὗται.

11. Ἐπάξιον δὲ τὸ μάθημα, ὡς χρὴ ἰητρεύειν τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους· πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν συμφορήν, τὰ ἄλλα ἀξιόχρεοι ἐόντες, πολλοὶ δὲ ἐν πολέμοις ἀχρεῖοι ἐγένοντο καὶ διεφθάρησαν διὰ ταύτην τὴν συμφορήν. ἅμα δὲ ἐπάξιον διὰ τόδε, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν οὐδ' ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ συμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ | ἔκαυσαν ὤμους ἐκπί- 106

1 κάτω τοῦ χωρίου MV ὑποδεδωκοτος τοῦ κατωχωριον Ap. post ὑποδ. add. ἤδη Gal. in citat. De plac. Hipp. et Plat. Iw. Müller 756 2 παροξ. M, παραξ. V μὲν Ap. Γ ἔχειν Ap. ἀλλὰ . . . ἐστιν om. Γ ἀλλ' MV 3 αὐτέου B γέγραπται Ap. ἐστι MV Ap. 4 τοῦ δὲ (τοῦτο om.) ἐκπ. Ap. 5 εἰ μέντοι . . . ἐπίπ. δὲ om. Γ 6 ἐπίπονος B μὲν om. Ap. ἐπιπ. δὲ τούτω ἄνω Ap. 7 ἀεῖραι Ap. εὐθίαν B Γ 8 μᾶλλον pro μάλα Ap. ὥσπερ MV Ap. 9 τῇ MV ὑγιεαν Γ, ὕγειεα Ap., ὑγιέα cet. οὐδὲ . . . αὗται om. Γ 11 ἐνγεγρ. Ap. 13 πολλοὶ . . . ἐκπίπτει (p. 128, 11) om. Γ 14 ξυμφορὰν M, ξυμφ. hic et l. 16 codd. 15 ὄντες M πολεμικοῖσι(ν V) MV ἀχρήιοι MV, ἀχρίοι B, ἀχρεῖοι, i. m. -ήϊοι N 17 τε BMV, δὲ ss. B² τοῦτο pro τόδε MV 18 οὐδὲ MV ἐνχ. B 19 ξυμφ. codd. φρονοῦντας V 20 πῶς δεῖ καίειν τοὺς ἐκπίπτοντας ὤμους in tit. M

πτοντας κατά τε τὴν ἐπωμίδα κατά τε τοὔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκεῖ, κατά τε τοὔπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες, εἰ μὲν ἐς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων ἢ ἐς τοὔμπροσθεν ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιον· νῦν δὲ δή, ὅτε ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον ἢ κωλύουσιν· ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα· ἀπολαμβάνοντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει· ἔπειτα οὕτως ἀφειλκυσμένον τὸ δέρμα διακαῦσαι ἐς τὸ πέρην. σιδηρίοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν μὴ παχέσι μηδὲ λίην φαλακροῖσι, ἀλλὰ προμήκεσι — ταχυπορώτερα γὰρ — καὶ τῇ χειρὶ ἐπερείδειν. χρὴ δὲ καὶ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν· τὰ γὰρ παχέα βραδέως περαιούμενα πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρέων ποιεῖται, καὶ κίνδυνος ἂν εἴη συρραγῆναι τὰς ὠτειλάς· καὶ κάκιον μὲν ἂν οὐδὲν εἴη, αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην, τῶν μὲν πλείστων ἱκανῶς ἂν ἔχοι ἐν τῷ κάτω μέρει ταύτας μούνας τὰς ἐσχάρας θεῖναι· ἢν δὲ

1 prius τε om. B[1], add. B[2] τὸ ἔμπ. MV 2 ἡ om. B[1], add. B[3] ἐξογκέει codd. τὸ ὄπ. MV 4 τι pro priore ἢ B 5 ἔχοιεν pro ἔκαιον Erm. 6 καύσιες σι in raso l. M 9 ἀπολαβόντα MV 10 ἀφελκῦσαι V ἴξ. V, ιξις i. m. M 11 ἔπειθ' MV, ἔπιθ' Γ 12 ἀφειλκυσάμενον B, ἀφιλκυσαμενον Γ, ἀπειλκυσμένον MV 13 ταῦτα pro τὰ τ. V ante μὴ add. καὶ MV μὴ δὲ V 14 φαλακροῖσιν (ν add. M[2]) MV 15 κ. τ. χ. ἐπ. om. Γ super διαφ. ss. διαπείροις (i. e. διαπύροις cf. Gal. comm. XVIII 1, 377) B[3] 16 ὡς ὅτι . . . θεῖναι om. Γ
18 super ἐκπτ. ss. ἑλκώσιας B[3] ἐσχαρέων Pq., -ῶν cet. ποιέεται codd., ποιέει Erm. 19 ξυρραγ. MV οὐδὲν ἂν MV
20 ἀτεχνώτ. B 21 ἔχοιεν pro ἔ. ἐν BMV 22 μόνας codd., μούνας Pq. εἶναι B

*μὴ κίνδυνος φαίνηται εἶναι συρραγῆναι τὰς ὠτειλάς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ᾖ, ὑπάλειπτρον χρὴ λεπτὸν διέρσαι διὰ τῶν καυ|μάτων, ἔτι ἀναλελαμμένου τοῦ* 108 *δέρματος· οὐ γὰρ ἂν ἄλλως δύναιο διέρσαι. ἐπὴν δὲ διέρσῃς, ἀφεῖναι τὸ δέρμα, ἔπειτα μεσηγὺ τῶν ἐσχαρέων ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ καὶ διακαῦσαι, ἄχρι ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁπόσον δέ τι χρὴ τὸ δέρμα ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοισίδε χρὴ τεκμαίρεσθαι. ἀδένες ὕπεισιν ἢ ἐλάσσους ἢ μέζους πᾶσιν ὑπὸ τῇ μασχάλῃ, πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος. ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελείης γεγράψεται, ὅ τι τέ εἰσι καὶ οἷα ἐν οἷσι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσαπολαμβάνειν, οὐδὲ ὅσα ἐσωτέρω τῶν ἀδένων· μέγας γὰρ κίνδυνος· τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται· ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων ὡς πλεῖστον ἀπολαμβάνειν· ἀσινέα γάρ. γινώσκειν δὲ καὶ τάδε χρὴ ὅτι, ἢν μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνῃς, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ, ὅ τι καὶ ἄξιον λόγου·*

1 *φαίν. ξυνρ.* (*εἶναι* om.) *Γ* *ξυρρ.* codd. *συρρ.—ἀνασχόντος τοῦ* (p. 133, 8) folio exciso om. M 2 *πολλὺ* B, *πολ^λύ* *Γ* *εἴη* V *ὑπάλιπτ.* B *Γ* *ἐλασματιον ὧ αν τις ὑπαλειψαιτο τους οφθαλμους* i. m. B[2] 3 *διερ^θσαι* B[1], *διεκβάλλειν* ss. B[3], *ἀντὶ τοῦ διέρχεσθαι* i. m. *Γ* *ἀναλλελα^ημμένου* B, *ἀνειλημμένου* i. m. B[2] 4 *δύναιον* B ad *διέρσαι* i. m. *διειραι, διερεισαι* B[2] *ἐπὴν* . . . *σώματος* (11) om. *Γ* 7 *ἄχρις* V *ὑπαλείπτω* V *ὁκ.* V 8 *δέτι* B post *δέρμα* add. *τὸ* V 9 *τοῖσι δὲ* B, *τοῖσίδε* V *τε^μ αιαι^ϊρ.* B, ss. B[3] *ἢ ἐλ. ἢ μείζ. π.* BN[1], om. cet. codd. 11 *ἀλλ'* *Γ* 12 *οὐλομελείης* Wb., *-ίης* codd. *ὅ τι . . . κίνδ.* om. *Γ* *οἵοισι* V 14 *οὐδ'* V 15 *ὁ κινδ.* V *τοῖς* B *Γ* 16 *τόποισι* V *ὅσον . . . ἄξιον λόγου* om. *Γ* 18 *καὶ τάδε* om. V 19 *ἀνατείνοις* V *δυνήσει* B 20 *τὴν μασχάλην* V

καταναισιμοῦται γὰρ ἐν τῇ ἀνατάσει. οἱ δ' αὖ τόνοι, |
110 οὓς οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν, οὗτοι πρόχειροι γίνονται καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. ἢν δὲ σμικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψει, οἱ δὲ τόνοι, ὧν δεῖ προμηθεῖσθαι, ἔσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται. ἆρ' οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιεῖσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι; ταῦτα μὲν τὰ κατὰ τὴν μασχάλην, καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι. ἔκτοσθεν δὲ τῆς μασχάλης δισσὰ μοῦνά ἐστιν χωρία, ἵνα ἐσχάρας ἂν τις θείη, τιμωρεούσας τῷ παθήματι, μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς τε κεφαλῆς τοῦ βραχίονος καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην· καὶ ταύτῃ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν, βαθύτερον δὲ οὐ
112 χρή· φλέψ τε γὰρ παχεῖα πλησίη καὶ νεῦρα, | ὧν οὐδέτερα θερμαντέα. ὄπισθέν τε αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι ἀνωτέρω μὲν συχνῷ τοῦ τένοντος

1 κατατει(ει del. man. post.)νε· σιμοῦται B, δαπανᾶται ss. B², κατατεῖναι· σιμοῦται V, κατατεινεσιμουτε Γ, καταδαπανᾶσθαι Gal. comm. p. 381, καταναισιμοῦται, καταναλίσκεται Gal. glossar.; idem verbum ex hoc libro citat Erotianus in glossario (Klein p. 88), unde restituit Litt. ante ἀνατ. add. τοιαύτη Γ οἱ δ' ... χειρίσμ. γίνονται (l. 6) om. Γ οὐδ B, mut. in ὀδ' B² 2 οὐδὲ μιῇ V 3 εἰ V 4 δ' ἐσμ. B μικρὸν V 5 προμηθέε. codd. 6 εἴσω MV Ἢν pro ἆρ' οὖν Γ 7 πᾶσιν B, ἄπαση Γ ποιέε. codd. 9 τὰ om. V τὴν om. B¹VΓ, add. B³ vulg. αὐταὶ V 10 ἢν ... ἐσχάραι om. Γ ασχάραι pro αἱ ἐ. B ἔκτοσθε B, ν ss. B³, ἔκτοθεν V 11 μόνα codd., μοῦνα Pq. ἐς τὴν pro ἐστὶν B, ἐστὶ V 11—12 ἄν τις ἐσχ. V 12 μαθ. V μία B¹Γ, ν add. B³ μεσσ. Γ 13 τε om. V 15 μὲν τὸ V τελείως BΓ διακ. χρὴ V 16 τε post φλέψ om. B παχείη B 17 καὶ ἔξωθεν pro ὄπ. τε V; illud probat Gal. in comm. p. 388, cum dicit: οὐκ ὀρθῶς δὲ ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ἡ λέξις οὕτως γέγραπται ὀπισθίην τε αὖ ἄλλην ἐσχάρην 18 εἶναι B¹Γ, ἐνθ praefixit B²

τοῦ κατὰ τὴν μασχάλην, κατωτέρω δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος· καὶ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν, βαθεῖαν δὲ μηδὲ ταύτην κάρτα ποιεῖν· πολέμιον γὰρ πῦρ νεύροις· ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα· ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο — συμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικέως ἰητρεύεσθαι —, ἧσσον δ' ἂν ἐκπλίσσοιτο, ἧσσον δ' ἂν αἱμορραγοίη, ἧσσον δ' ἂν σπασμὸς ἐπιγένοιτο. ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι δεδέσθαι καὶ νύκτα καὶ ἡμέρην. ἀτὰρ καὶ ὅταν ὑγιᾶ γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς· οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀποληφθείη ἡ εὐρυχωρίη, καθ' ἣν μάλιστα ὀλισθάνει ὁ βραχίων.

12. Οἷσι δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἔωσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιεῖ, ἀλλὰ αὔξεται μέν, βραχύτερον δὲ τοῦ ἑτέ|ρου γίνεται. καὶ οἱ κα- 114
λεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες διὰ δισσὰς συμ-

2 καὶ τὸ . . . νεύροις om. Γ τελέως B 3 βαθείην B ταῦτα B ποιέειν codd. 4 νεύροισιν V ἰητρίης B 5 ἀνατιναντα Γ 7 ἡίνεκα B 8 ξυμφ. V καὶ om. VΓ, lineola traducta del. B[2] ἐπιεικέως N, -κῶς BVΓ 9 ἐκπλήσσ. BV, ss. διίσταται B[2] (cf. Gal. comm. p. 391 ἐκπλ. τουτ' ἔστιν ἐπὶ πλέον διίστασθαι τὸ τοῖς χείλεσιν ἕλκος) ἐκπλεισσ. Γ, ἐκπλίσσ. Litt. 10—11 ἐπιγίγν. Γ 12 εἴη BΓ 13 προσδεδ. V 14 καὶ ἀτ. καὶ B ὑγεια BΓ, -ιέα cet. 16 ἀπολειφθ. B, -λιφθ. Γ 17 ἡ om. BΓ μάλιστα post ἣν om. Gal. comm. ὀλισθαίν. V ut saepius 19 ὅσοισι V, οἷς Ap. ὅμως B 20 ἔασιν V 22 post μὲν add. ἐπί τι V, τι Γ

φορὰς γίνονται· ἤν τε τοιοῦτον ἐξάρθρημα αὐτοὺς καταλάβῃ ἐν τῇ γαστρὶ ἐόντας, διά τε ἑτέρην συμφορήν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται. ἀτὰρ καὶ οἷσι ἔτι νηπίοισι ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται· καὶ ἤν τε τμηθῶσιν ἤν τε καυθῶσιν ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦθ᾽ οὕτως ἔχει. χρῆσθαι μέντοι τῇ χειρὶ δυνατώτεροί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως ἢ τὴν ὑγιᾶ χεῖρα. οἷσι δ᾽ ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκοτέρη γίνεται καὶ ἡ ἕξις λεπτὴ κατὰ τοῦτο τὸ μέρος· ὅταν μέντοι οδυνωμενοι παύσωνται, ὁπόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ὁμοίως ἐργάζεσθαι· ὁπόσα δὲ δεῖ ἐργάζεσθαι παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς ἐς τοὐπίσω ἢ ἐς τοὔμπροσθεν, ταῦτα δὲ δύνανται ἐργάζεσθαι· καὶ γὰρ ἂν
116 ἀρίδα ἑλκύσειαν καὶ | πρίονα, καὶ πελεκήσειαν ἂν καὶ

1 ἤν τε . . . γεγράψεται om. Γ post τε add. τι V 2 ἄλλην pro ἑτ. V ξυμφ. BV, σ. vulg. 3 οἷσιν V εστιν B[1], corr. B[3], ἔστι Γ 4 νηπίοισιν V βραχίαι V, βαθιαι Γ 6 καὶ ἢν . . . χεῖρα (12) om. Γ 6. 7 ἤν τε καυθ. om. B[1], add. i. m. B[2], εἴ τε καυθ. V 8 ταῦτα V χρέε- codd. 9 δυνατώτατοι V 11 πουλὺ B[1], mut. in πολὺ B[3] 12 ὑγιέα V οἷς Ap. 13 ὁ om. Ap. ἡ om. Γ 14 γίγν. B ἴξις, i. m. ἕξις, Γ post λεπτὴ add. ἢ V τὸ μέρος om. B[1]V, ss. B[3], τὸ μέρος . . . ἐργάζονται (133, 2) om. Γ 15 ὁκ. codd. 16. 17 εἰς V, super πλάγ. ss. ανω B[3] 17 οὐν B[1], corr. B[3] ἅπαντα om. B 18 ὁκ. δὲ δ. ἐ. om. B[1], ὁκ. δὲ i. m. B[3] ὁκ. codd. 19 πρὸς pro παρὰ V post πλευρ. add. ἢ V 21 ἑλκύσηαν B[1], mut. in ἑλκύσαι ἂν B[3], -αιεν V πελεκησειαν B[1] pro π. ἂν, mut. in -σαι ἂν B[2], -αιεν V

σκάψειαν ἂν μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα καὶ τὰ ἄλλα, ὅσα ἐκ τῶν τοιούτων σχημάτων ἐργάζονται.

13. Οἷσι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τούτοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀπεσπασμένον· ἔστιν δὲ τοῦτο ὁ σύνδεσμος τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης· ἑτεροίη γὰρ ἡ φύσις ἀνθρώπου ταύτῃ ἢ τῶν ἄλλων ζώων. οἱ οὖν ἰητροὶ ἐξαπατῶνται μάλιστα ἐν τούτῳ τῷ τρώματι· ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη ὥσπερ τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητροὺς τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι δοκέοντες αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλεῖν τὸν ὦμον. τούτοισι ἰητρείη μὲν ἥ περ καὶ τοῖσι ἄλλοισι τοῖσι τοιούτοισι, κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια καὶ ἡ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους καὶ πιέζειν ταύτῃ μάλιστα καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν· οὕτω γὰρ ἂν μάλιστα πλησιάζοι τὸ

1 σκαψειαν B[1], mut. in σκάψαι ἂν B[3], -αιεν V 2 τ' ἄλλα V ut solet 3 περὶ ἀκρωμίου tit. B, π. ἀ. ἀποσπασθέντος tit. Ap. ὅσοισι V τουτέοισι codd. 4 τὸ ὀ. ἐξ. V ἀνεσπ. B ἔστι V 5 ξύνδ. V κληΐδ. V ut solet, κλιδος Γ 6 ἑτεροίη . . . κληὶς (c. 14) om. Γ ἡ om. V 7 μάλ. ἐξαπατέονται V 9 ad χαμ. i. m. adscr. ταπεινη B[2] 10 ὥστε καὶ προμηθεῖσθαι M, ὥστε πρ. pro ὥσπερ V τῶν ὤμ. ὡς ἐκπ. proposuit Litt., scripsit Erm. 11 ad φλαύρ. i. m. κακους B[2] ὄντας B 12 ante ἐμβ. add. τὸ B τοιούτους om. B[1], ss. B[2] 13 post οἰόμ. add. τοῖσι ὤμους B οὕτως del. Erm. 14 πριν̀ὶ pro πρ. ἢ B σφὰς MV 15 ἐμβάλλειν B, -λλέειν V, -λέειν M Erm. τούτοισιν V ἰητρίη B 16 τοῖσιν V 17 κ. ἐ. ἡ αὐτὴ Erm. 19 ταύτῃ[illegible] M 20 πρὸς bis B 21 οὕτως B πλησιάζοιτο ἀπ. B

*ἀπεσπασμένον. τάδε μὴν εὖ χρὴ εἰδέναι καὶ προλέγειν ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμία οὔτε σμικρὴ οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον· οὐδὲ γὰρ τοῦτο* 118 *τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν* | *ἱδρυθείη, ὡς ἐπεφύκει, ἀλλὰ ἀνάγκη ἢ πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται, ὅ τι ἂν κοινωνέον ᾖ ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσι ἡμέρῃσι γίνεται, ἢν χρηστῶς ἐπιδέηται.*

14. *Κληὶς δὲ καταγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐιητοτέρη ἐστίν· ἢν δὲ παραμηκέως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν ἢ ὡς ἄν τις οἴοιτο· τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάζοι ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν· καὶ γὰρ εἰ πάνυ προθυμηθείη, τὸ ἀνωτέρω κατωτέρω ἂν ποιήσειεν σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ· εἰ δὲ μὴ τελέως ἱδρυθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ὧν δ' ἂν παραμηκέως*

1 *εἰδ. χρὴ* MV 2 *οὐδεμη* B[1], *οὐδὲ μία* B[3]MV 3 *μικρὴ* MV *ὅτι ἀπὸ τοῦ ἀκρωμίου βλάβη οὐ γίνεται* in tit. M 4 *οὔτε* B[2] corr. B[3] 5 *ἱδρυνθ.* BV 6 *ὥσπερ* MV *ἐπεφύκεεν* MV *ἀλλ'* MV 6 *ἢ* ante *πλέον* om. MV 8 *τῷ αὐτῷ* B 10 *τε* B *ὀλίγῃσιν* V 11 *γίγν.* B 12 *περι κλειδος* tit. B *περὶ κλειδος κατεαγείσης* tit. M, *περι κλειδος καταγισης* tit. Γ *κλείς* B, *κληεις* Γ *κατεηγησα* BΓ, *κατεαγεῖσα* MV, *καταγ.* Foes *ἀτρ.*, i. m. *ἀλήθου*, B[2] 13 *ἐστί* M *παραμήκως* B 14 *τἀναντία . . . τοῦτο γίν.* (p. 135, 8) om. Γ *τοῦτο ἐὼν ἐ.* B 15 *προσαναγκάσειεν* MV 16 *γὰρ* om. MV *ἡ* pro *εἰ* M 17 *προμηθείη* M (*θυ* ss.), ss., ut videtur, ead. m. *ποιήσειε* V, *ν* eras. M 19 *ἱδρυθείη* BMV, *ἱδρυνθ.* rec., *εἰ δὲ . . . ἱδρ.* om. M[1], adscr. i. m. M[2] *τε* B 20 *γίγν.* B, *ὀξύνεται* pro *ὀ. γ.* V *παραμηκως* B, *παράμηκες* MV

τὸ ὀστέον κατεήγῃ, ἰκέλη ἡ συμφορὴ γίνεται τοῖσι ὀστέοισι τοῖσιν ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται· οὔτε γὰρ ἱδρυθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ὀκρὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ ὅτι βλάβη οὐδεμία τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῖδος, ἢν μὴ ἐπισφακελίσῃ· ὀλιγάκις δὲ τοῦτο γίνεται. αἶσχός γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς κληῖδος, καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον, ἔπειτα μὴν | ἐπὶ ἧσσον γίνεται. συμφύεται δὲ ταχέως 120
κληὶς καὶ τὰ ἄλλα πάντα ὅσα χαῦνα ὀστέα· ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιεῖται ταῦτα. ὅταν μὲν οὖν νεωστὶ καταγῇ, οἱ τετρωμένοι σπουδάζουσιν οἰόμενοι μέζον τὸ κακὸν εἶναι ἢ ὅσον ἐστί, οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰᾶσθαι. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι οὐδὲ κωλυόμενοι οὔτε ὁδοιπορίης οὔτε ἐδωδῆς καταμελέουσι, οἵ τε αὖ ἰητροί, ἅτε οὐ δυνάμενοι καλὰ τὰ χωρία ἀποδεικνύναι, ἀποδιδράσκουσι καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων· ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται.

1 κατηγῆ B, -εαγῆι M, -αγῆ V ἰκαιδη B[1], -λη em. B[3], εἰκέλη V ξυμφ. codd. γίγν. B τοῖσιν V, τοῖσιν ante ἀπεσπ. om. B, τοῖσι ἀπεσπ. M 3 ἑαυτὸ MV 4 ιη pro ἡ B ὄκρις V, ἐξοχὴ προμήκης ss. B[3], ὀκρίς iterat i. m. M[1] ὀξείη B, -εία V γίγν. B 5 ξύμπ. B 6 οὐδὲ μίη B οὐδὲ μία MV γίγν. B ὅτι οὐδ. βλ. ἀπὸ τῆς κληῖδος, ἐὰν μὴ ἐπισφ. i. m. inf. tituli loco M 8 γίγν. B αἶσχος . . . προσγίν. om. B[1], ss. B[2] αἰσχροσ γε μη. Προσγίν. Γ post κλ. verba ἢν μὴ . . . κληῖδος iterat M, sed linea del., ἢν μὴ ἐπισφακελίσῃ add. V τούτοις BΓ αἴσχιον Γ 10 ἐπὶ om. V ξυμφ. codd., σ. vulg. 11 τἄλλα M, τ' ἄλλα V ταχείην B, -είαν V 12 ποιέε- codd. τὰ τοιαῦτα MVΓ ὅταν . . . ἀπολαμβάν. (p. 137, 15) om. Γ 14 μεῖζον MV ἐστὶν V προθυμέουσιν B 15 ἰᾶσθαι B, ἰῆ. cet. 16 οὔτε MV 17 καταμελέουσιν MV 18. 19 ὑπαποδιδ. MV 20 τε BMVEHK, δὲ rel. vulg. ἐπιπώ|ρωσις, πώ add. et acc. corr. M[2]

Ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μακροῖσιν ἰητρεύειν· καὶ τάδε δεῖ προσιητρεύειν καὶ τάδε δεῖ προσσυνιέναι, καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι καὶ τοῖσιν ἐπιδέσμοισι πλείστοισι καὶ μάλιστα κατὰ τοῦτο πιέζειν. εἰσὶ δὲ δή τινες, οἳ ἐπεσοφίσαντο ἤδη μολύβδιον βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερέχον· συνίασι μὲν οὖν ἴσως οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες· ἀτὰρ δὴ οὐδὲ οὗτος ὁ τρόπος κληῖδος κατήξιός ἐστιν· οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδέν, ὅ τι ἄξιον λόγου. ἄλλοι δ' αὖ τινες εἰσίν, οἵτινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσιν καὶ
122 οὐ | κατὰ φύσιν καταναγκάζουσιν τὰ ὑπερέχοντα, ἐπιδέουσι μὲν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρεώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι, ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινί, ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστι, ὅταν ἐπιθέωσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου

1 *ἐπίδεσις κληῖδος* pro titulo i. m. sup. M *μὲν* del. B[3] *καθέστηκεν* M, post alterum *ε* loc. ras. in V 2 ante *κηρ.* add. *καὶ* Erm. 2. 3 post *ὀθ.* locus rasus; dittographia scriptum erat *μαλθακοῖσι* M 3 *μαλ(θ M)ακοῖσι* pro *μακρ.* MV 3. 4 *προσιητ.*—*δεῖ* om. BMErm. 4 *προσξυν.* codd. 5 *χωρίσματι* V *πλείστ.* om. V 6 *τοῖσι* M 7 ante *πιέζ.* add. *χρὴ* MV 8 *μολίβ.* V *προσκαταδεῖν* B 9 *καταναγκάζη*[ν] B[1], *ν* ss. B[3], *-ζη* M, *η* in raso l. a m. 2, *-ζειν* V *ξυν.* MV 10 *οὐδ'* M utroque loco 11 *οὐδὲ* pro *οὐ* V 12 ante *ἄξ.* add. *καὶ* MV 14 *εἰσι* MV 15 *καταναγκάζουσι* MV 16 supra *μὲν* ss. *δὲ* B[3] post *σπλ.* iterat *μὲν* B *ὀθονίοις* V *χρεώμ.* scripsi, *χρώμ.* codd. 17 *καὶ* om. B[1], ss. B[3] 18 *ἔστιν* MV *ἐπιθῶσι* MV *τοῦ κατήγμ.*—*ἐξέχ.* om. M, i. m. adscr. ead. (?) manus 20 ante *ἐξογκ.* ss. *καὶ* B[3] *επειτα* pro *ἐπὶ τὰ* B *ἐξέχ.* om. B[1], ss. man. poster.

*προσέδησαν πρὸς τὸ ζῶμα ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσι ἐπὶ τὴν ἴξιν τῆς κληῖδος ἐπιτανύοντες ἐς τοὔπισθεν ἄγοντες· καὶ ἔπειτα περιβάλλοντες περὶ τὸ ζῶμα ἐς τοὔμπροσθεν ἄγουσι καὶ αὖτις ἐς τοὔπισθε. οἱ δέ τινες οὐ περὶ τὸ ζῶμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸν περινεόν τε καὶ παρ' αὐτὴν τὴν ἕδρην καὶ παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον οὕτω πιέζουσι τὸ κάτηγμα. ταῦτ' οὖν ἀπείρῳ μὲν ἀκοῦσαι φαίνεται ἐγγύς τι τοῦ κατὰ φυσιν εἶναι, χρεωμένῳ δὲ ἄχρηστα· οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ' εἰ κατακέοιτό τις — καίτοι ἐγγυτάτω ἂν οὕτως —, ἀλλ' ὅμως εἰ καὶ κατακείμενος ἢ τὸ σκέλος συγκάμψειεν ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο, ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις· ἥ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενυγροχωρίῃ γίνεται. τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα οὐχ οὕτως | 124 ἰσχυρῶς ἔζωσται, ὡς οὐκ ἀναγκάσει ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾶν τὰ ἐπιδέσματα. ἄγχιστα δ' ἄν τις δοκέοι ποιεῖν, καίπερ οὐ μέγα ποιέων, εἰ τοῖσι μέν τισιν τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι· οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι.*

2 *ἐπιδέουσιν* V *ἶξιν* V · 3 *εἰς* V *κἄπ.* MV *περιβαλόντες* mut., ut videtur, ex *-βάλλοντες* M, *περιβαλλόντες* V 4 *αυτις* B[1], mut. in *αὖθις* B[3] *τοὔπισθεν* MV 5 *οὐχὶ* pro *οὐ* MV *περίνεον* BMV, *-ναιον* ut solent rec. 8 *ταῦτα* MV 10 *χρεωμ.* scripsi, *χρωμ.* B, *χρεομ.* MV 12 *καὶ* om. MV 15 *ἐρυθρα* pro *ἀθρ.* *Γ* *τὰ* om. *Γ* *στενοχωρίη* (*υγρ* superscr.) B, ss. B[3], *στενοχωρίη* MV, *στένη* *Γ*, Galenum *στενυγροχωρίη* legisse apparet e comm. p. 411 16 *τά τε . . . χωρήσειε* (p. 138, 7) om. *Γ* *οὐχ'* V 17 *ἀναγκάσαι* MV 19 *ἄγχιστα*, i. m. *ἔγγιστα* B[2] *ποιέειν* codd. 20 *μεγάλα* MV *τισι* M, *τοισι* V *περὶ* del. Wb. 21 *τοῖς* B 22 *ἐπιδέοιτο* B 23 ad *τιμωρέοι* i. m. *βοηθει* B[2]

*Τὰ μὲν οὖν πλεῖστα εἴρηται, ἅσσα καταλαμβάνει τοὺς τὴν κληῖδα καταγνυμένους. προσσυνιέναι δὲ χρή, ὅτι κληὶς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δ᾽ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μέρει εἶναι. αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω πολὺ ἂν οὔτε ἀνωτέρω χωρήσειε· σμικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθει· αὐτό τε γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος καὶ τῇ ῥάχει. ἄγχιστα μὴν ἡ κληὶς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλοώδης*
126 *ἐστίν· ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι | διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. ἄλλως τε ὅταν τρωθῇ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει· καὶ γὰρ πέφυκε λορδὸν καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω. ὁ δὲ ὦμος καὶ ὁ βραχίων καὶ τὰ προσηρτημένα τούτοισιν εὐαπόλυτά ἐστιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι καὶ κατωτέρω. ὅταν οὖν καταγῇ ἡ κληίς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ*

1 *ἅσα* B, mut. in *ὅσα* $B^3$ *τὴν* om. BMV, serv. vulg. 2 *καταγ//////μένους* M *προσξ.* codd. ante *χρὴ* add. *καὶ τόδε* MV 5 *δὲ* MV 7 *ἂν πολὺ* MV *χωρήσειεν* M *μικρὸς* MV, *οὐ* pro *σμ.* *Γ* 8 ad *κιγκλ.* i. m. *κίνησις* $B^2$, ss. *ἡ μικρὰ* $B^3$ 9 *ξ(σ Γ)υνεχεες* B *Γ* 10 *'μην* (*η* in loco raso) *Γ* ante *πρὸς* add. *τὸ* B *Γ* *πρὸς το* (*το* mut. in *τοῦ* man. post.) *ὤμ.* B *πρὸς τοῦ στήθους τὸ ἄρθ.* MV ad *πλοώδης* i. m. *ἐμπλεουσα* $B^2$, in altero m. *τὸ οἷον ἀστήρικτος* $B^3$, quod sumptum est ex Gal. comm. 415 12 *σύνζ.* *Γ* *ἄλλως . . . ἀπεσπάσθη* (p. 139, 14) om. *Γ* *ὁμως δε* pro *ἄλλως τε* B *φεύγειν* $B^1$, *ν* eras. 15 *κοῦφον* (fortasse *κυφὸν* cf. *Μοχλ.* c. 1 et schol. H apud Litt. IV, 177) pro *λορδὸν* MV, *γρ. λορδὸν* i. m. M *εὐρυχωρη* B, *η* ss. $B^3$ 16 *πλέον* B 17 *τούτοισι* M *εὐαπόλυτ᾽* MV 18 *διατοῦτο* V ut solet 20 *γοῦν* M *ἡ* om. M

κατωτέρω ἐπιρρέπει· ἐς τοῦτο γὰρ ἐπιτροχώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥέψαι μᾶλλον ἢ ἐς τὸ ἄνω. ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστιν, ἀσυνετέουσιν ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται οἷόν τε εἶναι. ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τὸ ἄνω προσακτέον ἐστί· τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστι ἀναγκάσαι τοῦτο — αἱ γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν —· εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι ἐόντα ἀναγκάζοι ὡς μάλιστα ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνηται, δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκός, ὅθεν ἀπεσπάσθη. εἰ οὖν τις τῇ μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως συναλθεσθῆναι εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάταια εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν συνίοι ἰητρεύοι τε ἂν τάχιστα καὶ κάλλιστα. κατακεῖσθαι μέντοι τὸν ἄνθρωπον μέγα τι δια|φέρον ἐστί, καὶ ἡμέραι ἱκαναὶ 128 τεσσαρεσκαίδεκα, εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι.

1 ad *ἐπιτρ.* adscr. *ἐπιφορότερον* i. m. B$^2$ 3. 4 *ἀξυνετέουσιν* (*ν* adscr. M$^2$) MV 4 *τουπ.* B 5 *οἴονται εἶναι* B, *οἷον τε εἶναι* MV *οἴ. οἷ. τε ε.* proposuit Litt., scripsit Erm. *τὸ* ante *κάτω* om. V 6 *τὰ ἄνω* B$^1$, em. 8 *ἔστιν* MV 9 ante *γὰρ* add. *τε* MV 9—10 *προσαναγκάζουσι(ν$^2$)* M, *ἀπαναγκάζουσι(ν$^2$)* M, *ἐπαν.* (*ἀ* supra *ἐ*) V 11 *πλευρῇσιν* M$^2$V *ὡς μάλ. ἐ. ἀναγκ. ἄνω ὡς μάλ. ὡς ὅτι ὀξ.* MV 12 *φαίνεται* M post *φαίν.* add. *εἶναι* MV *δηλονότι οὗτος* V 13 *ἁρμωσθῇ* B, *ἁρμοσθεῖεν* V *καὶ* B$^1$, mut. in *πρὸς* B$^3$ *του απο* B$^1$, mut. in *τὸ ἀπὸ* B$^3$ 14 *τις* om. Γ$^1$, add. man. 2 15 *τῇ* om. B$^1$, add. B$^3$ ad *νομ.* i. m. adscr. *τῇ συνήθει* B$^3$ *ξυναλθ.* BΓ, *συναλεσθ.* V 16 *ἡγήσ.—πάμπ.* om. Γ *μάτην* MV 17 *συνειοι* B, *ξυν///είηι* M, *ξυνίῃ* V *ἰητρεύειται* pro *ἰ. τε* B 18 *κάλιστα* B *κατακέε-* MV 19 *τι* scripsi, *τὸ* codd. *διάφορον* MV

15. *Εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κληῒς καταγείη,* ὃ οὐ μάλα γίνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι, τὸ δ' ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ἐποχεῖσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά γ' ἂν δέοιτο· αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα, καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γενοίατ' ἄν.

16. *Εἰ δὲ μὴ καταγείη μὲν οὕτω,* παρολισθάνοι δὲ ἐς τὸ πλάγιον ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀγαγεῖν ἂν δέοι ἀναγαγόντα τὸν ὦμόν σὺν τῷ βραχίονι, ὡς καὶ πρόσθεν εἴρηται· ὅταν δὲ ἵζηται ἐς τὴν ἀρχαίην φύσιν, ταχεῖα ἂν ἡ ἄλλη ἰητρείη εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παραλλαγμάτων κατορθοῖ αὐτὸς ὁ βραχίων καταναγκαζόμενος πρὸς τὰ ἄνω. ὅσα δὲ ἐκ τοῦ ἄνωθεν παρολισθάνοντα ἐς τὸ πλάγιον ἦλθεν ἢ ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ μὲν ἄνθρωπος ὕπτιος κέοιτο, κατὰ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγῳ ὑποκέοιτο, ὡς περιρρηδὲς ᾖ τὸ στῆθος ὡς μάλιστα· καὶ τὸν βραχίονα ἀνάγοι

1 καταγῆ B, -γείη MV  κλιεισ κατεαγεισ ου μ. γ. Γ  3 δὲ MV  post ἀκρ. add. το B[1], del. B[3]  ὀστέον post ἀκρ. om. Γ  4 ἐποχέε- codd.  ὑπὸ pro ἐπὶ Γ  οὐδὲ μ. V ut saepius  ἰητρίης B, ἰητρης Γ  5 αὐτὸς . . . γενοίατ ἂν om. Γ  8 γένοιτ' B, γένοιντ' V  9 οὕτως MVΓ  10 τὸ τῇ ἢ τῇ ἔσω καὶ ἔξω δηλοῖ i. m. B[2] (cf. Gal. comm.)  ἐς τὴν . . . ἄνω (15) om. Γ  ἀπαγ. MV  11 ὥσπερ MV  12 εἰς M  ἀρχ. om. B  13 ταχείη ἂν ᾖ ἡ ἄ. ἰητρή. B  14 παραλαγμ. B, παρηλλαγμένων Gal. 15 ἀναγκ. MV  τὰ rasura mut. in τὸ M, τὸ V  ἐκ om. MV  τῶν ἄν. MV  16 ἦλθε V  καὶ pro ἢ MV  17 συνπ. V, συνεργᾶ ss. B[3], ξυνπορευνοι Γ, συν δῶ i. m. M  19 ὀλίγω, ω ab alt. manu i. ras. l. Γ  ad περιρρ. i. m. περικεκλασμένον B[3] (Gal. comm. p. 420), ἑκατέρωθεν ἐκκεκλιμένον μενοειδές i. m. inf. M  20 ἔῃ codd., scripsi ᾖ  ὡς om. MV  post βραχ. add. εἰ MV

*τις παρὰ τὰς πλευρὰς παρατεταμένον, ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν | κεφαλὴν τοῦ βραχίονος ἐμβάλλων* 130 *τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δὲ ἑτέρῃ τὰ ὀστέα τὰ κατεηγότα εὐθετίζοι· οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι. ἀτάρ, ὥσπερ ἤδη εἴρηται, οὐ μάλα τὸ ἄνωθεν ὀστέον ἐς τὸ κάτω φιλεῖ ὑποδύνειν. τοῖσι μὲν οὖν πλείστοισι, ὅταν ἐπιδεθῶσιν, τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι. ἔστιν δὲ οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω, ὡς εἴρηται, τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν, ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν. ἢν μὲν οὖν κατακεῖσθαι τολμᾷ, ἀντιστήριγμά τι προστιθέναι χρή, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ᾖ· ἢν δὲ περιίῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα ἀναλαμβάνειν περὶ τὸν αὐχένα.*

17. *Ἀγκῶνος δὲ ἄρθρον παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, ἐς εὐθὺ κατατείναντα τὰ ἐξέχοντα ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον.*

18. *Τὰ δὲ τελέως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα,*

1 *ὁ δὲ . . . εἴρηται* (10) om. *Γ*  2. 3 *ἐμβαλὼν* MV  3 *δ'* MV  4 *τὰ* post *ὀστέα* ss. V  5 *εὖ* pro *οὐ* B[1]MV, *οὐ* ss. B[3], ex em. scr. Litt.  *μᾶλλον* B  6 *φιλέει* codd.  7 *πλείστοισιν* M[2]V  *ἐπιδεθῶσι* MV  9 *ἔστι* MV  10 *ὥσπερ* MV  12 *ἴσχει Γ*  *ἢν . . . μένει* (c. 29 extr.) om. *Γ*  13 *κατακέε.* MV  *ἔῃ* MV  14 *περιείῃ* MV  15 *ἐκτένεης* (*αι* ss.) V  16 post *αὐχ.* add. *τα εωστου* punctis circumdatum B  17 *περι ἀγκωνος* tit. BM  *ἀγκῶνος . . . μένει* (c. 29 extr.) repetuntur in Mochlici cap. 7—19, eadem capita non sunt in commentario Galeni  *παραλαξαν* B  *παραλλάξομεν* pro *παρ. μὲν* Ap.  ante *πρὸς* add. *παραρθρῆσαν* codd., om. Ap., Mochl., Erm.  19 *ἐς* om. B  *τὸ ἐξέχον* MV  20 *ὀπίσσω* B  21 *τελεως* Ap., *-είως* cet.  prius *ἢ* om. Ap.

132 *κατάτασις μέν, ἐν | ᾗ ὁ βραχίων κατεαγεὶς ἐπιδεῖται· οὕτω γὰρ ἂν τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὴν μέρος. τὰς δὲ κατορθώσιας ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλή, μετέωρον περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς εὐθὺ βιάζεσθαι, ἅμα δὲ ὠθεῖν τἀναντία ἐφ' ἑκάτερα καὶ παρωθεῖν ἐς χώρην. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοις, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἴησις δέ, σχήματος μέν· ὀλίγῳ ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ πλευράς. οὕτω δὲ καὶ ἀνάληψις καὶ θέσις [καὶ] εὔφορον καὶ φύσις καὶ χρῆσις ἐν κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ· πωροῦται δὲ ταχέως. ἴησις δὲ ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν.*

19. *Παλιγκοτώτατον δὲ ἀγκὼν πυρετοῖς, ὀδύνῃσιν, ἀσώδει, ἀκρητοχόλῳ· ἀγκῶνος δὲ μάλιστα τὸ ὀπίσω διὰ τὸ ναρκῶδες, δεύτερον δὲ τὸ ἔμπροσθεν· ἴησις δὲ ἡ αὐτή. ἐμβολαὶ δέ, τοῦ μὲν ὀπίσω, ἐκτείναντα κατατείνειν. σημεῖον δέ· οὐ γὰρ δύνανται ἐκτείνειν·*

1 *ἡ κατάτ.* Ap. *κατάστ.* B post *βραχ.* add. *κατεηγ(ης* B*)εὶς* MB, *κατεαγεὶς* V, om. Ap. Mochl. *ἐπιδέεται* codd., *-εῖται* Mochl. *ἤγουν ἐπιδεομενος κατατεινεται* i. m. inf. B$^4$ 2 *οὕτω . . . μέρος* om. Ap. 3 *πλευρὸν* M, *τὸ πλ.* V 4 *καθάρσιας* Ap. *ἐπὶ πλεῖον* pro *ὅτι πλεῖστον* Ap. 5 *περιάγει* Ap. 6 *καὶ ἐς ὠήθην* pro *κ. μὴ ἐς εὐθὺ* Ap. 7 *ἑκατέραν* pro *ἐφ' ἑκ.* Ap. 8 *καὶ* om. Ap. *ἐπιστρέψεις* MV *τουτέοις* codd. 10 *ὀλίγον* MV 12 *καὶ* codd., om. codd. in Mochl., del. Erm. 14 *ὀθονίοις* B 15 *ναρθειτικόν* B, *ν* praefixit B$^3$ 16 *παλιγκοτώτατον* tit. in marg. sup. M *παλιγκοτατον* B *πυρετοῖσιν* (*ν* M$^2$) MV *ὀδύναις* B, *ὀδύνῃσι(ν$^2$)* M 17 *ἀσώδει* B$^1$, mut. in *ἀσώδεσι* B$^3$, *ὀδύνῃ ἀσώδεϊ* Litt., *ὀδύνῃσι, πυρετοῖσι ἀσώδεσι, ἀκρητοχόλοισι* Erm. *τοὐπίσω* MV 18 *τοὔμπρ.* MV 19 *ἐκτιναντας* Ap., *ἐκτείναντι* mut. in *-α* M 20 *κατατεῖναι* MVAp. *οὐ . . . ἐκτείνειν* om. V *ἐκτείνειν . . . δύνανται* om. Ap.

*τοῦ δ' ἔμπροσθεν, οὐ δύνανται συγκάμπτειν· τούτῳ δὲ ἐν|θέντα τι συνειλιγμένον σκληρόν, περὶ τοῦτο* 134 *συγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης.*

20. *Διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι.*

21. *Ταῦτα δὲ ταχέως διαπωροῦται· ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα, πλεῖστα τὰ ἐγγύτατα τοῦ πήχεος, δεύτερον δὲ χειρός, τρίτον δὲ δακτύλων· βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροφήν· ἡ δ' ἑτέρη χεὶρ διὰ τὰ ἔργα πλείω ἔτι ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσωθεν· εἰ δὲ μή, ἐς τοὐναντίον, ᾗ ⟨ᾗ⟩ ἐξέπεσεν.*

22. *Ἀγκὼν δὲ ἐπὰν μὲν ἔσω ἢ ἔξω ἐκβῇ, κατάτασις μὲν ἐν σχήματι ἐγγωνίῳ τῷ πήχει πρὸς βραχίονα. τὴν μὲν μασχάλην ἀναλαβόντα ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶν καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖς θέναρσιν, ὡς τὰ ἐν χερσίν. ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις.*

1 *δὲ* MV *συγκάμπτ.*, *γ* in ras. l., M *τουτέω* codd., *τοῦτο* Ap. 2 *συνηλεγμ.* B, *συνειλεγμ.* MV, *συνηλιγμ.* Ap. *τούτων* Ap. 3 *ξυγκ.* M *ἐξ* om. B 5 ante *βραχ.* add. *τὸν* B[3] 6 *διαπωροῦνται* B 7 *πλείστω* BV, *-στωι* M, *πλεῖστα* vulg. 8 *δεύτερα* codd., *-ον* Mochl. Litt. *δὲ* utroque loco om. MV 10 *τροφήν* codd., *τροπήν* vulg. *δὲ* MV Ap. Mochl. *ὅτι πλείω(ν* B) BMV pro *πλ. ἔτι*, *ἔτι πλ.* vulg., *πλείω* (*-ῳ* M) *ἔτι* Mochl. 11 *μινύθησις ἐλάσσωσις* i. m. M 12 *εἴσ.* BMV, *ἔσ.* MN Parr. *ἣ* B, *ᾗ* M, *ἡ* V, *ἣ ᾗ* Erm. 13 *ἐπὰν* B, *ἢν* MV Ap. *μὲν* om. MV *εἴσω* BMV, *ἔσω* N[1] Ap. *ἐκβαίη* MV, *ἐκβ.* om. Ap. *κατάστασις* M 14 *κοινῷ* pro *ἐγγ.* codd., *ἐγγ.* Ap. 15 *τὴν μὲν* om. Ap. *ἀναλαμβάνοντα* MV *τινὶ* B, *τινᾶ* Ap. pro *ταινίῃ* ante *ἄκρῳ* add. *τῷ* V 16 *ὑποθεις* B *τι* om. B *ἀγκωναρην δε μηκρω ὑποθεὶς παρὰ δὲ τὸ ἄ.* Ap. 17 *χερσι* MV *ὑπερεωρ.* BM 18 *τοῖσι* MV *θέναρσι(ν*[2]) M 19 *τὰς* Ap. *τουτέῳ* BV *ἐπιδέσεις . . . ἀναλήψεις . . . θέσεις* Ap.

23. *Τὰ μὲν ὄπισθεν ἐξαίφνης ἐκτείνοντα διορθοῦν τοῖς θέναρσιν ἅμα [δὲ] δεῖ ἐν τῇ διορθώσει καὶ τοῖς*
136 *ἑτέροις. ἢν δ' | ἔμπροσθεν, ἀμφὶ ὀθόνιον συνειλιγμένον εὔογκον συγκάμπτοντα ἅμα διορθοῦν.*

24. *Ἢν δὲ ἑτεροκλινὲς ᾖ, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα χρὴ ποιεῖν. τῆς δὲ μελέτης τῆς θεραπείης κοινὸν καὶ τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται δὲ καὶ ἐκ τῆς διατάσιος κοινῇ συμπίπτειν ἅπαντα.*

25. *Τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος· αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει.*

26. *Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα δ' εὔσημα· ἢν μὲν ἔσω, συγκάμπτειν τοὺς δακτύλους οὐ δύνανται, ἢν δὲ ἔξω, ἐκτείνειν. ἐμβολὴ δέ· ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ τῷ θέναρι ἢ τῇ πτέρνῃ ἅμα ἀπωθεῖν καὶ*
138 *ὠθεῖν πρόσω καὶ κάτω, κά|τωθεν δὲ κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλθακὸν ὑποθείς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίοις.*

1 *δὲ* pro *μὲν* MVAp. *ἐκτεί(ι* Ap.)*ναντα* BMAp. 2 *τοῖσι* MV *θέναρσι* M *δὲ* post *ἅμα* punctumque post *θέν.* ipse delevi *ἐν τοῖσιν* (*ν* add. M²) *ἑτέροισι(ν* V) MV 3 *δὲ* MV *ἀμφιθῆς* V, *-θεὶς* cet. codd., *ἀμφὶ* Cornar. ex Mochl. 13 *συνειλεγμ.* MV 4 *συνκ.* B 6 *ποιέειν* MV *θεραπείας* BM 8 ante *ἐκ* add. *ἢ* B 9 *ἐμβολέων* M *ὑπερωρήσιος* M 13 *περὶ χειρὸς ἄρθρου* in tit. B, *περὶ χειρὸς* in tit. MV 14 *δὲ* MV ante *ἢν μὲν* add. *καὶ* BMV *εἴσω* MV *καὶ ἢν μ. εἴσω* in ras. l. M² *ἢν μὲν . . . ἐκτείν.* om. Ap. 15 *κάμπτειν* B 16 *δὲ* om. Ap. 18 *τῷ* et *τῇ* om. MVAp. *ἀπωθέειν κ. ὠθέειεν* MV 19 *καὶ* om. MV *καὶ κάτω* om. Ap. *δὲ* post *κάτωθεν* om. Ap. 20 *μαλακὸν* Ap. *ἀπωθέειν, πρόσω καὶ κάτωθεν* (*κάτω* Erm.) *κ. τ. ἑ. ὀ., ὁ. μ. ὑ.* Litt. et Erm. ex Mochlico 21 post *ἴησις* add. *δὲ* MV *ὀθονίοισι(ν* M) MV, *-ίῳ* Ap.

27. Ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει ἢ ἔσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα, μάλιστα δὲ ἔσω· ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη· ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη, καὶ τὸ μὲν ἐξέχον ἀπωθεῖν, τὸ δ' ἕτερον ἀντωθεῖν, δύο εἴδεα ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον ἢ χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ. παλιγκοτώτατα δὲ καὶ ἀσχήμονα· τῷ χρόνῳ δὲ κρατύνεται ἐς χρῆσιν. ἴησις δὲ ὀθονίοις σὺν τῇ χειρὶ καὶ πήχει· καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι· ἐν νάρθηξι δὲ δεθέντα ταῦτα πυκνότερα λύειν ἢ τὰ κατήγματα, καὶ καταχύσει πλείονι χρῆσθαι.

28. Ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται καὶ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ᾖ τὸ ἔκπτωμα, ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

29. Δακτύλου δὲ ἄρθρον ὀλισθὸν μὲν εὔσημον. ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθεῖν,
τὸ δὲ ἐναντίον ἀν|τωθεῖν· ἴησις δὲ ὀθονίοις. μὴ ἐμ- 140
πεσὸν δὲ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα βραχύνεται τὰ κάτω

1 *περὶ δακτύλου ἄρθρων* in tit. M   *ἡ* om. Ap.   *ἤσω* B utroque loco, *εἴσω* M   2 *εἴσω* MV   *ἔστιν* B   4 *τουτέοις* B   *τούτοις ἡ κατάτ.* Ap.   *ποιεῖται* Ap.   5 *ἀπωθέειν* MV, *-εῖ* Ap.   *δὲ* MV   *ἀντωθέειν* codd., *-εῖ* Ap.   post *δύο* add. *δὲ* Ap.   post *ἅμα* add. *καὶ* B   6 *ἢ* ante *χ.* om. Ap.   7 *πέρνῃ* M   *παλινκότατα* B, *παλιγκοτώτα* M, *παλίγκοτα τάδε κ. ἀ.* Ap.   *τῷ χρ. δὲ* B, *τῷ δὲ χρ.* MV, *δὲ* om. Ap.   8 *ἠν χρησιμον* pro *ἐς χρ.* Ap.   *δὲ* om. MV   *ὀθονίοισι* MV   9 ante *πήχει* add. *τῷ* vulg., articulum om. BMVH   10 *ἐνάρθηξι* pro *ἐν ν.* M   *δὲ* om. B   11 *χρέε.* MV   12 *βραχυτέρα* B   13 *ᾖ* om. B, *ἡ* V   14 *εὐξημ.* B   *τὰ* om. V   15 *ΙΔ περὶ δακτύλων* in tit. B   *ὀλισθὲν* M, *ὀλ.* om. Ap.   16 *ιοῦ* (i. e. *ἰθῦ*) B, ss. *θυ* B², *ἰθῦν* MV   *ἀπωθέειν* MV   17 ante *ὀθ.* add. *ταινίῃ(οι V)σιν* MV, *ἵσταιτι ἡ* (*ἢ σταιτὶ ἢ*) Ap.   *ὀθονίοισι* MAp., *-ν* V   17—18 *ἐμπεσὼν* BMV   18 *ἔξω* Ap.   19 *συνήρθρωται* pro *βραχύν.* MV   *τὰ* om. MV

τοῦ ὀλισθήματος καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ ᾗ τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

30. Γνάθος δὲ ὀλίγοισι ἤδη τελέως ἐξήρθρησεν· ⟨τὸ⟩ ὀστέον γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου, τῆς μὲν ἀνωτέρω ἐόν, τῆς δὲ κατωτέρω τῶν κεφαλέων. τὰ δὲ ἄκρεα τῆς κάτω γνάθου τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρέκδυτον, τὸ δὲ αὖ κόρωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος· ἅμα τε ἀπ' ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασι, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ μασητῆρες καλεόμενοι· διὰ τοῦτο δὲ καλέονται καὶ διὰ τοῦτο κινέον-
142 ται, ὅτι ἐντεῦθεν | ἐξήρτηνται· ἐν γὰρ τῇ ἐδωδῇ καὶ ἐν τῇ διαλέκτῳ καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος ἡ μὲν ἄνω γνάθος ἀτρεμεῖ· συνήρτηται γὰρ τῇ κεφαλῇ καὶ οὐ διήρθρωται· ἡ δὲ κάτω γνάθος κινεῖται· ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου καὶ ἀπὸ τῆς κεφαλῆς. διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι πρῶτον τοῦτο τὸ ἄρθρον ἐπισημαίνει συντεταμένον,

2 ὡς pro ᾗ BMV, ᾗ Erm. 3 περὶ γνάθου ἐξαρθρήσεως in tit. B, περὶ γνάθου in tit. MVΓ ὀλίγοισιν M²VΓ 4 τὸ add. Erm. post ὀστ. add. τε BMΓ, om. VAp. 5 ἀπεζύγ. Ap. πεφυκότι pro προσπ. Ap. 6 ἀποκλέει M 7 τά τε MV 8 ἄκραια B, ἄκρα MV, ἄκρεα Γ (ἄκρεα, ἀκρέων Gal. comm. p. 428, 432) 9 εὐπαρϊσ(είσ Γ)δυτον BΓ, εὐπαράδ. MV, εὐπαρέκδ. Foes. in notis ex coniectura, Erm. δ' MVΓ τε καὶ ὑ. ὑ. i. m. M 10 ἀπ' om. MVΓ 11 ἄκρων MV νευρωδεις B περύκασιν MV 12 κροταφίται V 13 διατοῦτο bis V 14 ἐξήρτηται Γ περὶ τῆς ἄνω γνάθου tit. in m. M post ἐδ. add. φησιν Γ 14. 15 καὶ τῇ διαλέκτω καὶ πάσῃ τῇ χρ. Γ 16 ἀτρεμέει codd. γράφεται καὶ συνήρ(θρωται? cf. Gal. comm. p. 433) i. m. B³ 17 κεινέεται BΓ 19 post σπασμ. add. τε B³, καὶ corr. V 20 τοῦτο πρῶτον MVΓ σημ. M

*καὶ διότι πληγαὶ καίριοι καὶ καροῦσαι αἱ κροταφίτιδες γίνονται, ἐν ἄλλῳ λόγῳ εἰρήσεται· περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρεῖν τάδε αἴτια· αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων, ὥστε τὸν ἄνθρωπον χανεῖν μέζον ἢ ὅσον δύναται· ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μέγα χανόντα παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα. προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν· ὅσα γὰρ νεῦρα καὶ ὅσοι μύες παρὰ ἄρθρα εἰσὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν συνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινεῖται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, σχᾶται μέντοι πολλάκις ἐν | χάσμησι, ὡς καὶ ἄλλαι πολλαὶ μυῶν παρ-* 144
*αλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσιν. δῆλον μὲν οὖν τοισίδε μάλιστά ἐστιν, ὅταν ἐκπεπτώκῃ· προΐσχει ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται τἀναντία*

1 *καιροῦσαί αἱ κρ.* B, *καιροῦσαι* MV, *καρουσ αἱ οι κροτατφιταιμυες γίγν.* Γ  2 *γέν.* B  ante *ἐν* add. *καὶ* V  3 *ἐξαρθρέειν* codd.  ante *αἴτια* add. *τὰ* B$^2$MV, om. B$^1$Γ  4 *καταλαμβάνουσιν* Γ  5 *χάνειν* B, *-έειν* MV, *χαίνειν* Γ  *μείζονα · ησσον δ.* Γ  7 *παράγειν* BΓ, *μετάγειν* Ap.  7. 8 *προσυμβ.* (sic) . . . *ἐκπίπτ.* ut Galeni verba describit Γ  *δε τοι* pro *μέντοι* Γ  *τόδε πρὸς* om. Γ  *ὅσα* BAp., *ὁκόσα* MV  9 *ὁκόσοι* MV, *ὅσοι* B, om. Ap.  *μῦες* V  ante *ἀρθ.* add. *τὰ* V  *ἐστὶν* Ap.  10 *ξυνδ.* BM, *δέδενται* V, *συνδέδεται* Ap.  11 *διακινέεται* codd.  *καταστάσηας* V  12 *ἐπιδ. δύναται* pro *δυν. ἐπιδ.* Ap.  *ὡς* Γ  13 *εὐδεψητότα* B$^1$ΓAp., *τα* ss. B$^3$  *περὶ . . . λόγος* om. Γ  14 *ἔσχαται* MV  *σχ.— πολλ.* om. Ap.  15 *χάσμασι* mut. in *-σει* B, *χασμήσει* Ap., *χάσμησι* M$^1$Γ, *-ν* VM$^2$  *ὥσπερ* MV  *ὡς . . . ποιέουσιν* om. Ap.  *αἱ* pro *καὶ* Gal. in cit. p. 437  *πολλαὶ* BΓ, om. MV  16 *ποιέουσι* MV  *δὲ* pro *μὲν οὖν* MV  17 *ἐκ τῶνδε* B, *ἐκ* add. B$^3$, *τοῖσι δὲ* MV, *τοῖςδε* ΓAp.  *ἐκπεπτώκει* MV  *προίσχεται γὰρ* MVAp.  18 *ἐναντία* Ap., *ταaντία* Γ

τοῦ ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κόρωνὸν ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς συμβάλλουσι τὰς γνάθους. τούτοις ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ' ἂν ἁρμόζουσα· χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινεῖν τὴν γνάθον χρόνον τινά, τῇ καὶ τῇ παράγοντα τῇ χειρί, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα· ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασι ὁμοῦ προσέχοντα τὸν νόον· δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς ἐς τὴν φύσιν, δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ ἑπόμενον τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκεῖ· σπλῆνα προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πλη-

1. 2 ὀγκηρὸν Ap. 2 γίνεται B Ap., γίγν. Γ περὶ V 3 ξυμβ. B, συμβάλουσιν Γ ante γνάθ. add. κάτω MV τούτοισι M¹, -ν M²V τουτοις οὖν ἐ. μεν πρ. Γ 4 οἴη τις Γ Ap. γίγνεται ἁρμ. Γ γίν. ἂν ἁρμ. om. Ap. χρὴ . . . ὡς μάλιστα (11) om. Γ τινα om. Ap. 5 τοῦ τετρ. om. Ap. 6 τοῖς B 8. 9 τὴν γν. om. Erm. 9 prius τῇ om. Ap. 11 ἔχειν καὶ om. Ap. ξυμπαρ. et ξυνδιδ. B 12 σχήμασιν MV σπάσαι εἰς τοὐπίσω καὶ ἀναλήψει γενείου τρισὶν ὁμοῦ σχήμασιν Ap. 13 χρὴ MV παραγενέσθαι Ap. διατροφῆς V 15 δεῖ δὲ . . . δεῖ δὲ om. Ap. τούτοις ξυμβ. B τούτοις καὶ συμβ. Ap. ὡ δ' εἴπωμεν ἐν τούτῳ σ. τ. γ. κ. μ. χ. ut verba Galeni dat Γ 16 ἐμβολὴ . . . ὑπείκῃ (p. 149, 1) om. Γ 17 ἰητρίη B 18 βραχείη B, -εία V ἀρκέει MV 19 χειρουργεῖν Ap. 20 κατακλίνοντα Ap. 21 ὕπο σκ. ἐπικ. Ap.

*ρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ· προσκατέχειν δὲ χρή τινα τὴν κεφαλὴν τοῦ τετρωμένου.*

31. *Ἢν δὲ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν,* 146
*ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δ' ἔτι ἧσσον οὗτοι τὸ στόμα δύνανται· καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν, ἀστραβέες δέ· τὸ δὲ ἀστραβὲς μάλιστα ἂν γνοίης τοῖσιν ὁρίοισιν τῶν ὀδόντων τῶν τε ἄνω καὶ τῶν κάτω κατ' ἴξιν. τούτοισι συμφέρει ὡς τάχιστα ἐμβάλλειν· ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται. ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν συνεχέων καὶ νωθρῆς καρώσιος· καρώδεες γὰρ οἱ μύες οὗτοι καὶ ἀλλοιούμενοι καὶ ἐντεινόμενοι παρὰ φύσιν· φιλεῖ δὲ καὶ ἡ γαστὴρ ὑποχωρεῖν τούτοισι χολώδεα ἄκρητα ὀλίγα, καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσι. οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα.*

32. *Ἢν δὲ καταγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ συνέχηται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ᾖ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον παρά γε τὴν γλῶσσαν πλαγίην ὑπείραντα τοὺς δακτύλους, τὸ δ'*

1 *ὑποκλίνῃ* Ap. 2 *τινα χρὴ* MV *ἰωμένου* pro *τετρ.* Ap. *πάσας τὰς βλάβας οἱ Ἴωνες ὀνομάζουσι κοινῶς τρώματα* (= Gal. comm. p. 443) in m. sup. $B^3$ 3 *ιϛ̄ περὶ ἀμφοτέρων γνάθων ἐξαρθρήσεως* in tit. B *δ'* MV *ἐξαρθρήσουσιν* M 4 *ξυμβ.*, *μ* in ras. l., subest *λα* B *δέ τι* codd., *δ' ἔτι* Erm., *δ' ἧσσον ἔτι* Ap. 5 *γὰρ* om. Ap. *προυπ.* MV *δὲ* pro *αἱ* Ap. 6 *ἀστραβέες* altero quoque loco MV *μάλιστ'* MV 7 *ὁρίοισι* MV 8 *τούτοις* B *τούτοισιν ὡς τ. ξ.* V 9 *ἐμβαλέειν* MV 11 *ξυνεχῶν* MV *μῦες* V ut solet 13 *φιλέει . . . ὑποχωρέειν* codd. *χολώδη* B 14 *ἄκριτα* B *Γ* bis *ἐμέσωσι* B *ἐμέουσιν* MV*Γ* *τοίνυν* pro *οὖν* B*Γ* 16 *ιζ̄ περὶ τῆς κάτω γνάθου καταγίσης* tit. B 17 *ξ.* codd. 17. 18 *ἐγκεκλασμ.* $B^1$, mut. in *ἐγκεκλιμ.* $B^2$, *ἐκκεκλασμ.* MV, *ἐνκεκλιμ.* *Γ* *ᾗ* B, *ἔῃ* MV, *ἡ* *Γ* 19 *γλώσσαν* V *πλαγεῖαν* M, *-γίαν* V *ὑφείραντα* B, *ὑφετεραντα* *Γ* *δὲ* MV

*ἔξωθεν ἀντερείδοντα, ὡς ἂν συμφέρῃ· καὶ ἢν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα καὶ κεκινημένοι, ὅταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μοῦνον τοὺς δύο, ἀλλὰ καὶ ἐπὶ πλείονας, μάλιστα μὲν χρυσίῳ, ἔστ' ἂν κρατυνθῇ τὸ*
148 *ὀστέον, εἰ δὲ μή, λίνῳ· ἔπειτα | ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισι ὀλίγοισι μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσι. εὖ γὰρ εἰδέναι χρή, ὅτι ἐπίδεσις ὀθονίων γνάθου καταγείσης σμικρὰ μὲν ὠφελέοι ἄν, εἰ χρηστῶς ἐπιδέοιτο, μεγάλα δὲ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. πυκνὰ δὲ παρὰ τὴν γλῶσσαν ἐσματεῖσθαι χρὴ καὶ πολὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐγκλιθέν· ἄριστον δ' εἰ αἰεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε.*

33. *Ἢν δὲ ἀποκαυλισθῇ παντάπασιν τὸ ὀστέον — ὀλιγάκις δὲ τοῦτο γίνεται —, κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως ὡς εἴρηται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς πρόσθεν εἴρηται· μέγα γὰρ ἂν συλλαμβάνοι ἐς τὸ ἀτρεμεῖν· προσέτι καὶ ἤν τις*

1 *ἀντερείδειν* MV *ξυμφ.* MV *κῆν* MV *καὶ ἢν . . . χαλαρ.* (8) om. *Γ* 2 *καὶ* om. MV *ὁκόταν* MV 4 *μόν.* codd., *μοῦν* Pq. *ἐπὶ* om. MV 4. 5 *πλέονας* MV 5 *χρυσῷ* B *εὖτ'* pro *ἔστ'* V *κρατηθῇ* M 6. 7 *σπληνεασιν* B, *σπλήνεσι* M post *σπλ.* add. *ὀλίγοισι* MV 7 *καὶ ὀθ. ὀλ.* i. m. $M^2$ *ὀθονίοισιν* MV 8 *χαλαροῖσιν* $M^2$V 9 *γνάθῳ καταγείσῃ μ.* codd., *-ου -σης μ.* *Γ* *μικρὰν* M *ἂν ὠφ.* MV 10 *μέγαλα . . . ἐπιδ.* om. $M^1$, add. in m. $M^2$ *δ'* MV 11 *πυκινα* *Γ* *ἐσματέεσθαι* B, *ἐσμάττεσθαι* *Γ* Gal. in comm. vulg. *οἷον ἐν βάθει ζητεῖν σημαίνει, τὸ δὲ ἐσματέεσθαι τὸ ἐν βαθεῖ ζητεῖν* i. m. $B^3$, *ἀντὶ τοῦ ζητεῖν καὶ ψηλαφᾶν* i. m. inf. 11. 12 *πολῦν* V ut saepius 12. 13 *τὸ ὀστέου* $Γ^1$, mut. in *τοῦ ὀ.* man. 2 13 *ἐνκλ.* B*Γ*, *ἐκλυθέν* V *ἄριστον . . . γεγραμμένων* (151, 4) om. *Γ* *δει* $B^1$, *δὲ εἰ* $B^2$ cet. *εἰ* om. V *ἀεὶ* MV 14 *οὐχ'* ut solet V *οἴονται* B 15 *ιη ἐαν ἀποκαυλισθη το ὀστεον τῆς κατω γνάθου* tit. B *παντάπασι* MV 17 *ὥσπερ* MV 18 *ἔμπροσθεν* MV 19 *ἂν* ss. $B^2$ *συνλαμβάνοιεν* B *τὸ ἀτρεμέειν* B, *τὴν ἀτρεμίην* MV

ὀρθῶς ζεύξῃ ὥσπερ χρὴ τὰς ἀρχὰς ῥάψας. ἀλλὰ γὰρ οὐ ῥηίδιον χειρουργίην πᾶσαν ἐν γραφῇ διηγεῖσθαι, ἀλλὰ καὶ αὐτὸν ὑποτοπεῖσθαι χρὴ ἐκ | τῶν γεγραμμέ- 150
νων. ἔπειτα χρὴ δέρματος Καρχηδονίου, ἢν μὲν νεώτερος ᾖ ὁ τρωθείς, ἀρκεῖ τῷ λοπῷ χρῆσθαι, ἢν δὲ τελειότερος ᾖ, αὐτῷ τῷ δέρματι· ταμόντα δὲ χρὴ εὖρος ὡς τριδάκτυλον ἢ ὅπως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον — εὐμενέστερον γὰρ κόλλης — προσκολλῆσαι τὸ δέρμα ἄκρον πρὸς τῆς γνάθου τὸ ἀποκεκαυλισμένον ἀπολείποντα ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμάς, ὡς ἀμφιβεβήκῃ ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου, ἀπολείποντα καὶ τοῦτον ἀπὸ τοῦ τρώματος, ὅσον περ ὁ ἕτερος ἀπέλιπεν· ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν· ἀποξέες δὲ ἔστωσαν οἱ ἱμάντες ἀμφὶ τὴν συναφήν[, ἔνθα συνάπτεσθαί τε καὶ συνδεῖσθαι χρὴ τὰ πέρατα τῶν ἱμάντων]· ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως. ἔπειτα κατατεί-

1 ζεύξει B ῥαφὰς BM, ἀρχὰς V, γρ. τὰς ἀρχὰς i. m. M 2 ἐν γρ. χ. π. ἀτρέκεως διηγέεσθαι MV ἐπιγραφῇ $B^1$, ἐπι del. $B^3$ et adscr. ἐν ἀτρ. om. $B^1$, ss. post διηγ. $B^3$ 3 ἀλλ' ὑποπ. M, ἀλλὰ καὶ αὐτὸν i. m. ab ead. m. ὑποτυπέεσθαι codd., ὑποτοπ. Litt. ex Erot. et Schneideri lex. 4. 5 νηπιώτερος MV 5 ἔῃ MV ἀρκέει MV λοιπῷ BMΓ Gal., λέπει ss. $B^3$ χρέε. MV 6 ἔῃ MV ταμόντα . . . περίβασιν (17) om. Γ ταμνοντα B 7 ὅκως MV ἁρμόζειν B κόμι M 8 κόλλῃ MV 9 τὸ δέρμα BMV, τὴν δέριν vulg., τ. δέρριν E, varia lectio Severini, Erm. 9. 10 ἐκκεκαυλ. V 12 δὲ om. B, δ' V ἐν τῶ μην B ἶξ. V ut solet 16 ἀπέλειπεν BMV, -λιπ- rel. codd. 18 δ' V ξ. codd. ἔνθα . . . ἱμάντων om. codd. (praeter Par. O et Γ) Litt. Erm. 19 χρῇ Γ εἰς pro χρὴ O 20—21 χρώματος B, μα punctis inclusum ἐχεκολλώτ. BΓ

152 *ναντα καὶ τοῦτον χρὴ τὸν ἱμάντα, μᾶλλον δέ | τι τὸν
παρὰ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀπομυλλαίνῃ ἡ
γνάθος, συνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφήν, καὶ
ἔπειτα περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι καὶ κατά-
βλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἂν ἀτρεμέῃ τὰ
δεσμά. τὴν δὲ κατάκλισιν ποιείσθω ἐπὶ τὴν ὑγιᾶ
γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ.
ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερέων δέκα, ἔπειτα*
154 *ἀνατρέφειν | μὴ βραδέως· ἢν γὰρ ἐν τῇσι πρώτῃσι
ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσι ἡμέρῃσι ἡ γνάθος
κρατύνεται· ταχέως γὰρ ἐπιπωροῦται, ὡς καὶ τὰ
ἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ
περὶ σφακελισμῶν τῶν συμπάντων ὀστέων, ἄλλος μα-
κρὸς λόγος λείπεται. αὕτη ἡ διάτασις ἡ ἀπὸ τῶν
κολλημάτων εὐμενὴς καὶ εὐταμίευτος καὶ ἐς πολλὰ καὶ
πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ
μὴ σὺν νόῳ εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί
εἰσι καὶ ἐν γνάθων κατήξεσιν· ἐπιδέουσι γὰρ γνάθον
καταγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς· πᾶσα*

1 *χρὴ* post *κατατ.* MV post *χρὴ* add. *καὶ τῇ καὶ τῇ* V, *γρ. καὶ τηι και τηι* M i. m. *τὸ* Γ$B^{1}$, *ν* ss. $B^{3}$ 2 *περὶ* pro *παρὰ* MV *ὡς ὅτι μ.* del. Erm. *μὴ* om. MV, punctis incl. $B^{2}$ *ἀπομυλαίνῃ* MVΓ, *-νει* B, *μυλαίνῃ: προπεπτώκει* $B^{3}$ i. m. (cf. Gal. glossar. s. v. *προμυλλαίνει*), *μὴ ἀποσμιλαίνειν* Gal. comm. 2. 3 *ἡ γνάθος* del. Erm. 3 ξ. MV post *κορ.* add. *ἀνενεχθέντων*, quod est initium comm. Gal. 3. 4 *κἄπ.* MV *καὶ ἔπ. . . . καταδῆσαι* om. Γ 4 *κατὰ* pro *περὶ* B 5 *ἀνὰν* B, *ἂν* Γ, *ἂν* om. MV *ἀτρεμέῃ* corr. ex *ἀτρεμέα* ut videtur V 6 *τὴν δὲ . . . κακῶς* (19) om. Γ *ποιέε.* MV *ὑγιαν* $B^{1}$, mut. in *ὑγιᾶ* $B^{2}$, *ὑγιέα* MV 8 *ἡμερῶν* BM 9 *πρώτιῃσι* B, *πρώτῃσιν* (*-σι* $M^{1}$) $M^{2}$V 10 ante *μὴ* iterat *ἢν* $B^{3}$ *φλεγ[illegible]νῃ* M *εἴκοσιν* V$M^{2}$ *ἡ* om. BMV, vulgo legitur 11 *ὥσπερ* MV 13 ξ. B, *συμβάντων* V 17 *ξὺν* B *ἀλλοι* (*σ* ss.) in extr. versu B 18 *εἰσι*[illegible] M *γνάθω* B 19 *καὶ κακῶς* punctis inclusit $B^{2}$

γὰρ ἐπίδεσις γνάθου οὕτως καταγείσης ἐγκλίνει τὰ ὀστέα ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον ἢ ἐς τὴν φύσιν ἄγει.

34. Ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ — μούνη δὲ αὕτη σύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστίν, ἐν δὲ τῇ ἄνω πολλαί· ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον, ἐν ἄλλοισι γὰρ εἴδεσι νοσημάτων περὶ τούτων εἴρηται — ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός· τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθεῖν χρὴ ἐς τὸ ἔσω μέρος, προσβάλλοντα τοὺς δακτύλους, τὸ δ' ἔσω ῥέπον ἀντερείδοντ' ὡς ἂν συμφέρῃ ἀνάγειν ἐς τὸ ἔξω μέρος ἐνερείσαντα τοὺς δακτύλους. ἐς διάστασιν μέντοι διατεινάμενον ταῦτα χρὴ ποιεῖν· ῥήιον γὰρ ἐς τὴν φύσιν ἥξει ἢ εἴ τις ἐγχρίμπτοντα ἐς ἄλληλα | τὰ 156 ὀστέα παραναγκάζειν πειρᾶται· τοῦτο παρὰ πάντα τὰ τοιαῦτα [ὑπομνήματα] χαρίεν εἰδέναι. ὁπόταν δὲ κατορθώσῃς, ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν

1 οὕτω MV, καυληδόν ss. B ex Gal. comm. ἐνκλ. B, ἐκκλ. MVΓ Gal. 2 post ὀστ. add. τὰ MV, om. BΓ 4 ἐὰν ἡ κατὰ τὸ γένειον σύμφυσις tit. M i. m. sup. ξυμφυσιν BΓ 5 διασπασθηναι B, ναι punctis incl. B² μόνη B 7 ἀλλ' ... ποιεῖν (14) om. Γ ἄλλοις B 8 εἴδεσιν B ῥητέον MV

8 ΙΘ περι διαστασεως η κατὰ το γενειον γενομένη σύμφυσις tit. B 10 γὰρ ss. V ἔσωθεν B¹, ἐσωθέειν B²MV 11 προσβ., σ add. B² δὲ M 12 εἴσω V, om. M¹, add. M² ἀντ. ὡς ἂν σ. om. MV, αντεριδοντως ἂν ξυμφεριν B, punctis inclus. B² ἀπάγ. BV, ἀνάγειν εἰς τὸ ἔ. μ. i. m. B² 14 διατεινάμενοι MV ποιέειν codd. ῥήι- scripsi, ῥα- codd. 15 ἐὰν ἐγχρίπτ. (τις om.) MV 16 παραναγκάζοι MV post παραν. add. τίς MVΓ παρὰ ... ὀδον. (p. 154, 3) om. Γ πᾶσιν B¹ corr. B³ 17 ὑπομν. iam Littraeo suspectum (aut deleri aut singularem aut κατήγματα vult) uncis inclusi, totam sententiam (τοῦτο ... εἰδέναι) ut emblema alienum sustulit Erm. 17 χαρ. εἰδ. om. B¹, add. B² i. m. χαρίεν N, χάριεν cet. ὀκ. codd. 17. 18 καθορθώσεις B, -θώσῃ MV 18 τοὺς post ὀδ. om. V

*καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν ἤδη εἴρηται. ἰᾶσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοις. ἐπίδεσιν δὲ βραχεῖαν ἢ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσορρόπου ἐστὶν ὡς δὴ μὴ ἰσόρροπον ἐόν· τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιεῖσθαι χρή, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά — ἐπὶ δεξιὰ δὲ νομίζεται, ἢν ἡ δεξιὴ χεὶρ ἡγῆται τῆς ἐπιδέσιος —, ἢν δὲ ἡ ἑτέρη γνάθος ἐκστῇ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν. καὶ ἢν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπατρεμήσῃ*
158 *ὡς χρή, ταχεῖα | μὲν ἡ ἄλθεξις, οἵ τ' ὀδόντες ἀσινέες γίνονται· ἢν δὲ μή, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσι οἱ ὀδόντες καὶ σιναροὶ καὶ ἀχρεῖοι γίνονται.*

35. *Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστι κατήξιος, ἀτὰρ πολλὰ μὲν καὶ ἄλλα λωβῶνται οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα μάλιστα· ἐπιδεσίων τε γὰρ αὕτη ποικι-*

1 *ἤδη* om. MV  2 *ἰῆσθ.* MV  *σπλήνεσι* B  3 *ὀθονίοισιν* MV  *βραχειτινι* pro *βρ. ἢ* B$^1$, mut. in *βραχει*$^{ην}$ B$^3$, *βραχείην* V, *-ειαν* ss. *η* ead. man. M., *βραχειτιν εἰ* pro *βρ. ἢ* *Γ*  4 simplex *δέχεται* Gal. comm. p. 462  *τι* MV*Γ*, om. B  6 *ποιέε.* codd.  *χρὴ* om. MV  7 *ἐξεστήκει* BV  *ἐπὶ δεξιὰ* alt. om. *Γ*  post *νομ.* add. *εἶναι* MVB$^3$, om. B$^1$ *Γ*  8 *δεξιὰ* MV  *ἡγεῖται* B$^1$M, mut. in *προηγηται* B$^3$  9 *ἐξεστήκῃ* MV  *ἢ ποικ., ὡς . . . ἐόν, ἐπὶ δεξιὰ δὲ νομίζεται . . . ἐπιδ., ὡς* ante *ἑτ.* omnia del. Erm.  10 *κἢν* M, *κ' ἢν* V  *κατορθωθῇ τε* Wb.  *καὶ ἢν . . . γίνονται* om. *Γ*  11 *ταχείη* B, *-εία* V  *οἱ δὲ* MV  12 *ἐπὶ* B$^1$, ss. *ἢν* B$^3$  *θελξις* B$^1$ corr. B$^3$  13 *δ'* MV  *ἴσχουσιν* (*ν* add. M$^2$) BM$^2$V  post *οἱ* add. *δὲ* M, post *ὀδ.* add. *δὲ* V  *καὶ* ante *σιν.* om. MV  14 *ἀχρήϊοι* MV  *γίγν.* B  15 *περὶ ῥινὸς καταγείσης* i. t. B*Γ*, *ἐὰν ἡ ῥὶς καταγῆι* tit. in m. sup.  16 *λωβέονται* B  17 *καλῇσιν* M$^2$V  *ἄνευ . . . μάλ.* om. *Γ*  18 *ῥίνα* ut solet V

*λωτάτη καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαρρωγὰς δὲ καὶ διαλάμψιας ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται, οἱ τὴν ἀνόητον εὐχειρίην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς κατηγυίης ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην ἢ δύο ἀγάλλεται ὁ ἰητρός, χαίρει δὲ ὁ ἐπιδεδεμένος· ἔπειτα ταχέως μὲν ὁ ἐπιδεδεμένος κορίσκεται· ἀσηρὸν γὰρ τὸ φόρημα· ἀρκεῖ δὲ τῷ ἰητρῷ, ἐπειδὴ ἐπέδειξεν, ὅτι ἐπίσταται ποικίλως ῥῖνα ἐπιδεῖν. ποιεῖ δὲ ἡ ἐπί-* 160
*δεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος· τοῦτο μὲν γάρ, ὅσοι σιμοῦνται διὰ τὴν κάτηξιν, δηλονότι εἰ ἄνωθέν τις πιέζοι, σιμώτεροι ἂν ἔτι εἶεν· τοῦτο δέ, ὅσοισι παραστρέφεται ἢ ἔνθα ἢ ἔνθα ἡ ῥὶς ἢ κατὰ τὸν χόνδρον ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον· οὐχ οὕτω γὰρ εὖ συναρμόσει σπλήνεσι τὸ ἐπὶ θάτερον τῆς ῥινός· καίτοι οὐδὲ τοῦτο ποιέουσι οἱ ἐπιδέοντες.*

36. *Ἄγχιστα δ' ἐπίδεσίς μοι δοκεῖ ἄν τι ποιεῖν, εἰ κατὰ μέσην τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ*

1. 2 *σκεπ.*, *ε* in ras. M *διαρεωγὰς* B[1] corr. B[2]*Γ*, *διαρωγὰς* M 2 *γε* pro *δὲ* B*Γ* *διαλάμψ.* BAp., *διαλείψ.* MV, B[3] i. m. *καὶ διαλ.* om. Erm. *ποικ.* om. *Γ* ante *τοῦ* add. *τουτου* punctis inclus. B 3 *ὡς . . . μᾶλλον* (15) om. *Γ* 3. 4 *ἐγχειρ.* B 4 *κατεγυης* B 5 *ἐπιδήσωσιν*, *σω* in ras., M *ἢ* om. B[1], adscr. B[3] 6 post *δὲ* erat *καί*, erasum M *ἔπειτα . . . ἐπιδεδ.* om. M[1], add. i. m. M[2] 8 *φρόνημα* B[1]MV, *φόρ.* B[3] vulg. *ἀρκέει* codd. *τε* B *ἐπιδέειν* M 9 *ποιέει* codd. 11 *ὁκόσοι* MV *διὰ τ. κ. δ.* om. Erm. 12 *σιμότ.* B *ἔτι ἂν* V 14 *ἢ καὶ* MV *ἢ ἀνωτ. δ. ὅ.* om. Erm. *δ. ὅτι ὅτι* M *ἐπιδεεις* B[1], corr. B[3] 15 *ὠφελίσειεν* B 16 *οὕτως* B*Γ* *εὐεξαρμοσις* B, *ἐξαρμόσει* MV, *συνεξαρμοσεις· πλην εἰς το Γ* *συναρμ.* vulg., *εὖ ξυναρμ.* Litt. 17 *καίτοι . . . ἐπιδέοντες* om. *Γ* *ποιέουσιν* MV 18 ad *ἄγχ.* i. m. *ἔγγιστα* B[2] (ex Erot.) *δὲ* MV*Γ* *ἡ ἐπίδ.* MV *δοκέει* BV*Γ*, scripsi *-εῖ*, *δοκέσει* M *ἄν τί π. Γ*, *ἀντιποιέειν* BMV 19 *ἀμφιθλασθ. Γ* (*περίθλασις* Gal. comm. 468)

*σὰρξ κατὰ τὸ ὀστέον ἢ εἰ καὶ τὸ ὀστέον σμικρόν τι σίνος ἔχοι καὶ μὴ μέγα· τοῖσι γὰρ τοιούτοισιν ἐπιπώρωμα ἴσχει ἡ ῥὶς καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου δεῖται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδεῖν. ἀρκεῖ δὲ ἐπὶ μὲν τὸ φλάσμα σπληνίον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδεῖται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβάλλειν. ἀρίστη μέντοι ἰητρείη τῷ ἀλήτῳ τῷ σιτανίῳ τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ ὀλίγῳ |*
162 *καταπλάσσειν τὸ τοιοῦτο. χρὴ δέ, ἢν μὲν ἀγαθῶν ᾖ τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, αὐτῷ χρῆσθαι ἐς πάντα τὰ τοιαῦτα· ἢν δὲ μὴ πάνυ ὅλκιμον ᾖ, [πρὸς] ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην διέντα, τούτῳ φυρᾶν τὸ ἄλητον ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν.*

37. *Ὁπόσοισι μὲν ῥὶς ἐς τὸ κάτω καὶ ἐς τὸ σιμὸν ῥέπουσα καταγῇ, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τ' ἐστὶ καὶ ἐντιθέναι*

1 *κατὰ τ. ὀ.* BMV, *ἀμφιπρόσθοστεον* Γ *εἰ* om. MV *μικρόν τίσιν εἴη* MV, *σμ.* (*μ.* Γ) *τισιν ὡς ἔχ.* BΓ 2 *ἔχει* B, *-οι* Γ *τοιούτοισι* B$M^{1}$, *ν* add. $M^{2}$ 3 *ὀκριοδεστέρη* $B^{1}$Γ, *ει* ss. $B^{3}$, *ὀξυτέρη* i. m. $B^{2}$, *ὀκριωειδ.* MV *τινὶ* om. $B^{1}$, ss. $B^{3}$ *γεν.* $B^{1}$, mut. in *γίν.* $B^{3}$ 4 *ἀλλ' . . . ἐπιδεῖν* om. Γ *δέεται* codd. 5 *δή* mut. in *δὲ* $B^{3}$ *δὴ* pro *δεῖ* B *ἐπιδέειν* MV *ἀρκέει* codd. 7 *ἐπὶ* V *δυοιν* Γ *ἐπιδέεται* MV 8 *περιβαλέειν* MV *ἰητρίη* BΓ post *ἰητρ.* add. *ἡ* M, *ᾖ* V *ἀλητόν* tit. in latere M 9 *σητ.* BV, ss. *οἱ δημηγιται* (*διμηνιαῖοι*? Gal. comm. 470) $B^{3}$ 10 *τὸ τοιοῦτω* B, ss. *ν* $B^{3}$, *τὰ τοιαῦτα* MV, *το τοιουτο* Γ *ἢ* $B^{1}$, *ν* ss. $B^{3}$ 11 *πυρῶν* corr. ex *πλευρῶν* (?) M *εὐόλκιμον* tit. i. m. M *τοῦτο* M, *τούτῳ* V, *αὐτο* Γ *χρέε.* MV 12 *ᾖ* post *ὅλκ.* om. V 13 ante *ὀλ.* add. *πρὸς* (genitivus videtur subesse) BΓ, *ἐς* MV, del. Litt. Erm. *ὀλίγον* Γ *μαννᾶν* tit. i. m. M 14 *τοῦτο* MV 16 *ὀκ.* codd., *ὀκόσοισι . . . ἐνδέχ.* (p. 157, 3) om. Γ post *μὲν* add. *οὖν* MV 18 *ἵζ.* $B^{1}$, *καθίζηται* i. m. $B^{2}$ *τ' ἐστι* B, *τέ τι* MV

διόρθωμα ἐς τοὺς μυκτῆρας· ἢν δὲ μή, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται· ἢν δὲ μή, παχὺ ὑπάλειπτρον | μὴ ἐς τοὔμπροσθεν τῆς ῥινὸς ἀνάγοντα 164 τοῖσι δακτύλοισι, ἀλλ' ᾗ ἵδρυται, ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω. καὶ εἰ μὲν πάνυ ἐν τῷ ἔμπροσθεν τὸ κάτηγμα εἴη, οἷόν τέ τι καὶ ἔσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται, ἢ ἄχνην τὴν ἀφ' ἡμιτυβίου ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ ἐνειλίσσοντα, μᾶλλον δὲ ἐν Καρχηδονίῳ δέρματι ἐρράψαντα, σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα τῷ χωρίῳ, ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε ἔσω ἐντιθέναι· καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω; τὸ μὲν οὖν πρῶτον καὶ ἔξωθεν ἀναπλάσασθαι καὶ ἔσωθεν ἀφειδήσαντα χρὴ ἀναγαγεῖν ἐς τὴν ἀρχαίην φύσιν καὶ διορθώσασθαι. κάρτα γὰρ οἵη τε ῥὶς καταγεῖσα ἀναπλάσασθαι, μάλιστα μὲν

1 εἴς M 3 ἐντιθέντας B δέχηται B εἰ V 3. 4 ὑπάλιπτ. BΓ 4 τὸ ἔμπ. MV ἀπάγ. MV 5 τοῖς B δακτύλοισιν MV$^2$ ἔξωθεν . . . εἰσιν (c. 39 extr.) om. Γ 6 τοῖς B 7 ἀναφέρ. vulg., ἀναγκάζειν BMV 8 ἢ pro εἰ B ἔη pro εἴη MV 9 εἴσω MV δὴ B 10 ἢ ante ἄχν. om. MV ad ἄχνην add. i. m. ὀθονίου ξύσμα B$^2$ ἀμφημιτυβίου V, ἡμιτυβ., υ in ras., et ἡμιτύβιον λινοῦν ἔνδυμα ἢ σινδόνιον δίκροσσον i. m. M (cf. Erot. 10, 15 Kl.) τι om. B$^1$, ss. B$^2$ 11 ἐν om. B ἐλίσσ. MV 11. 12 καρχηδονίου B, χαλκηδονίω V, ἢ χαλκη super καρχ. ss. M$^2$ 12 ἐνρ. B σχηματ. τὸ ἁρμ. om. B ἁρμόσον V, ἁρμοστὸν Wb. 13 ἐνκ. B, ἐγκίσσεται M, γρ. καὶ ἐγκείσεται i. m. M καὶ pro ἵνα V 14 εἴσω MV, ἔσω N$^1$, om. B$^1$, ss. εἴσω B$^3$ 15 φρόνημα V 17 ἀναπλάσσεσθαι MV ἀφιδ. B et i. m. σημ. μὴ λαβεῖν φειδώ B$^3$ ἀνάγειν MV 18 ἀρχαίαν MV διαρθρώσασθαι MV 19 κατηγ. B ἀναπλάσσεσθαι MV

*αὐθήμερος, εἰ δὲ μή, ὀλίγῳ ὕστερον· ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή· παραβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν τοὺς κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω*
166 *μάλιστα ἀνορθοῦντα σὺν τῇ ἔσωθεν διορθώσει. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, εἰ ἐθέλοι καὶ μελετᾶν καὶ τολμᾶν, ὡς οἱ δάκτυλοι αὐτοῦ οἱ λιχανοί· οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσιν. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα ἡσύχως οὕτως ἔχειν, μάλιστα μέν, εἰ οἷόν τε εἴη αἰεί, ἔστ' ἂν κρατυνθῇ, εἰ δὲ μή, ὡς πλεῖστον χρόνον αὐτόν, ὡς εἴρηται· εἰ δὲ μή, ἢ παῖδα ἢ γυναῖκά τινα· μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι. οὕτως γὰρ ἂν κάλλιστα ἰητρευθείη, ὁτέῳ ἡ ῥὶς μὴ ἐς τὸ σκολιόν, ἀλλὰ ἐς τὸ κάτω ἱδρυμένη ἰσόρροπος εἴη. ἐγὼ μὲν οὖν οὐδεμίαν πω ῥῖνα εἶδον, ἥτις οὕτω καταγεῖσα οὐχ οἵη τε διορθωθῆναι αὐτίκα πρὶν πωρωθῆναι ἐγένετο συναναγκαζομένη, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλὰ γὰρ οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀποτιμῶσι, μελετᾶν δὲ ἅμα μὲν*

1 *αὐθήμερος* MVB[1], mut. in *-ων* B[3], *-ον* NPq. 4 *χρὴ* punctis circumdatum B *τοὺς* ante *κατὰ* om. MV *τὴν* om. B 5 *κατω τω* B, *τά* ss. B[3] *κάτωθεν* punctis circumdedit B[3] *ξυναγκ.* B, *αν* ss. B[3], *καταναγκ.* V *οὕτωσ* B 6 *ἀνορθοῦντα* Wb., *-ται* BMV, *-οῦται* Litt. ex varia lectione Severini, *-οῦσθαι* Pq. post *διορθ.* add. *διορθοῦνται* MV 7 *ἔστη* B 8 *ἠθέλοι* pro *εἰ ἐθ.* B *καὶ* ante *μελ.* om. MV *οἱ αὐτοῦ δάκτ.* MV 10 *εἰσι* MV 11 *ἐρείδονται* B 13 *εἰ δὲ μὴ . . . εἴρηται* punctis incl. B[3] 14 *ἢ* post *μὴ* om. B *δεῖ τ. χ. εἶναι* V 15 *ὡς* pro *γὰρ* MV *κάλιστα* B, *μάλ.* V 16 ante *ὁτέῳ* add. *η* BM *κοῖλον* pro *σκ.* V 17 *οὐδὲ μίαν* V 18 *οὕτως* B *κατεαγ.* M *διαρθρωθῆναι* MV 19 *ξ(σ M)αναγκ ἐγ.* BM 20 *ἐθ. ὀρθ.* V *ἀλλ' οἱ* (*γὰρ* om.) MV 21 *ἀποτιμῶσι* B[1], mut. in *-ῶνται* B[2]

*οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμῶσιν, ἢν μὴ ὀδυνῶνται ἢ θάνατον δεδοίκωσι. καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός, ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ.*

38. *Ὁπόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται, ἡ μὲν ἴησις ἡ αὐτή· τὴν δὲ διόρθωσιν δηλονότι χρὴ ποιεῖσθαι οὐκ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τό τε ἐγκεκλιμένον ὠθεῖν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα, καὶ ἐσματευόμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ ἔσω ῥέψαντα διορθοῦν ἀόκνως, ἔστ' ἂν κατορ|θώσῃς, εὖ* 168
*εἰδότα ὅτι, ἢν μὴ αὐτίκα κατορθώσῃς, οὐχ οἷόν τε μὴ οὐχὶ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβάλλοντα χρὴ ἐς τὸ χωρίον τοὺς δακτύλους ἢ τὸν ἕνα δάκτυλον, ᾗ ἐξέσχεν, ἀνακωχεῖν ἢ αὐτὸν ἢ ἄλλον τινά, ἔστ' ἂν κρατυνθῇ τὸ τρῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν σμικρὸν δάκτυλον ἀπωθέοντα ἄλλοτε καὶ ἄλλοτε διορθοῦν χρὴ τὰ ἐγκλιθέντα. ὅ τι δ' ἂν φλεγμονῆς ὑπογίνηται τούτοισι, δεῖ τῷ σταιτὶ χρῆσθαι· τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ καὶ τοῦ σταιτὸς ἐπικειμένου ὁμοίως. ἢν δὲ κατὰ τὸν χόνδρον πῃ ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα*

1 *τολμέωσι(ν²)* M, *-έουσιν* V *ὀδυνέωνται* V 2 *δεδοίκασι* V 4 *κα* *περὶ ρινος εσ τὸ πλαγιον καταγεισης* tit. B *ὁκ.* codd. 5 *αὕτη* pro *ἡ αὐτὴ* MV 6 *ποιέε.* codd. 7 *ἐκκεκλ.* MV *ὠθῆν* B, *-έειν* MV, scripsi *-εῖν* *ἔκτοθεν* BM 9 *εἴσω* BMV *ῥεύσ.* M *κατορθώσῃ* $B^1$M, *-σῃς* $B^2$V 10 *κατορθώσῃ* $B^1$, *-σῃς* $B^2$, *-σηται* MV *οἷ|οντα* $B^1$, *-τες* $B^2$ 11 *ἀγάγῃ* M, ς add. $M^2$ 12 *προσβαλόντα* V ante *τοὺς* add. *ἢ* MV$B^3$ 13 *ἀνακωχέειν* BMV, scripsi *-εῖν*, *ἀναπιέζειν* i. m. $B^2$ 13. 14 *ἢ αὐτὸν* om. in verbis, add. i. m. $M^1$ 15 *μικρὸν* MV 16 *ἐκριθ.* M, *ἐκκριθ.* V, *ἐκκλιθ.* Erm. 17 *ὑπογίνεται* B *ἐν ἄλλῳ τουτέοισι τῶιτ' ἐστι χρῆσθαι· τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ καὶ τοῦ στέατος* i. m. $M^2$ 18 *χρέε.* MV *μεντοις* $B^1$, ς del man. post. post *δακτ.* add. *οι* $B^1$, del. man., ut videtur, 3

19 *ὁμοίως* positum post *χρὴ* MV *κβ* *περὶ ρινος καταγείσης κατα τὸν χονδρον* tit. B 20 *πῃ* B, *πῆ* V *καταγει* B

*ἄκρην παρεστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισιν ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων ἢ ὅ τι τούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ' ἄν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀδμὴν ἔχει ἄλλως τε προσηνέα ἐστίν. ἔγωγέ ποτε πλεύμονος προβάτου ἀπότμημα ἐνέθηκα· τοῦτο γάρ πως παρέτυχεν. οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται· ἔπειτα χρὴ Καρχηδονίου λοπὸν πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον ἢ ὅπως ἂν συμφέρῃ προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον· ἔπειτα κατατεῖναι*
170 *τὸν ἱμάντα ὅπως ἂν συμφέρῃ. | μᾶλλον δὲ ὀλίγῳ τείνειν χρή, ἢ ὥστε ὀρθὴν καὶ ἀπαρτητὴν τὴν ῥῖνα εἶναι. ἔπειτα — μακρὸς μὲν ἔστω ὁ ἱμάς — ἐς τὰ κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν ἀναγαγεῖν· περὶ τὴν κεφαλήν· καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος, ἔξεστι δὲ καὶ μακρότερον ἐπιπεριελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον καὶ μᾶλλον ἢν ἐθέλῃ καὶ ἧσσον τὴν ἀντιρροπὴν ποιῆσαι*

1 ante *τοῖσι* add. *του* B¹, mut. in *τούτουσι* B³ *τοιούτοισι* M¹, *ν* add. M² 3 *τούτοισι* M¹, *ν* add. M² 4 *ὀδμὴ* MV *ἴσχει* MV ante *ἄλλως* add. *μήτε* B¹MV, punctis circumd. B³ post *τε* ss. *καὶ* B³ 5 *ἐστί* MV *ἐγὼ δὲ* B (corr. ead. m.) MV 6 *ἐνέθηκα* postea, ut videtur, inseruit M 8 *λοιπον* B¹, mut. in *λόπος* vel *λέπος* B², ss. *δέρματος* B³, *δέρματος* recep. Litt. Erm. Pq. ex Parisino N, qui vocem praebet cum linea subiecta, *λόπον* V 9 *ὁκοσά*ᵛ B, ss. B³, *ὅκως ἂν* cet. *ξυμφ.* MV *ἔκτοθεν* BV 10 *ἐκκεκλ.* MV *κἄπ.* MV 11 *ὅκ.* codd. *ξυμφ.* MV 12 *ἢ* B¹, Litt. ex Vido Vidio, punctis inclusit B², om. MV *ὀρθὴ* B, *ν* adscr. B³ *ἀπαρτῆ* BM, *ἀπαντῆ* V, *ἀπαρτητὴν* pro *ἀπ. τὴν* Parr. EIJ, *ἀπαρτὶ* pro *καὶ ἀπ.* Erm. *δεῖν* ante *εἶναι* add. B 13 *γὰρ* pro *μὲν* MV *εἰ* (*ἐς* Wb.) *τα* ante *κάτωθεν* add. B, om. cet. 14 ante *αὐτὸν* add. *τὸν* B 15 *ἔξεστην* B 16 *καὶ* ante *μακρ.* om. BMV, rec. Litt. ex varia lectione Sever. post *μακρ.* add. *ἄγειν* MV, om. B 19 *τὴν* om. V *ἀντιρροπίην* BM *ποιήσασθαι* V

*τῆς ῥινός. ἀτὰρ καὶ ὁπόσοισι ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ ὡς προείρηται· προσδεῖται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολληθῆναι τῆς ἀντιρροπῆς εἵνεκα.*

39. *Ὅσοισι δὲ σὺν κατήξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο, ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν ἢ τῶν ἐναίμων τι· εὐαλθέα γὰρ τῶν τοιούτων τὰ πλεῖστά ἐστι, ὁμοίως καὶ ἢν ὀστέα μέλλῃ ἀπιέναι. τὴν δὲ διόρθωσιν τὴν πρώτην ἀόκνως χρὴ ποιεῖσθαι μηδὲν ἐπιλείποντα καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισιν ἐν τοῖσιν ἔπειτα χρόνοις, χαλαρωτέροισι μὲν | χρεώμενον, χρεώμενον δέ· εὐ-* 172
*πλαστότατον γὰρ παντὸς τοῦ σώματος ἡ ῥίς ἐστιν. τῶν δὲ ἱμάντων τῇ κολλήσει καὶ ἀντιρροπῇ παντάπασιν οὐδὲν κωλύει χρῆσθαι, οὔτ' ἢν ἕλκος ᾖ οὔτ' ἢν ἐπιφλεγμήνῃ· ἀλυπόταται γάρ εἰσιν.*

40. *Ἢν δὲ οὖς καταγῇ, ἐπιδέσιες μὲν πᾶσαι πολέμιαι· οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλει· ἢν δὲ μᾶλλον πιέσῃ, πλέον κακὸν ἐργάσεται, ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν ὀδυνηρὸν καὶ σφυγμῶδες καὶ πυρετῶδες γίνεται. ἀτὰρ καὶ ἐπιπλάσματα κάκιστα*

1 *ὁκ.* codd. 2 *πρόσθεν εἴρηται* MV 3 *προσδέεται* codd. *τὸν ἱμάντα* Erm. 4 *προσκολλῆσαι* MV *ἀντιρροπίης* MV 5 *κγ̄ περὶ ρινος καταγείσης συν ἕλκεσιν* tit. B *ὁκόσ.* B ante *κατ.* add. *τῇ* MV 7 ante *πισσ.* add. *ἢ* MV ad *εὐαλθέα* adscr. i. m. *εὐθεραπευτα* B$^2$ 8 *τὰ τοιαῦτα· ὁμοίως κἢν* MV 9 *τήν τε δ.* MV 10 *ποιέε.* codd. 11 *τοῖς* B *τῷ ἐπ. χρόνῳ* MV 12 *χρεόμ.* bis MV *τὸν δὲ* pro *χρεώμ. δὲ* B$^1$, punctis incl. B$^2$ 13 post *γὰρ* add. *τοι* M, *τι* V *ἐστι* MV 14 *ἀντιρροπίῃ* MV 15 *οὔτε* B *ᾖ* om. B 16 *ἀλύπητοι* MV, *γρ. καὶ ἀλυπώταται* i. m. M 17 *περὶ ὠτος καταγέντος* tit., *ἐπιδ.—γίν.* om. *Γ* 18 *περιβάλλοι* M, *-βάλῃ* V, ⟨*ἄν*⟩ *τις χ. περιβάλλοι* Erm. 19 *πιέζῃ* MV *πλεῖον* B 20 *ἐπιδέσι* B$^1$, *-σει* B$^3$ *σφυγματῶδες* MV 21 ante *ἐπιπλ.* add. *τὰ* M

*μὲν τὰ βαρύτατα τὸ ἐπίπαν· ἀτὰρ καὶ τὰ πλεῖστα φλαῦρα καὶ ἀποστατικὰ καὶ μύξαν τε ὑποποιεῖ καὶ ἔπειτα ἐκπυήσιας ἀσηράς· τούτων δὲ ἥκιστα οὖς καταγὲν προσδεῖται· ἄγχιστα μήν, εἴ περ χρή, τὸ χλίσχρον ἄλητον· χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν. ψαύειν δὲ ὡς ἥκιστα συμφέρει· ἀγαθὸν γὰρ φάρμακόν ἐστιν ἐνίοτε καὶ τὸ μηδὲν προσφέρειν καὶ πρὸς οὖς καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ καὶ τὴν ἐπικοίμησιν φυλάσσεσθαι· ἰσχναίνειν δὲ τὸ σῶμα, ᾧ ἂν κίνδυνος ᾖ ἔμπυον τὸ οὖς γενέσθαι· ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην· ἢν δὲ*
174 *καὶ εὐεμέτης | ᾖ, καὶ ἐμεῖν ἀπὸ συρμαϊσμοῦ. ἢν δὲ ἐς ἐκπύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν· πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυεῖν ἀναπίνεταί ποτε, κἢν μηδέν τις καταπλάσῃ. ἢν δὲ ἀναγκασθῇ στομῶσαι, τάχιστα μὲν ὑγιὲς γίνεται, ἤν τις πέρην διακαύσῃ· εἰδέναι μέντοι χρὴ σαφῶς ὅτι κυλλόν ἔσται τὸ οὖς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ. ἢν δὲ μὴ πέρην καίηται, τάμνειν χρὴ τὸ μετέωρον μὴ πάνυ σμικρὴν τομήν· διὰ παχυτέρου μὴν καὶ τὸ πῦον εὑρίσκεται ἢ ὡς ἄν τις δοκέοι· ὡς δ' ἐν κεφαλαίῳ*

1 *τὸ* ΓB[2], om. BMV 2 *μῦξάν* V *ὑποποιέει* codd. post *ὑποπ.* add. *πλείω* MV 2. 3 *κἄπ.* MV 3 ante *ἐκπ.* add. *καὶ Γ* *τούτων . . . προσδ.* om. *Γ* *οὖς ἥκ.* MV 3. 4 *κατηγὲν* B 4 *προσδεέ.* codd. 5 *χρὴ δὲ . . . κοιλίην* (10) om. *Γ* 6 *ξυμφ.* MV 9 *ὧν* B *ἔῃ* MV 11 *εὐημετης* B*Γ*, *εὐήμετος* MV, scripsi *εὐεμ.* *ᾖ* om. B[1]*Γ*, ss. B[3], *ἔῃ* cet. *ἐμέειν* codd. ante *ἀπὸ* add. *καὶ* B*Γ* *συρμεσμους Γ* (cf. *συρμεσμοὺς* Gal. comm. p. 484), *συρμαισμοὺς* B et *τὰς μετρίας κενώσεις οἱ παλαιοί* (ex Gal. comm. l. l.) i. m. sup. B[3] 12 *ἐμπ.* *ἔλθοι* (η ss.) M 13 *δὲ* pro *γὰρ Γ* *δοκούντ.* B *ἐκπιεῖν* B, *-πυέειν* MV, *-ποιεειν Γ* *κῆν* (αι ss.) B, ss. B[3], *καὶ ἢν Γ* 14 *μηδέπω Γ* *καταπλασση Γ* 15 *τάχισται Γ* 16 *σαφα Γ* 17 *ἢν π. διακαυθῇ* om. *Γ* 18 *χρὴ . . . τομήν* om. *Γ* 19 *μικ.* MV *πύον* V 20 *δοκέει* B, *-κέῃ* V

εἰρῆσθαι καὶ τἄλλα πάντα τὰ μυξώδεα καὶ μυξοποιά· ἅτε γὰρ γλίσχρα ἐόντα ὑποθιγγανόμενα διολισθάνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα. διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ ἢ ὡς οἴονται· ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια, ὅσα ἂν πλαδαρὰ ᾖ καὶ μυξώδεα σάρκα ἔχῃ, πολλοὶ στομοῦσιν οἰόμενοι ῥεῦμα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται· τῷ δὲ πρήγματι τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. ὅσα δ' ὑδατώδεα χωρία ἐστὶν ἢ μύξης πεπληρωμένα καὶ ἐν οἵοισι χωρίοισι ἕκαστα θάνατον φέρει στομούμενα ἢ καὶ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης δὲ μοτώσιος ἀπέχεσθαι χρή· ἰητρεύειν | δὲ 176 ἐναίμῳ ἢ ἄλλῳ τῳ, ὅ τι μήτε βάρος μήτε πόνον παρασχήσει· ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ἴσχῃ ὀχλώδεας, μοχθηρόν· γίνεται δὲ ταῦτα δι' ἐκείνας τὰς ἰήσιας. πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

1 τἆλλα V τὰ om. B[1] (add. B[2]) Γ μυξαπ[οι]ύα M 2 γὰρ om. MV διολισθαίνει B, διολιστάνει Γ 4 εὑρίσκουσιν οἱ ἰ. τὰ τ. V οἱ om. B 5 ἢ om. Γ οἷόν τε ᾖ V ἔνι V 6 ᾖη B, ἔῃ MV, εἴη Γ σάρκας B σάρκα . . . γεγράψ. (12) om. Γ ἔχει B, ἐχ[η]ει M 7 ἐς τὰ τοιαῦτα del. Erm. 9 γὰρ pro δ' B 10 οἷσι B 10. 11 χωρίοισιν V 11 κατὰ pro καὶ MV 13 τίς ταμη τὸ Γ οὖν pro μὲν Γ 15 ἐναίμοις MV τῳ vulg., om. BMVΓ 15. 16 παρασχῃ Γ 16. 17 ὅτε γὰρ . . . ἴσχει Gal. comm. 490 17 ἀποστ. B
δυσθεραπευτον
ἴ. ὠχολωδεας μ. B[1], ἴ. ὠχλωδες καὶ μ. B[2], ἴ. πυρώδεας ἢ χολώδεας ὄχληρόν MV, ἰσχηὀχλωδε . . . σμοχθ. Γ post ὑποστ. add. ὑγρῶν Gal. comm. 490 τοῦτο MV 18 ἰασ. MV πάντων . . . αὔταρκ. om. Γ 19 ἡ[ν] B, ν ss. m. 3

41. *Σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, οἷσι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κυφόν, τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, ποτὶ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται. τῶν δὲ κατωτέρων μετεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δ' ἔτι ἐγγενόμενοι κιρσοὶ ἐν τῇ κατὰ ἰγνύην φλεβί·*
178 *[οἷς ἂν τὰ | κυφώματα λύηται] ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα. ἤδη δέ τισιν ἔλυσε καὶ δυσεντερίη πολυχρόνιος γενομένη. καὶ ὅσοισι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσιν, πρὶν ἢ τὸ σῶμα τελεωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ συναύξεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελεοῦνται· ταῦτα δὲ ἐνδεέστερα γίνεται· καὶ ὅσοισι μὲν ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κυφόν, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν τό τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ, αὐτοί τε δύσπνοοι γίνονται καὶ κερχώδεες· ἧσσον γὰρ*

1 *περὶ ἐξαρθρήσεως σπονδύλων* tit. B, *περὶ των κατα ραχιν σφονδυλων Γ*, *π. σπ. τῶν κατὰ ῥ.* M *σφ.* M *Γ*, *σπ.* BV *οἱ* pro *οἷσι Γ* 2 *κῦφον* V *εἰς το κυφ[ωσις ὀνομάζεται* comm.] *Γ* 3 *ποτὶ* BM 4 *προφύσιως Γ* *κυφοῦται* B, *ν* ss. m. 2 *κατωτέρω* (ras.) M, sine ras. V 4. 5 *τινα* super *μετεξ.* ss. $B^{2}$ 5 *λύουσιν Γ* *τοῖς* BMV 6 *δ' ἔτι* Par. P, *δέ τι* rel. codd. *ἐγγιν.* codd., *ἐνγιγν. Γ* *ἐγγενόμ.* Erm. alterum *κίρσοι* del. Erm. *κατ'* MV ante *ἰγν.* ss. *τὴν* $B^{2}$ 7 *οἷς . . . λύηται* del. Erm., idem *ἐγγίνονται δὲ* del. *οἷσι δ' ἄν τι κύφωμα ῃ, λύουσιν* MV 8 *τῇ* $B^{1}$, mut. in *τῇσι* $B^{3}$, *τοισι Γ* *ἔλυσεν* M *Γ* ante *δυσεντ.* add. *ἡ* MV 9 *πολ. γεν.* om. MV *οἷσι* MV *Γ* 10 *ἐοῦσι* MV *ἢ* om. *Γ* *τελειωθ.* MV *Γ* 11 *ξυναυξ.* B *ἐθέλοι* M 12 *τελειοῦνται* MV 13 *γίνονται Γ* *οἷσι Γ* Gal. de dyspn. VII 921 . *ἂν* om. V, *ἂν ᾖ* om. *Γ* Gal. l. l. *ἄνω* Gal. ibid. 14 *τουτέοισι* Gal. ibid. *τε* om. *Γ* Gal. ibid. 15 *ἐθέλουσι* BM *εἰς* Gal. ibid. *εὐρυν Γ* 16 *γίγν.* bis Gal. l. l. 17 *αὐτοὶ δὲ δ.* $B^{2}$ *Γ* *κερχωδεες* (quae forma firmatur testimonio Gal. in comm. 574) $B^{1}$ *Γ*, *ν* ss. $B^{3}$, *κερχνώδεες* MV Gal. de dyspn. l. l., idem in tit. M

εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ᾖ αὐτοῖσιν ἡ κεφαλή· καὶ τοῦτο συμβάλλεται ἐς τὸ ἔσω ῥέπειν· στενοχωρίην μὲν οὖν πολλὴν τῇ φάρυγγι παρέχει· καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει | τοῦτο τὸ ὀστέον, ἣν ἔσω ῥέψῃ, 180
ἔστ᾽ ἂν ἀναπιεχθῇ. δι᾽ οὖν τὸ τοιοῦτο σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ οἱ ὑγιέες· φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πλεύμονά εἰσιν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων· καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ σύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίνεται, ᾗσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς. ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικὰ καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐμπυηματικαὶ κατὰ

1 *εἰθυωρικην Γ*, *ἰθυωρίην* Gal. l. l. *αἱ* ante *τὸ* om. $B^1$ (ss. $B^3$) *Γ* Gal. l. l. 2 *μέντοι* pro *γὰρ δὴ Γ* *καὶ* post *δὴ* om. MV 3 *μέγα* B *σφ.* $B^1$M*Γ*, *σπ.* $B^3$V 4 *ἔῃ* MV *αὐτοῖσι(ν²)* M, *-τέοισιν* Gal. l. l. ordo vulgaris hic est: . . . *κεφαλή. στενοχωρίην* . . . . . *παρέχει. καὶ τοῦτο* . . . . . *ῥεπ.* Transposui 4. 5 *συμβ.* om. MV 5 *εἴσω* M *ῥέπον* codd., *ῥέπειν* Gal. l. l. *μὲν* om. Gal. ib., *Γ* 6 *τῷ φαρ.* MV, *τῇ φ. Γ* *παρέχουσι* Gal. ib. *τοῖσι* $B^1$ (*ν* ss. $B^3$) M*Γ*, *αὐτοῖσιν* Gal. ib. 8 *ἔστ᾽* . . . *ὑγ.* om. *Γ* *ἀναπιεσθῇ* Gal. ib. *διὰ* Gal. ib. *τοιοῦτον* MV Gal. ib. *πρῆγμα* pro *σχ.* Gal. ib. 8. 9 *ἐξεχέμβροχοι* Gal. ib. 10 *οἱ* ss. M, ut videtur, ead. m., om. V Gal. ib. *ὑγιές* B *σφύγματι αἱ* $B^1$, corr. $B^3$ *τὸ* et *κατὰ* om. Gal. ib. 11 *πν.* V Gal. ib. 12 *κύφωμα* tit. i. m. M 13 *ξύντ.* codd. *τοῖς* B *πλειστοισιν Γ* 14 *η οἷσι* B, *ᾗσι(ν²)* M, *οἷσι Γ*, *οἷσιν* Gal. ib. *κοινωνήσουσι(ν²)* M *οἱ ξύντονοι.* (*οἱ σύνεγγυς* om.) Gal. ib., *ξύνεγγ.* MV 15 *οἷσι* pro *ὅσ. Γ* *ἐστιν Γ* 17 *ἀποστάσια*(*α* lineola deletum)*ες ἐμπυηματι· καὶ κατὰ* B, *ὑποστάσηες ἐμπυηματικαὶ καὶ κατὰ* V *ἀποστασια ἐσ ἐμποιηματι και Γ*

*κενεῶνας καὶ κατὰ βουβῶνας χρόνιαι καὶ δυσαλθέες, καὶ τουτέων οὐδετέρη λύει τὰ κυφώματα. ἰσχία δὲ τοῖσι τοιούτοισιν ἔτι ἀσαρκότερα γίνεται ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη τούτοισιν ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν. ὅσοισι δ' ἂν ηὐξημένοισιν ἤδη τὸ σῶμα ἡ κύφωσις γένηται, τούτοισιν ἀπαντικρὺ μὲν τῆς νούσου τῆς τότε παρεούσης κρίσιν ποιεῖ ἡ κύφωσις· ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτῶν, ὥσπερ καὶ τοῖσι νέοισιν ἢ πλέον ἢ ἔλασσον· ἧσσον |*
182 *δὲ κακοήθεα ὡς τὸ ἐπίπαν μὴν τοιαῦτα πάντα ἐστίν. πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιηρῶς τὴν κύφωσιν ἄχρι γήραος, μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα· ὀλίγοι μὴν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν· οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν. ἔστι δ' οἷσι καὶ ἐς τὰ πλάγια σκολιοῦνται σφόνδυλοι ἢ τῇ ἢ τῇ· πάντα μὴν ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται*

1 *κατὰ* ante *βουβ.* punctis circumdatum B *δυ]σαλγεις* i. m. *Γ* 2 *οὐδ' ἑτέρη* MV *ἰσχιαδεσσι τ. τ. Γ* 3 *τοιουτ(έ* M)*οισι* BM*Γ* *ἢ* om. *Γ* *τοῖσι*($ν^2$) M 4 *κοιφωσιν* B[1], corr. B[3], *κυφοῦσιν* V, *κυφοις Γ* *ἡ . . . κυφ.* i. m. M *ξύμπ.* BV*Γ* 5 *τουτέοισιν* B*Γ*, *τούτοισι*$^{\nu^2}$ M *ἢ* om. B[1]*Γ*,ss. B[3] *τοῖσι*$^{\nu^2}$ M *κοιφοῖσι* B*Γ*, *κυφοῖσιν* (*ν* M[2]) MV 6 *βραχ.* B (postea mut. in *βραδ.*) MV, *βραδ. Γ* 7 post *ηὐξ.* add. *οἷσιν Γ* 8 *τούτοισι*($ν^2$) M *ἀπαντικρὺ*[ὸ] *Γ* post *μὲν* add. *ἤδη Γ* 9 *ποιέει* codd. 10 *ἐπισημαίνηται* pro *ἐ. τι Γ* *τε* B[1], corr., *τί* V *αὐτέων* M 11 *ὡς Γ* *τοῖσιν* V *ἑτέροισιν* pro *νέοισιν* MV, *τοισινεωτεροισιν Γ* *ὡς πλ.* pro *ἢ πλ. Γ* *πλεῖον* B 12 *κακοήθεα* Erm., *-ως* codd. *ὡς . . . ἐστίν* om. *Γ* *πάντα* om. MV *ἐστι* MV 13 *ὑγιεινῶς* MV 14 *γήρως* codd., *-αος* Pq. *μάλιστα . . . εἰσιν* (17) om. *Γ* *εἰσιν* B[1], corr., *οἷσι*($ν^2$) M 15 *προστράπειται* B 16 *ἔτι* pro *ἔτη* M 17 *βραχυβιώτεροι* tit. i. m. M *ἐστὶ*[ν] *δε οἷσιν Γ* 18 *τὸ πλάγιον* MV *σφ.* B[1]M*Γ* *σπ.* B[3]V 19 *τὰ* post *πλ.* om. B*Γ*

*διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος· προσσυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι τοῖσι κατὰ πλεύμονα νοσήμασιν εἰρήσεται· ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι.*

42. *Οἷσι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γάρ, αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδένα πω ἐξίθυναν ὧν γε ἐγὼ οἶδα. χρέωνται δὲ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὕτως ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον· τοῖσι γὰρ τοιούτοισιν ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτεόμενον ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικεν· καὶ ταῦτα κληίζουσιν αἰεὶ καὶ οὐκέτι αὐτοῖσι μέλει, ὁποῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν, οὕς γε ἐγὼ ἔγνων· τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον, καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν, ὅ τι μη-*

1 *εἴσ.* codd. ante *ῥάχ.* add. *τῆς* EH *προσυμβ.* M, *προσξυμβ.* V 2 *ὀκ.* BMV, *ὀπ.* Γ 3 post *μὲν* add. *οὖν* Γ 4 *τοῖσι* post *χρον.* om. MV 5 *ἐκεῖ . . . ἔσεσθαι* om. Γ, del. Erm. *χαριέστεραι* MV 7 *ὅσοισι* MV, *ὅσοις* Ap. ante *κυφ.* add. *καὶ* B[1], expunxit B[2] 9 post *γὰρ* add. *δεῖ* Γ *κατασείσιες* MV *οὐδὲν ἀποεξίθ.* MVΓAp. p. 14 Schöne, *ουχ' ἐν απωεξιθυναν* Ap. p. 25 10 *γε* om. Ap. *χρέωνται . . . τρόποι* (p. 168, 5) om. Γ *χρέω-* scripsi, *χρῶντε* B, *χρέονται* cet. *οἱ* om. Ap. p. 14 *αὐτῇ μάλ.* Ap. 11 *οὕτως* Ap. p. 25, *οὗτοι οἱ* cet. *οἳ ἐπιθυμοῦνται* Ap. p. 14, *ἐπιθυμοῦντες* B super *ἐκχ.* ss. *ἤτοι ἀπατᾶν* B[3] *λαόν* pro *ὄχλ.* Ap. 12 ante *τοῖσι* add. *ἐν* Ap. p. 14 *τοιούτοισι* MV, *τούτοισι* Ap. p. 14 *ταῦτα* om. Ap. p. 25 *θαυμαστά* Ap. 13 ante *κρεμ.* add. *καὶ* lineola deletum B *ῥιπτόμ.* MVAp. p. 14 *τοῖσι* om. Ap. 14 *ἔοικε* V sup. *κληίζ.* ss. *δοξάζουσιν* B[3] *ἀεὶ* MV *οὐκ ἔτι* V 15 *μέλλει* MV *ὀκ.* MV 17 *οὓς ἔγωγε* V

184 *χάνημα κατὰ φύσιν | ἐπενοήθη· οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας καλῶς κατασείσειε, κἂν ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω διὰ τοῦτο, ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι.*

43. *Ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, ἧσσον εἰκὸς ὠφελεῖν τὰς κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν· σμικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια καταρρέποντα· ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι· μέζων γὰρ οὕτως ἡ καταρροπὴ ἡ ἐπὶ ταῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοις εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι· τὴν κλίμακα χρὴ σκυτίνοις ὑποκεφαλαίοισι πλαγίοις ἢ εἰρινέοισι καταστορέσαι εὖ προσδεδεμένοις ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος*

1 supra *ἄελπτον* ss. *ἀνέλπιστον* B[3] *ἄλετον* M, i. m. *γρ. ἄελπτον* 2 *καλῶς* ante *κατασ.* om. MV 3 *κατισχ.* BAp. p. 25 *τὰ* om. Ap. p. 14 3. 4 *τοιουτατρ.*, *υτα* punctis circumdatum, B 4 *οὕτω* et *τοῦτο* in raso loco M *οὕτω* om. Ap. p. 25 4. 5 *ἀπατεων* Ap. p. 14 5 *οἱ τρόποι οὗτοι* Ap. p. 14 6 *ὁκόσ.* B, *οἷσι* Γ, *ὁπόσοις* Ap. *ὅσοις ἐγγὺς τοῦ αὐχένος* tit. in m. inf. M 7 *εἰκ. ἧσσ.* Ap. *ὠφελέειν* codd. *τᾶς* M *κατασείσιας* Litt. Erm. alterum *τὰς* om. Γ 8 *μι.* MV *ἡ κεφαλὴ* om. Ap. 9 *καταῤῥέοντα* Ap. *ἀλλὰ . . . κατάσχοι* (p. 169, 2) om. Γ *τε* B 11 *μείζ.* MV *καταρροπὴ ἡ ἔπι* B, *καταρροπίη ἐπὶ* MV *μεζω γαρ ἀύτως* (*ἂν οὕτως* Schöne) *ἡ καταρροπὴ εἶ* (*εἴη* Schöne) Ap. *ἐπὶ τ.* om. Ap. 12 *ὅσοι* (*σι* ss.) M ead. m., *ὅσοις γὰρ δὲ* Ap. *τουτεοις* B, *τούτοισιν* (*ν* M[2]) MV *ἔοικε* pro *εἰκὸς* Ap. 13 *ὑπὸ* pro *ἐπὶ* Ap. *θέλοι* Ap. 14 *τὴν μὲν γὰρ κλ. ἢ σκ.* Ap. 15 *σκυτίνοισιν* MV *εὐποκεφ.* M, ante *ὑποκ.* add. *ἐν* V *ὑποκεφαλαίοις* B *πλαγίοισιν* MV, *πλ.* om. Ap. *εἰρηνεοῖσι* B, *ἐριν.* MV, *ειρινοις* Ap. 15. 16 *καταστρῶσαι* BAp. 16 *προσδεδεμένοισι(ν* M[2]) MV ante *ὀλ.* add. *καὶ* BAp. *πλεῖον* BAp. *καὶ* ante *ἐπὶ* om. Ap.

*καὶ ἔνθεν καὶ ἔνθεν ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχοι. ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρὴ καὶ ἔπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτας δεσμῷ εὐόχῳ μέν, μαλθακῷ δέ· προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων καὶ ἀνωτέρω, προσδῆσαι δὲ καὶ κατὰ τὰ ἰσχία· κατὰ δὲ τοὺς κενεῶνας καὶ τὸ στῆθος χαλαρῇ ταινίῃ περιβαλεῖν οὕτως, ὅπως μὴ κω-|λύσει τὴν κατάσεισιν· τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς* 186 *παρατείναντα προσκαταλαβεῖν πρὸς αὐτὸ τὸ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα σκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς ἀέτωμα οἴκου· τὸ δὲ χωρίον, ἵνα κατασείσεις, ἀντίτυπον ἔστω· τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους εἶναι χρή, ὅπως ὁμαλῶς καὶ καλῶς καὶ ἰσορρόπως καὶ ἐξαπιναίως ἀφήσουσι, καὶ μήτε ἡ κλῖμαξ ἑτερόρροπος*

1 *ἔνθεν ησσον το σ.* Ap. 2 *κατασχῇ* Ap. *επιτεναντα* pro *ἔπειτα* Ap. 3 *κἄπειτα* MV *προδῆσαι* Ap. post *μὲν* add. *χρὴ* Ap. 4 *διαβεβῶτα* MV, *διαβαιβῶτας* B et *ἐπικείμενον τὸν ἕτερον τῷ ἑτέρῳ* i. m. B[4] *μὴ διαβ.* om. *Γ* *και μη διακεεντα αλλα συμβεβηκοτα* pro *μὴ διαβ.* Ap. 5 *εὐβρόχῳ* MV, *εὐ*(litt. duae erasae)*οχω* B, *ἅμα καὶ ἀθλίπτῳ* i. m. B[4] *δὲ ὅκοι* pro *εὐόχῳ* Ap. *μὲν* om. *Γ* 6 *ἑκάτερον* om. Ap. *προσδῆσαι . . . κλίμ.* (l. 11) om. *Γ* 7 *κατὰ* om. Ap. *τὰ* om. V 7 ante *τὸ* add. *κατὰ* MV, add. *εἰς* Ap. 8 *χαλαρῇσι ταινίῃσι* MV, *-ραῖς τενίαις* Ap. *περιβάλλειν* B, *-βαλέειν* MV, *-εῖν* Pq. *προσπεριβάλλ.* Ap. *ὅκως* MV 8. 9 *κωλύωσι* MV, *κωλυσωσιν* Ap. 9 *κατάτασιν* B, *πέρασιν* Ap. *παρατείνοντα* Ap. 10 *πρὸς τὸ αὐτοῦ σ.* Ap. 11 *ὅταν . . . κλίμ.* om. V *κατασκ.* M, *σκευάσῃ* Ap. 12 *ἢ* post *κλίμ.* del. B[3], om. *Γ*Ap. *προσσύρσιν* Ap. supra *τύρσιν* ss. *τὸν πύργον* B[3], *τύρσις σκηνὴ πύργος προμαχών* tit. in infimo fol. 51 v., ab *ὑψ.* incipit fol. 65 M 13 supra *ἀέτ.* ss. *ὕψος* B[3] *ἀετωμα· ἡ στεφάνη τοῦ δώματος* i. m. sup. M *κατασισις* B*Γ*, *σει*≡*ης* M, *-σείεις* V, *-σειση* Ap. 14 *τοὺς . . . ἔσονται* om. *Γ* *αντιτειν.* Ap. 15 *χρὴ εἶν.* MVAp. *ὅκ.* MV 16 *ἀφήσωσι* Ap. *ἑτερορρεπῇ* Ap.

ἐπὶ τὴν γῆν ἀφίξεται μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ καλώμενα εἶναι ὅπλα ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρολογεῖν περὶ τούτων· ὅμως δὲ ἐκ τούτων ἂν τῶν παρασκευῶν μάλιστα ἄν τις κατασεισθείη. |

188 44. Εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν πάντως, ἐπὶ πόδας λυσιτελεῖ, ὥσπερ ἤδη εἴρηται· πλείων γὰρ οὕτω γίνεται ἡ καταρροπὴ ἐπὶ ταῦτα. ἑρμάσαι δὲ χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα· τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι καὶ μὴ πρὸς τὴν κλίμακα· τὸ μέντοι

1 τὴν om. MV ἀφίξηται B ἀφίξ. om. Ap. προπετεις B 2 ad ἀπὸ μέντοι τύρσιος κ. τ. λ. in marg. inf. B[3]: καλεῖ οὕτως δηλονότι τὸ μέγιστόν τε καὶ ὄρθιον ξύλον ὃ κατὰ τὸ ἄνω πέρας ἐπιτίθεται· ξύλον ἄλλοθεν ἐστιν ἐγκαρσιαν ἔχον ὡς πρὸς τὸν ἱστὸν ἐξ οὗ ξύλου τὸ ἱστίον ἐξῆπται. ἱστὸς μὲν γὰρ ὀνομάζεται τὸ κατὰ τῆς νηὸς ἐμπεπηγὸς ὀρθὸν ξύλον, ἱστίον δὲ ἡ φυσωμένη πρὸς τῶν ἀνέμων ὀθόνη· τοὺς δὲ κατὰ τὴν ἄνω τελευτὴν τοῦ ἱστοῦ κάλως ὀνομάζουσι καρχησίους· καὶ γὰρ εὔδρομον τὴν κίνησιν οὕτως ἐργασόμεθα καὶ ὁμαλὴν καὶ ἰσόρροπον. καλεῖ δ' οὕτως δηλονότι τοὺς ἄξωνας. Cf. Gal. comm. XVIII 1, 521 ἀφιησει ἡ Γ ἰσ. V 3 τι B κατασκ. V, σκευάσοιτο Ap. 4 ὡς γε Ap. τροχιλιῆς V εἶναι Wb., εἶναι cet. ὅπλα εἶναι Ap. 5 ἀηδὲς . . . ταῦτα (11) om. Γ μὲν Ap. μακρολέγ. Ap. π. αὐτῶν τούτ. Ap. 6 δ' Ap. τουτέων codd. ἂν prius om. Ap. μάλιστ' MV, κάλλιστα Ap. 9 πάντ. κατασ. Ap. ante λυσ. add. κατασείειν MVAp. λυσιτελέει codd. δὴ εἰρήκαμεν Ap. 10 πλ. γ. οὔ. om. Ap. πλείω B γιν. δὲ Ap. καταρροπίη MV 11 ἑρμᾶσαι MV, ἑρμάσαι B, i. m. ἑρησαι B[2] ἐπὶ τ. δε ὁρμασαι χρη Ap. ἑρμ. μὲν χρὴ τὸ στ. Γ 12 κατὰ δὲ . . . περιβεβλ. (p. 171, 3) om. Γ κλιμ. αποθησαι· δῆσαι δε ὀχοιρως καταδεῖν τὸν αὐχ. ἕως Ap. 12. 13 ἀσχαλ. pro ὡς χαλ. V 13 κατορθοῦν B 16 μὴ om. B[1], add. B[3]

ἄλλο σῶμα ἄδετον εἶναι χρή, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅπως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπεῖν. τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω, πρὸς ἄλληλα δέ, ὡς κατὰ τὴν ῥάχιν ἰθύρροπα ᾖ. ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι· αἰσχρὸν μέντοι ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον παρασχόντα ἔπειτα μηδὲν ὠφελῆσαι. |

45. Χρὴ δὲ πρῶτον μὲν γινώσκειν τὴν φύσιν τῆς 190
ῥάχιος, οἵη τίς ἐστιν· ἐς πολλὰ γὰρ νοσήματα προσδέοι ἂν αὐτῆς. τοῦτο μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον, οἱ σφόνδυλοι ἐντὸς ἄρτιοί εἰσιν ἀλλήλοισιν καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει καὶ νευρώδει ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον. ἄλλοι δέ τινες τόνοι νευρώδεες διανταῖοι πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὡρμημέναι καὶ ἐν οἷς οἷα

1 χρὴ om. Ap. 1. 2 κατορθῶσαι V 3 ὀκ. MV κωλύσουσιν B, -ωσιν MV, -σωσι Ap., -σωσιν Γ τὴν κατάτασιν οὗτοι οἱ δ. Ap. 4 σκοπέειν codd., om. Ap. τὰ δὲ . . . ὠφελῆσαι (10) om. Γ 5 μὴ punctis circumdedit B[3] προσδεδέσθαι Ap. 6 εἰς εὐθὺ ρεπει pro ἰθ. ᾖ Ap. μὲν pro μέντοι MAp. 6. 7 ποιειται αει· παντως B ποιητέον Ap. 7 ἔχει· pro εἰ Ap. 8 μὲν pro μέντοι Ap. ante ἐν add. καὶ MV 8. 9 πουλ. utroque loco VM[1] 9 παρασχ. post ὄχλ. Ap. 10 καὶ ante ἔπειτα add. Ap. 14 σπ. BV ad ἄρτιοι i. m. ἀπηρτισμε} B[2], v. Gal. comm. XVIII, A 526: ἀρτ. τοῦτ' ἐστιν ἀπηρτισμένους ἀλλήλοισι MV δεδεται (ν ss.) Γ 15 δεσει Γ ἀνευρ. BV, ≣νευρ. M 16 ἀποπεφυκότων B 17 διανταίους μὲν τοὺς ἄνωθεν διήκοντας ἐπὶ πολὺ μ. . . . νευρώδεις δὲ τοὺς ἰσχυρούς i. m. B[4] (cf. Gal. comm. 528) προσφυτοι (ε ss.) B, ss. B[3], -φυτέοι Γ 18 ἔνθα καὶ ἔνθα V 19 κοινωνιαις Γ κόσμω pro λόγω Γ 20 ὅσαις Γ οἱες Γ οἵοισιν (ν M[2]) MV, οισιν Γ

*δύνανται αὐτός τε ὁ νωτιαῖος οἷσιν ἐλύτρωται ἐλύτροισιν καὶ ὅθεν ὡρμημένοισι καὶ ὅπῃ κραίνουσι καὶ οἷσι κοινωνέουσι καὶ οἷα δυναμένοισιν. ἐν δὲ τῷ ἐπέκεινα, ἐν ἄρθροισι γεγιγγλύμωνται πρὸς ἀλλήλους οἱ σφόνδυλοι. τόνοι δὲ κοινοὶ παρὰ πάντας καὶ ἐν τοῖσιν ἔξω μέρεσιν καὶ ἐν τοῖσιν ἔσω παρατέτανται· ἀπόφυσις δέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σφονδύλων μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μεζόνων ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν* 192 *ἀποφύσεσιν ταύτῃσι χονδρίων ἐπιφύσιες, καὶ* | *ἀπὸ ἐκείνων* 11 *νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι. πλευραὶ δὲ προσπεφύκασιν ἐς τὸ ἔσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον ἢ ἐς τὸ ἔξω· καθ' ἕνα δὲ ἕκαστον τῶν σφονδύλων προσήρθρωνται· καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσί, ῥαιβοειδέα τρόπον. τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων ἀποπληρέουσιν ἑκατέρωθεν* |

1 *τε* BMVΓ, *δὲ* vulg. *οἷσι(ν²)* M 1. 2 *ἐλύτροισι* MV, ad *ἐλ.* i. m. *σκεπάσμασι* B$^{4}$ 2 *κρίνουσιν.* Γ 3 *οἷ οἱ* pro *οἷσι* Γ *δυνάμενοι εἰσι(ν* Γ) B$^{3}$Γ, *δυναμένοισι* B$^{1}$ 4 *ἄρθροις* B, *-οισιν* Γ *τεγγιγλύμωντε* B, *γεγιγλύμωνται* MV *γυγγλιμωειδῶς συγκεῖσθαι* i. m. B$^{4}$ 5 *σφ.* ut solet B$^{1}$, mut. B$^{3}$ in *σπ.*, *σπ.* V ut solet 6 *μέρεσι* MV *εἴσω* MV *ἔξω . . τοῖσιν* om. Γ *παρατετᾶται* Γ 7 *τ'* pro *δὲ* MV, *τε* Γ *εἰς τε τὸ* Γ *ἀπο π.* B$^{1}$, mut. in *ἁπάντ.* B$^{3}$ *μ. ἀπαντων σφ.* Γ 8 *ἀφ' ἑνὸς* Γ *μὲν* pro priore *τε* MV 9 *μειζ.* B, *μέζων* MV *δὲ* pro alt. *τε* V *ἐλάσσων* MV, *γρ. ἀπό τε τῶν μειζόνων ἀπό τε τ. ἐλασσόνων* ab ead. m. i. m. M *τῇσι(ν²)* M 10 *ἀποφύσεσι* MV *ταύτῃσιν* Γ *ἀπ'* M 11 *ἀποβλαστήσιες* Γ ad *ἠδελφ.* i. m. *ὁμοιομένη* B$^{2}$ *τοῖσι(ν²)* M 12 *περι πλευρων* tit. Γ *πεφ.* Γ *εἴσω* MV 14 *δ'* MV post *σφ.* add. *ται* B$^{1}$, del. B$^{3}$ 14. 15 sup. *καμπυλ.* ss. *καμπτώταται* B$^{2}$ 15 *ῥαιμβ.*, sed *μ* erasum M, *ῥαιμβ.*, *γρ. καὶ ρυκο*(i. e. *ῥοικο-*, quod praefert Gal. comm. 537 et 538)*ειδέα* ab ead. m. i. m. M, *ῥεμβ.* V, *ῥοιβ.* Γ 17 *σπ.* VB$^{3}$

οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῆς προσφύ- 194 σιος τῶν φρενῶν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστιν· ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σφονδύλου, παρ᾽ ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή· κύστις τε γὰρ καὶ γοναὶ καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τούτῳ ἔκτισται. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος ἰθυλόρδη, καὶ παραφύσιας ἔχει μυῶν τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν ἔσωθεν, ἃς δὴ καλέουσι ψόας. ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σφονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκύφη· ἔτι δὲ μᾶλλον δοκεῖ ἢ ἐστιν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας ἔχει τῶν ὀστέων, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. αὐτὸ δὲ τὸ ἄρθρον τὸ τοῦ αὐχένος λορδόν ἐστιν. |

46. Ὁπόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς 196 σφονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος ἢ ἑνὸς σφονδύλου ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ᾽ ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίνεσθαι· οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης — οὕτω δ᾽ ἂν

2 τῶν φρ. om. Γ I et II, punctis inclus. et ss. τῆς τῶν σκελῶν B[3], ἀ. τ. φρ. τ. πρ. MV αὐτὴ EHK, αὕτη BMV κατα τε το μηκος Γ I 2. 3 ἰθὺ σκολιῶς V, εἰθὺ σκολιος Γ I et II 3 μέχρι Γ I et II 5 κύφη V 6 τουτέῳ MΓ I 7 ἰ(εἰ B)θὺ λόρδη BV, εἰ(ἡ II) θυλόρδης Γ 8 ἔχειν Γ I μυῶν om. Γ II 9 εἴσ. MV, ἔξωθεν Γ II post ἔσ. ss. μερέων B[4] καλέουσιν BΓ I et II ψύας MV 10 μέχρι Γ II 11 εἰθυκυφῆ (σ ss.) B, ss. B[3], ἰθὺ κύφη V δοκέει codd., -ν Γ I et II ἔστιν V 12 ὑψηλοτατον B[1], mut. in -τάτας B[3] τῶν ὀστ. ἔχει MVΓ post ἔχει add. τῶν punctis inclus. B 13 τὸ ante τοῦ om. Γ et Gal. comm. 548 14 ἐστι M 15 ὁκόσοισι . . . βιησάμενον (p. 174, 9) om. Γ ὁκ. codd. 16 ραγησα B, ἀπο i. m. B[2] 20 ἐστι(ν[2]) M 21 οὕτως B

ἀπόλοιτο — ἢ εἴ τις ἀφ' ὑψηλοῦ του χωρίου πεσὼν ἐρείσειε τοῖσιν ἰσχίοισιν ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηίδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ ἔσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι· τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξω ἓν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγῆναι πρὶν ἢ μεγάλην ῥοπὴν ἔσω ποιῆσαι, τούς τε συνδέσμους βιησάμενον καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα. ὅ τε αὖ νωτιαῖος πονοίη ἄν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι, τοιαύτην ἔξαλσιν ἐξαλλομένου σφονδύλου· ὅ τε ἐκπηδήσας σφόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε. πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν· ὥστε οὐκ ἂν μέλοι τῷ ἰητρῷ, ὅπως χρὴ τὸν σφόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κα-
198 κῶν παρεόντων. ὥστε | δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε πρόδηλον τὸν τοιοῦτον οὔτε κατασείσει οὔτε ἄλλῳ τρόπῳ οὐδενί, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον, ἔπειτα

1 ἀπολλοιτο, οι in raso loco, M  2 τοῖσι B  5 εἴσω M ad ἄχθος i. m. βάρος B[2]  ἐμπέσοιτο B  6 εἰ pro τῶν B[1], corr. B[3]  ἔξωθεν pro ἔξω ἓν MV  7 ἐστι(ν[2]) M  καταγείη MV Gal., de plac. Hipp. et Pl. 760 Müller  8 εἴσω codd.  ξυνδ. MV  9 ποιησάμ. MV, γρ. καὶ βιασάμενον ab ead. man. i. m. M, βιασάμ. B, βιησ. E et i. m. H  κατὰ pro καὶ τὰ MV  supra τὰ ἄρθρα ss. τοὺς σπονδύλους B[3]  τα ἐνηλαγμενα Γ  ὅ τε . . . ἔπειτα (19) om. Γ  11 ἔχει (οι ss.) M, ἔχει V  ἐξέλασιν B, corr. ἐξαλασσομένου M, i. m. γρ. καὶ ἐξαλλομένου  ante ἐξαλλ. add. καὶ V  13 supra ἀπολελ. ss. κεκρατημενος B[3]  14 ἂν post πολλῶν om. Gal. ib.  μέλει τῶν ἰητρῶν ὁπως B  ὁκ. cet. 17 ἐμβάλλ. B  17. 18 πρόδ. τὸν τ. οὔτε κ. οὔτε ἄ. τρ. οὐδ. πρόδ. τὸ τ. B, sed ultimas voces tres del. B[3], πρόδ. τὸ τ. ante εἰ μὴ MV  19 τινὶ pro οὐδενὶ V  ἄλλω οὐδενὶ τρ. Gal. ib. διατεμ. Gal. ib.

ἐσμασάμενος ἐς τὴν κοιλίην ἐκ τοῦ ἔσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι· καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιεῖν, ζῶντι δὲ οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; διότι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν ἔσωθεν ἔπεσον σφόνδυλοι τελέως ὑπερβάντες τὰ ἄρθρα· καίτοι γε ῥηίστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσιν καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιᾶ γίνεσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ καὶ κερδαίνουσιν, ὅτι ἀγνοέουσιν· πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ διὰ τόδε· οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σφονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοέοντες ὅτι τὰ ὀστέα ταῦτά ἐστίν τὰ ἀπὸ τῶν σφονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σφόνδυλοι πολὺ προσωτέρω ἄπεισιν· στενοτάτην γὰρ πάντων ζῴων ἄνθρωπος κοιλίην ἔχει ὡς ἐπὶ τῷ μεγέθει ἀπὸ τοῦ ὄπισθεν ἐς τοὔμπροσθεν, ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἓν ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται ἢ τὸ ἔνθεν καὶ ἔνθεν, καὶ διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σφονδύλους ἔσω

1 ad *ἐσμασ.* i. m. *ἐμβαλων* B²M, *ἐμβαλόμενοι* Gal. ib. *ἐς τὴν . . . τέτρωνται* (p. 176, 4) om. *Γ* *εἴσ.* codd. 3 *ποιέειν* codd. *δὲ* pro *οὖν* Gal. ib. 4 *ὅτι* pro *διοτι* MV 4. 5 *εἴσωθεν* codd. 5 *ἐνέπεσαν* B 6 *γε* om. Gal. ib. *εἰς* B 7 *νομίζουσι* MV *δέεσθαι* BGal. ib. 8 *αὐτομάτως ὑ. γενέσθαι* Gal. ib. *ὑγεία* B, *ὑγιέα* cet. 9 *δὴ* pro *δὲ* Pq. *πολὺ* B *κερδαινουσι(ν²)* MGal. ib. *ἀγνοέουσι* MGal. ib. 10 post *ὀίοντε* (sic) ss. *γὰρ* B³ 11 *ἄκανθα(ν³)* B 12 *αὐτοὺς* i. m. B 13 *ἀγνοεῦντες* MV 14 *ἐστὶ* MV 16 *ἄπεισι* V post *πάντων* ss. *τῶν* B³
17 *ὤνθρ.* V *τω* corr. ex *εω* B, *τῷ* om. MV 18 *εἰς* B *τὸ ἔμπρ.* MV *ποτὲ* Gal. ib. 19 *ὅτ' ἂν* V ut solet 20 *πλέω* B 21 *καὶ* ante *διὰ* om. MV 22 *εἴσω* BV

200 οἴχεσθαι· προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ | τὰ σχήματα τῶν τετρωμένων· ἢν μὲν γὰρ πειρῶνται καμπύλλεσθαι, ὀδυνῶνται περιτενέος γινομένου ταύτῃ τοῦ δέρματος, ᾗ τέτρωνται, καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι, ῥηίους εἰσίν· χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα ταύτῃ γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν, κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψανόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς· ὑγιέες δὲ ταχέως καὶ ἀσινέες αὐτόματοι οἱ τοιοῦτοι γίνονται· ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται, ὅσα χαῦνά ἐστιν.

47. Σκολιαίνεται μὲν οὖν ῥάχις, καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους· καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει οὕτως ἔχει· ἀτὰρ καὶ ὑπὸ γήραος καὶ ὑπὸ ὀδύνης συνδοτική ἐστιν. αἱ δὲ δὴ κυφώσιες αἱ ἐν τοῖσι πτώμασι ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλό-
202 τερον τῶν σφον|δύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον· οὔκουν εἷς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν

1 δ' V 3 γεν. BV 4 ἢ BV τὰ post ὀστ. om. B, ss. $B^3$
γγυ
ἐκθράσσει B, ss. $B^3$, ἐκθράσσει Γ, ἐνθράσει V 5 post χρῶτα add. ὃν καί τινα ὀνόμασεν Γ λόρδαίνοσι B ῥηί- scripsi, ῥά- codd. ἢν δὲ λ. . . . χαῦνά ἐστιν om. Γ 6 εἰσὶ MV 7 γίνεται i. m. M
γγυ
ἐνθράσσει B, ss. $B^3$, ἐκθράσσει V 8 ψανσει B ὑπείκουσιν B 9 ταύτην $B^1$, corr. 11 υγιές B 13 ἐπιπορουῦται $B^1$, -νται $B^3$V ἐστι V 14 πᾶσαν διαστροφὴν ἐνταῦθα χρὴ νοεῖν i. m. $B^4$ 15 καὶ γὰρ . . . γωνιώδ. (p. 177, 4) om. Γ 17 ὀδυνημάτων MV ξυνδοτ. BV, ξυνδ^{τι}έκη M 17. 18 περὶ κυφώσεως τῆς ἀπὸ πτώματος tit. i. m. sup. M 18 πτώμασιν $M^2$V εὐ pro ἢ $B^1$, corr. $B^3$ in ἐν 20. 21 ὑψηλώτερον B, -ώτατον M, -ότατον V 22 εἰς BM πουλὺ V

*ἄλλων ἐστίν, ἀλλὰ σμικρὸν ἕκαστος συνδιδοῖ, ἀθρόον δὲ πολὺ φαίνεται. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφάς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης.*

*Χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκασμοῦ τοιήνδε κατασκευάσαι· ἔξεστιν μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα ἔχον κατορύξαι· ἔξεστιν δὲ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐνταμεῖν ἢ πήχει ἀνωτέρω τοῦ ἐδάφεος ἢ ὅπως ἂν μετρίως ἔχῃ· ἔπειτα οἷον στύλον δρύινον, τετράγωνον, πλάγιον παραβάλλειν, ἀπολείποντα ἀπὸ | τοῦ τοίχου ὅσον παρελ-* 204
*θεῖν τινα, ἢν δέῃ· καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι ἢ χλαίνας ἢ ἄλλο τι, ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα· τὸν δὲ ἄνθρωπον πυριῆσαι, ἢν ἐνδέχηται, ἢ πολλῷ καὶ θερμῷ λοῦσαι· ἔπειτα πρηνέα κατακλῖναι κατατεταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα· ἱμάντι δὲ μαλθακῷ ἱκανῶς πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διανταίων*

1 *ἐστὶ* M *σμ.* Pq., *μ.* cet. *συνδίδοι* B, *ξυνδιδοι*‖ M, *ξυνδίδοι* V *ἀθρόως* M 2 *γίνεται* pro *φαίν.* MV 3. 4 supra *κυκλ.* ss. *καταβραχυ κυκλωτερον* B³ 4 *αὐτων* B *γωνιοειδης* B¹, corr. 5 *διαναγκαζομένου* ΓAp. 6 *κατασκευὴ ξύλου τοῦ διαναγκασμοῦ* tit. i. m. inf. M *ἔξεστι . . . δικαιοτέρας* (p. 181, 6) om. Γ *ἔξεστι* utroque loco MV 7 *ἔχον . . . παραμήκ.* om. Ap. *κατορῦξαι* V 8 *ἐντέμνειν* Ap. 8. 9 *ἢ πήχει* om. Ap. 9 ante *ἀνωτ.* add. *η* B¹ *ἢ* post *ἐδάφ.* om. Ap. *ὅπως* BAp., *ὅκ.* cet. *ἔχει* BAp. 10 *ξύλον* pro *στύλον* Ap.

11 *ἀπολιπόντα* BAp. 12 *ἐπιστορησει* B, -*ρέσ$\overset{αι}{ει}$* M, ss. M², *ὑποστρῶσαι* Ap. 13 *ἢ* prius om. Ap., *καὶ* ss. M² *χλαίναν* B, -ς Ap., *χιτῶνας* MV *ὃ* om. Ap. 14 ante *ἢν* add. *ἢ* (?) B, del. ead. m. post *ἢν* add. *δ'* MV 15 *ἢ* ante *πολλῷ* om. MV *θερμῷ πολλῷ* Ap. *λούσας* MV *κἄπειτα* MV *καὶ ἔπ. κατατείνας πρηνέα, κατατείναντα δὲ τὰς χεῖρας κ. φ.* Ap. 17 *ἱμάντι πλατεῖ καὶ ἰσχυρῷ, μαλθακῷ δὲ καὶ μακρῷ* Ap. 18 *ἱκανῷ* M *μακρω* B¹, mut. in *μαλακω* B² *διαντέων* BMV, -*τέω* Ap., -*αίων* Litt. ex Par. MN

συμβεβλημένῳ μέσῳ κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρή, ὡς ἐγγυτάτω τῶν μασχαλέων· ἔπειτα τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω· ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι τὸ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ, πρὸς ὅ τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα κατατείνειν. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων δήσαντα καὶ ἄνωθεν τῶν πτερνέων τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτόν τι ξύλον προσδῆσαι· ἄλλῳ δὲ ἱμάντι πλατεῖ καὶ μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος ἱκανόν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι ὡς ἐγγυτάτω τῶν ἰσχίων· ἔπειτα τὸ |
206 περισσεῦον τοῦ ταινιοειδέος, ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, προσδῆσαι πρὸς τὸ ξύλον τὸ πρὸς ποδῶν· ἔπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι ἔνθα καὶ ἔνθα, ἅμα μὲν ἰσορρόπως, ἅμα δὲ ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσειεν, ἢν χρηστῶς σκευασθῇ, εἰ μὴ ἄρα ἐξεπίτηδές τις βούλοιτο σίνεσθαι. τὸν δὲ ἰητρὸν χρὴ ἢ ἄλλον, ὅστις ἰσχυρὸς καὶ μὴ ἀμαθής, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς

1 ξυμβ. MV μέσαις B[1], corr. 2 χρὴ om. Ap. ἔπειτεν Ap. 3 post ἱμάντων add. δύο Ap. post ἱμάντ. add. τῇ B[1], postea deletum 4 περιβεβλεῖσθαι Ap. 5 ξύλον om. Ap. αἱ ἁρμόσουσαι Ap. 6 τῶ νωτω υποτεταγμ. προς το προσβ. τ. ὑ. ἀποστηριζειν κατατεινῇ Ap. 7 ἀντιστηρίζον B κατατείνει BMV τοιούτων M 8 δεσμῶν ἣν ανωθεν τῶν τοῦ γονατων δεσμων δήσ. Ap. 10 τοιοῦτο MAp. τι om. V ἄνω δὲ ἄλλῳ ἱ. Ap. 12 ἰσχυρῶ B ἰξύς M, α add. M[2], ἴξας V ante κύκλω ss. καὶ B[3] 13 περιδεδεμενω B ἐγγύτατα MV 14 ἅμα om. B, ἄμμα V 15 πρ. τ. ξ. προσδ. MV πρὸ τῶν πόδ. B, τῶν add. man. posterior 16 κἄπ. MV post σχήμ. add. καὶ MV 18 ποιήσει M, ποιήση V 19 εἰ χρ. σκευασθείη MV ἢν pro εἰ B 20 σίν. B[2], τείνεσθαι B[1]MV καὶ pro ἢ V ἄλλος M, i. m. γρ. κ. ἄλλον 20. 21 ante ἰσχ. add. βουλοιτο B, punctis circumd. B[2]

*ἐπὶ τὸ ὕβωμα, τὴν δ' ἑτέρην χεῖρα προσεπιθέντα τὸ θέναρ τῆς ἑτέρης χειρὸς καταναγκάζειν προσσυνιέντα, ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς, ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη· ἀσινὲς δὲ καὶ ἐπικαθέζεσθαί τινα ἐπὶ τὸ κύφωμα αὐτοῦ ἅμα κατατεινομένου καὶ ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα ἡσύχως τε ἐπενσεῖσαι οὐδὲν κωλύει. τὸ τοιοῦτον δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἄν τις εἴη τῶν ἀμφὶ παλαίστρην εἰθισμένων. δυνατωτάτη μέντοι τῶν ἀναγκέων ἐστίν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος ἢ τὸ ξύλον τὸ κατορωρυγμένον, ᾗ ἐντέτμηται, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁπόσῳ ἂν δοκῇ μετρίως ἔχειν, σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη ἢ καὶ ἄλλου τινὸς ξύλου· ἔπειτα ἐπὶ μὲν τὸ ὕβωμα ἐπιτεθείη ἢ τρύχιόν τι πολύπτυχον ἢ σμικρόν τι σκύτινον ὑποκεφάλαιον· ὡς ἐλάχιστα μὴν ὑποκεῖσθαι συμφέρει, μόνον προμηθεόμενον, ὡς | μὴ ἡ σανὶς ὑπὸ* 208
*σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ· κατὰ ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον*

1 *ὑπὸ* pro *ἐπὶ* M *καὶ τὴν ἑτ. χ. πρ. ἐπὶ τὴν ἑτέρην κατ.* MV 2 *προσξ.* codd. 5 *ἀσθενεστάτη* Ap. *αὐτὴ* B *ἡ* om. Ap. *ἀσινὴς* Ap. *δὴ* pro *δὲ* Pq. 5. 6 *καθέζ.* Ap. 6 *τοῦ* pro *αὐτοῦ* MV 7 *επεσεισαι* Ap. 8 *ὀχ. τὸ σῶμα καὶ ἡσ. ἐπισεῖσαι* Ap. *δὲ* pro *τε* B 9 *τὸ* om. Ap. *τοιοῦτο* MV 10 *παλεστρη* Ap. 11 *δυνατωτατην μὲν οὖν τ.* Ap. *ἀναγκαίων* BMAp. 12 post *ἐντετμημένος* add. *εἴη* B *τύχος εντετμιται το ξυλον τω κατωρ.* Ap. *ᾗ* pro *ἢ* MV *τὸ δὲ ξύλ.* MV post *ᾗ* add. *δε* B, del. B² 13 *τοῦ ἀνθρ. τῆς ῥάχ.* Ap. 14 *οκωσοι* B¹, mut. in *ὅκωσ σοι* B³, *οπωσῶν δοκεοι* Ap., *ὀκ.* cet. *δοκέῃ* codd. *δὲ* om. Ap. 15 *εἴη* Ap. *ἔπειτ'* Ap. 16 *ἢ* prius et *τι* utroque loco om. Ap. *τρύχειον* B *μικ.* MVAp. 17 *τι* om. Ap. *γρ. καὶ ἐπικεῖσθαι* i. m. M *ἐπικεῖσθαι* Ap. 18 *ξυμφ.* codd. *προμηθευμ.* B, *-θενόμ.* Ap. *ὅπως* Ap. 19 *προσπαρέχειν* B, *-χει* M, *παρέχειν* Ap. 19. 20 *και ταξειν δὲ ὡς μάλ. εν τῶ τη εντωμη τη εἰς* Ap.

τὸ ὕβωμα, ὡς ἂν ἡ σανίς, ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἥν τε ἕνα δέῃ ἥν τε δύο, τοὺς δὲ κατατανύειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστιν δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιεῖσθαι ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐκτεκτηνάμενον, ἥν τε ὀρθὰς θέλῃς σμικρὸν ὑπερεχούσας, ἥν τε κατὰ κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι εὐταμίευτοί εἰσι καὶ ἐς τὸ ἰσχυρότερον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσιν τοιαύτην, ὥστε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, καὶ ἐν τούτῳ ἰσχυρῶς δύνασθαι· καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν οὕτω καὶ ἄλλην ἀνάγκην μηδεμίαν προστιθεὶς ὅμως κατατείνειεν ἄν τις· ἀλλὰ μὴν καὶ εἴ μὴ κατατείνων, αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως ἰποίῃ, καὶ οὕτως ἂν καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες

1 κύφωμα pro ὕβ. Ap. ἂν om. Ap. ἐξεστήκει B 2 πιεζειν Ap. 3 τῆς σαν. τὸ ἄ. ἥντινα δεη Ap. 4 δύω[illegible] M κατατείνειν MVAp. 5 ὥσπερ Ap. 6 ἔξεστι MV ὀνίσκοις BAp. τὴν om. Ap. ποιέε. codd. παρὰ om. Ap. 8 φιαλας Ap. ἐντεκτειναμενος Ap. 9 ὀρνιθας Ap. θέλεις B, ἐθέλῃ MV, θέλῃ Ap. post θελ. add. ἑκατέρωθεν MV μικ. MVAp. 9. 10 κουρην τὸ pro κορυφὴν Ap. 10 αἱ om. Ap. 11 εὐταμιευται BAp. εἰσι om. Ap. 12 ἰσχῦν V, ἴσον Ap. ἔχουσι MV 13 μὴν pro μὴ B ιατριη Ap. 14 καὶ ἐν scripsi, κἂν vulg. καὶ ἐν . . . δύνασθαι vulg., om. BMVAp. 15 κατὰ τὸ μ. B μόν. MVAp. 16 οὔτως BAp. οὐδεμίαν MV προτιθεὶς V 17 ὅμ[illegible] M κατατεινειν εαν της καὶ εἰ Ap. pro ἀλλὰ μὴν Litt. ἱκανῶς cum eis, quae antecedunt, coniungens 18 εἰ ποιη B, εἰ ποιέῃ M, οὑτωσὶ ποιέει V, ἰποίῃ Litt. post ἰπ. add. τις MV κἂν V 19 ἂν om. MV, γρ. κ. ἂν οὕτως i. m. M καταναγκάσειεν M καλλαὶ B ante ἰσχ. add. καὶ V

*εἰσίν, ᾗσιν ἔξεστι καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι
χρῆσθαι αὐτὸν ταμιεύοντα. καὶ μὲν δὴ καὶ κατὰ φύ-
σιν γε ἀναγκά|ζουσι· τὰ μὲν γὰρ ἐξεστεῶτα ἐς τὴν χώρην* 210
*ἀναγκάζει ἡ ἴπωσις ἰέναι, τὰ δὲ συνεληλυθότα κατὰ
φύσιν κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν
ἔχω τούτων ἀνάγκας καλλίους οὐδὲ δικαιοτέρας· ἡ
γὰρ κατ᾽ αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος
κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον οὐκ
ἔχει ἐπιλαβὴν οὐδεμίαν· ἄνωθεν δὲ καὶ κατὰ τὸν αὐχένα
καὶ κατὰ τὴν κεφαλὴν ἐπιλαβὴν μὲν ἔχει, ἀλλὰ ἐσιδεῖν
τε ἀπρεπὴς ταύτῃ γινομένη ἡ κατάτασις καὶ ἄλλας
βλάβας ἂν προσπαράσχοι πλεονασθεῖσα. ἐπειρήθην δὲ
δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνειν ἀσκὸν ἀφύση-
τον ὑποθεὶς ὑπὸ τὸ ὕβωμα, καὶ ἔπειτα αὐλῷ ἐκ χαλ-
κείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον φῦσαν ἐνιέναι.
ἀλλά μοι οὐκ εὐπορεῖτο· ὅτε μὲν γὰρ εὖ κατατείνοιμι
τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ
φῦσα ἐσαναγκάζεσθαι· καὶ ἄλλως ἕτοιμον ἐς τὸ πε-
ριολισθάνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό τε
τοῦ ἀνθρώπου | ὕβωμα καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου* 212
*κύρτωμα. ὅτε δ᾽ αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄν-*

1 *ᾗσι(ν* M²) BM  2 *χρέε.* MV  3 *ἀναγκάζουσιν* MV
4 *ειπωσις* B, *ἄπωσις* MV, *γρ. κ. ἡ ἴπωσις* i. m. M  *ξυνεληλ.*
MV  5 *τείνουσιν* B  6 *τούτων* scripsi, *τουτέων* codd.
7 *κατὰ* V  *αὐτὴν* om. V  *ἄκανθα εἰθ.* B  8 *καὶ* ante *κατὰ*
om. V  8. 9 *οὐχ ἥξει ἐπὶ βλάβην* MV, *γρ. κ. οὐκ ἔχει ἐπιλαβήν*
i. m. M, *σχõ οὐκειξει επιβλαβην* i. m. B  9 *οὐδὲ μίαν* V ut
solet  *καὶ* ante *κατὰ* om. MV*Γ*  post *αὐχ.* add. *καὶ κατὰ τὸν
αυχένα* cum punctis superscriptis *Γ*  10 *ἀλλ᾽* MV  *ἐς ἰδεὴν*
B, *ἐς ἰδέει(εη* M²)*ν* M*Γ*  *ἐσιδέειν* V  11 *γε* V, *τε* M¹, rasura
mut. in *γε*  12 *προσπαρέχοι* M, *παρέχοι* V  *ἐπειράθ.* B
*ἐπειρήθην . . . παραλλαγή* (p. 182, 11) om. *Γ*  13 *κατατείνας*
B  14 *ὑποτεθεις* B  *κἄπ.* MV  14. 15 *χαλκίου* B
15 *φύσαν* V  *ἐνιεῖν* MV  18 *φύσα* V  *ἀναγκάζεσθαι* B  *ἐς
τὸ* om. MV  20 *τὸ* om. V

θρωπον, ὁ μὲν ἀσκὸς ἐκυρτοῦτο ἂν ὑπὸ τῆς φύσης, ὁ δὲ ἄνθρωπος πάντη μᾶλλον ἐλορδαίνετο ἢ ᾖ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο· καλὰ γὰρ καὶ ταῦτα τὰ μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ δι' ἅσσα ἠπορήθη.

48. Ὅσοισι δὲ ἐς τὸ ἔσω σκολιαίνονται οἱ σφόνδυλοι ὑπὸ πτώματος ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σφονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων, ἢν δὲ ἐκστῇ μέγα ἢ εἷς ἢ πλείονες, θάνατον φέρουσιν· ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη γίνεται ἡ παραλλαγή. οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἵσταται ἢ τοῖς ἔξω κυφοῖσι, καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον, καὶ θανατηφόρα ταῦτα μᾶλλον ἐκείνων, καὶ ἢν περιγένωνται δέ, ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ καταναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίαν ἔγωγε, ὅπως
214 χρὴ τὸν | τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι, εἰ μή τινα ἡ διὰ τῆς κλίμακος κατάσεισις ὠφελεῖν οἵη τε εἴη ἢ καὶ ἄλλη τις τοιαύτη ἴησις ἢ κατάτασις, οἵη περ ὀλίγῳ

2 παντι B  μᾶλλ. πάντη V  ᾖ om. MV  2. 3 ξυνέφ. codd., σ. vulg.  3 δὲ om. Ap.  δὲ pro γὰρ Gal. comm. XVIII, A, 313  καὶ om. Ap.  4 τὰ om. MV  τὰ τοιαῦτα μαθ. Gal. comm. ib.  ἐστι V  ἀπειρηθέντα pro ἃ π. BAp.  5 διὰ τί Ap.  6 $\overline{\kappa\varsigma}$ περὶ τῆς εσωθεν τῶν σφονδυλων ἐξαρθρησιος tit. B  ὀκόσοισι B  εἴσω MV  8 post μὲν add. ἢ B  ἐξίστανται B  9. 10 εἰ εἷς ἢ B  10 πλέονες MV  φέρουσι B  11 post αὕτη add. καὶ οὐ γωνιώδης MV  12. 13 ἴσχηται ἢ τοισι Γ  13 τοῖσιν (ν M²) MV  κύφοισι V, κυφυσιν Γ  15 δή pro δέ Wb.  17 ἢν δὲ ... ἐπίπαν (p. 183, 22) om. Γ  19 ὅκως MV  20 ante εἰ add. καὶ M  21 κατὰ pro διὰ MV  κλίμ. κατατάσεις B  ὠφελέειν codd.  22 ἡ pro ἢ V  κατάσεισις MV  ὀλίγον B

*πρόσθεν εἴρηται. κατανάγκασιν δὲ σὺν τῇ κατατάσει οὐδεμίαν ἔχω, ἥ τις ἂν γίνοιτο, ὡς τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιεῖτο. πῶς γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε. ἀλλὰ μὴν οὔτε βῆχες οὔτε πταρμοὶ οὐδεμίαν δύναμιν ἔχουσι, ὥστε τῇ κατατάσει συντιμωρεῖν· οὐ μὴν οὐδὲ ἔνεσις φύσης ἐνιεμένης ἐς τὴν κοιλίην οὐδὲν ἂν δυνασθείη. καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν ἔσω ῥεπόντων σφονδύλων μεγάλη ἁμαρτὰς τῆς γνώμης ἐστίν· ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι καὶ οὐδὲ αὐτὸ τοῦτο γινώσκουσι οἱ προσβάλλοντες· ὅσῳ γὰρ ἄν τις μέζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατατασίων ἢ οἷοι πρόσθεν εἴρηνται ἔχοιμ' ἂν εἰπεῖν, ἁρμόζειν ἂν δοκέοντας μᾶλλον τῷ παθήματι· ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖσι· διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὴ συνιέναι χρὴ περὶ | τῶν τοιούτων, ὡς ἐν* 216 *κεφαλαίῳ εἴρηται, ὅτι τὰ μὲν ἐς τὸ λορδὸν ῥέψαντα ὀλέθριά ἐστιν καὶ σινάμωρα, τὰ δὲ ἐς τὸ κυφὸν ἀσινέα θανάτου καὶ οὔρου σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν· οὐ γὰρ ἐντείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν*

1 *κατασείσει* MV 2 *γέν.* B *ὥσπερ* MV post *ὡς* add. *καὶ* V 3 *ἐποιέετο* codd. 4 post *ἔμπρ.* add. *διὰ* MV 6 *ἔχουσιν* MV ξ(σ M)*υντιμωρέειν* codd. 7 *οὐδ'* MV *φύσις ἐνιεμένη* B 8 *δυνηθείη* MV *σικυίαι* M, *-υῖαι* V 9 *εἴσω* MV 10 *τῆς* om. MV *ἐστί* B 11 *οὐδ'* MV 12 *γι(γ* V)*νώσκουσιν* MV *μείζω* B 13 *προσβάλη* MV *τοσουτον* B

15 *τε* BMV, *δὲ* vulg. *ἀλλοιους* B *κατασίων* (ss. *τα*) M, ss. M², *-σεισίων* rec. Litt. Pq. *εἴρηται* M, corr. man. 2 16 ante *εἰπ.* add. *τις* (*τινας* Wb.) B *ἁρμόσαι οὓς* (*οἷς* V) *ἄν τις δοκέοι τῷ παθ. μᾶλλον* MV 17 *ἄλλον οὐ* B 18 ξ*υνιέναι* codd. *ὡς* Foes. Wb., *ὧν* codd. *ὡς ἐν κ. εἰρῆσθαι* Erm. 19 *εἰς* B 20 *ἐστι* MV *σινόμ.* MV *κῦφον* V 21 *οὔρων* MV 21. 22 *τὸ*[illegible] *ἐπ.* M

*κοιλίην οὐδὲ κωλύει εὐρόους εἶναι ἡ ἐς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις ταῦτά τε ἀμφότερα ποιεῖ καὶ ἄλλα πολλὰ προσγίνεται. ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα καὶ οὖρα ἴσχεται αὐτοῖσιν, οἷς ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε ἔσω μήτε ἔξω, σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος· οἷσι δ' ἂν ἐκστῇ τὸ ὕβωμα, ἧσσον τοιοῦτα πάσχουσι.*

49. *Πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις τοιαῦτα κατίδοι, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶν καὶ καθ' ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος, τὰ δὲ ἀσθενέστερα σινάμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα καὶ κοινωνέοντα τῷ ἄλλῳ σώματι ἐπὶ πλέον, ἐπεὶ καὶ πλευρέων κάτηξις τοιοῦτόν τι πέπονθεν· οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρή, ἢ μία ἢ* 218 *πλέονες, ὡς τοῖσι πλείστοισι | κατάγνυται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ ἔσω μέρος μηδὲ ψιλωθέντα, ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν· ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων· δίαιτά τε φαύλη ἀρκεῖ· ἢν γὰρ μὴ πυρετὸς συνεχὴς ἐπιλαμβάνῃ*

1 *εἴς* B 2 *ἡ δὲ λόρδωσις . . . προσγίν.* om. Γ *τε* om. MV *ποιέει* codd. 3 ante *ἄλλα* add. *ἐς τὰ* MV, *ἐς ταῦτα* Erm. *ἐπί τοι* BΓ, *ἔπειτα* V *πλέονες* Pq. *καλέονται* pro *σκ. τε* MV 4. 5 *καταναρκοῦται* MVΓ, *-κῶνται* Erm. 5 *οἷσιν* Γ, *οἷσι δὲ ἂν* MV 6 *εἴσω* MV 10 *κατίδη* MV *ἐστὶ* MV *καὶ* om. M 11 *ἑαυτὰ* BMV 12 *σινόμ.* MV 14 *πλέων* BΓ *τοιοῦτο* MV 15 *κζ περι πλευρων καταγεντων* tit. B *ἢ* ante *μία* om. MV 16 *πλείονες* BΓ *τοῖς* BΓ *κατήγνυται* MV 17 *τὰ δὲ ὀστ.* Γ *εἴσω* V 18 *γὰρ* pro *ἤδη* Γ *πολὺ* V 19 *ἤδη* om. V *ἔπτ. ἤδη* Γ *ἔμπυοι* M 19. 20 *ἔγμ.* B, *ἐνμ.* Γ 20 *ἐπισφακελίξιεσ* BVMΓ, *-σιες* vulg. 21 *ἀρκέει* codd. *ξυνεχ.* MV *ἐπιλαμβανεῖ* (η suprascr.) M, *ἐπιλάβη* Γ

αὐτούς, κενεαγγεῖν κάκιον τοῖσι τοιούτοισιν ἢ μὴ κενεαγγεῖν καὶ ἐπωδυνέστερον καὶ πυρετωδέστερον καὶ βηχωδέστερον· τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν τῇσι πλευρῇσι ποιεῖ, ὁ δὲ κρεμασμὸς ὀδύνην. ἔξωθέν τε αὖ φαύλη ἐπίδεσις ἀρκεῖ τοῖσι τοιούτοισιν· κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι ἡσύχως ἐρείδοντα ὁμαλὴν τὴν ἐπίδεσιν ἐπιδεῖν ἢ καὶ εἰριῶδές τι προσεπιτιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσι ἡμέρῃσιν· ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τῶν τοιούτων ὀστέων.

50. Ἀμφιφλασθείσης μέντοι τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν ἢ ὑπὸ πληγῆς ἢ ὑπὸ πτώματος ἢ ὑπ' ἀντερείσιος ἢ ὑπ' ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ πολὺ ἤδη αἷμα ἔπτυσαν· οἱ γὰρ ὀχετοὶ οἱ παρὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι καὶ οἱ τόνοι ἀπὸ τῶν ἐν τῷ σώματι ἐπικαιροτάτων τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ οὖν ἤδη βηχώδεες καὶ φυματίαι καὶ ἔμπυοι ἐγένοντο καὶ ἔμμοτοι καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως

1 κενεαγγείη Β Γ, -γγέειν Μ V τοῖς Μ τοιούτοισι Β Γ Μ, ν add. Μ[2] 1. 2 κεναγγίην Β, κενεαγγέειν Μ V, -γγιην mut. in -γγειην Γ 3 τὸ μέτ. om. V 4 πλευρων Γ 5 ante τῇσι add. μὲν Μ V τῆς pro τῇσι Β ποιέει codd. 6 ἀρκέει codd. τ. τοιούτοισιν (ν Μ[2]) ἀ. Μ V τ. τοιούτ. om. Γ 7 κηρωτῇ . . . ὀστέων (10) om. Γ ὀθονίοισιν (ν Μ[2]) Μ V 8 ἐπιδεῖν om. Μ V εἰρ. scripsi, ἐρ. cet. 8. 9 προστιθέντα Β 9 εἴκοσιν (ν Μ[2]) Μ V ἡμέρῃσι Μ V 10 τοιουτέων Β 11 δὲ pro μέντοι Μ 12 πλευρῇσι Γ Μ[1] ὑπὸ ἀντ. Μ V Γ 13 ὑπὸ ἄλλ. Β, ὑπ' Γ, om. Μ V πολὺ om. Γ 14 κατὰ pro παρὰ Μ V Γ 15 παρατεταμένον Β Γ 15. 16 ἀπο των ἐν τω σώματι τῶν ἐν τω ἐπικ. (alterum τῶν ἐν τω expunctum) Β, ἀ. τ. ἐπικ. τ. ἐν τῷ σ. Μ V, ἀπὸ τῶν ἐν τῷ σ. ἐπικ. Γ ἔχουσιν Γ 17 πολλοὶ . . . αὐτοῖσιν (186, 6) om. Γ γοῦν Μ V 18 ἐνμ. Β ἐπεσφακελισαι Β, ἐπεσφακέλλισεν V 19 αὐτοῖσι Β τοιοῦτο Μ V ἐπεγένετο Β 20 πλευρῇσι Μ, ν add. Μ[2]

*δὲ βράδύτερον ὀδυνώμενοι παύονται οὗτοι ἢ οἷσιν ἂν πλευρὴ καταγῇ, καὶ ὑποστροφὰς μᾶλλον | ἴσχει ὀδυνημάτων τὸ χωρίον ἐν τοῖσι τοιούτοισι τρώμασιν ἢ τοῖς ἑτέροισιν. μάλα μὲν οὖν μετεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢ ἢν πλευρὴ κατεαγῇ αὐτοῖσιν. ἀτὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται, εἰ σωφρονοῖεν· τῇ τε γὰρ διαίτῃ συμφέρει συνεστάλθαι, ἀτρεμεῖν τε τῷ σώματι ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι, βρωμάτων τε λιπαρῶν καὶ κερχνωδέων καὶ ἰσχυρῶν πάντων, φλέβα τε κατ' ἀγκῶνα τέμνεσθαι, σιγᾶν τε ὡς μάλιστα, ἐπιδεῖσθαί τε τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχοισι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντῃ τοῦ φλάσματος, κηρωτῇ δὲ ὑπαλείφειν ὀθονίοισί τε πλατέσι σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσιν ἐπιδεῖν· ἐρείδειν δὲ μετρίως, ὥστε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεμένον μηδ' αὖ χαλαρόν· ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα· τὴν δ' ἐπίδεσιν ποιεῖσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδεῖν τε, ἵνα μὴ περιρρεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρὰς ᾖ, ἀλλ'*

1 *βραχύτεροι* Merc. i. m. *οἷσι* M, *ν* add. M² 2 ante *πλ.* add. *ἡ* M *κατηγῇ* B 3 *τρώμασι* B 4 *τοῖσιν ἑτεροίοισιν* MV *ἑτεροισι* B *κατ' ἀμ.* V 5 *μ. ἣν ἣν πλ.* B, *μ. ἢ ἣν ἡ πλ.* V *κατηγη* B 6 *αὐτεοις* B, *αὐτοῖσι(ν²)* M, *αὐτέοισιν* V *ἠισιος* BΓ, *ἰήσεως* V ad *σκεθροτ.* i. m. *ἀκριβοῦς ἀληθοῦς* M *σκεθρωτ.* Γ 7 *τῇ τε . . . ἀπέχ.* (9) om. Γ *ξυμφ.* codd. *ξυνεσταλμένη* B, *ξυνεστάλθαι* MV 8 *ἀτρεμιν* B, *-μέειν* MV 9 *βρωμ. δὲ λ.* MΓ 9. 10 *κερχιωδ.* MV 11 *σιγᾶν . . . ταύτῃ μάλιστα* (18) om. Γ *ἐπιειδεισθαι* B, *ἐπιδέεσθαι* MV *δὲ* MV ante *τὸ χ.* add. *ἐς* M 13 *πλατυτέροις ἡ* B, *-τέρῃσι* (οι superscr.) M *πάντα* M 14 *τε* pro *δὲ* MV *ὑποχρίειν* MV *ὀθονιοις δὲ πλατεσιν* B 15 *πλατιησι πλατησι* B *μαλθακησι* B *ἐπιειδεῖν* B, *ἐπιδέειν* MV *τε* MV 16 *φᾶναι* V 17 *τε* B 18 *δὲ* MV 19 *ποιέε.* codd. *ἐπειδειν* B, *ἐπιδέειν* MV *ἐπιδεινται* Γ, *ἐπιδέεται* Litt., Erm. pro *ἐ. τ.* 20 *εἴη* BΓ, *ἔη* MV, scripsi *ᾖ* *ἀλλὰ* M

ἰσόρροπον. ἐπιδεῖν δὲ ἢ καθ᾽ ἑκάστην ἡμέρην ἢ παρ᾽ ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινί, ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου, καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν, ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. τῇ δ᾽ ἐπιδέσει, ἔστ᾽ ἂν μὲν ἰσχναίνῃς, ἐρηρεισμένῃ μᾶλλον χρῆσθαι· ὁπόταν δὲ ἐς τὸν ἁπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ |
καταρχάς, τεσσαρακονθήμερον τὴν μελέτην καὶ τὴν 222
ἐπίδεσιν ποιεῖσθαι χρή· ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκεῖ ἐν εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύι δὲ τοῦ τρώματος τοὺς χρόνους προτεκμαίρεσθαι χρή. ὅσοι δ᾽ ἂν ἀμελήσωσι τῶν τοιούτων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι μέζον φλαῦρον γένηται, ὅμως τό γε χωρίον, ᾗ ἀμφεφλάσθη, μυξωδεστέρην τὴν σάρκα ἴσχει ἢ πρόσθεν εἶχεν. ὅπου δέ τι τοιοῦτον ἐγκαταλείπεται καὶ μὴ εὖ ἐξιποῦται τῇ ἀλθέξει, φλαυρότερον μέν, ἢν παρ᾽ αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες· οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό τε ὀστέον νοσηρότερον γίνεται σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιούτων προφασίων ἐγένοντο. ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ

1 ἐπιδέειν MV ἐπιδεῖν . . . ἁπαλῦναι (5) om. Γ ἢ καθ᾽ et ἢ alterum om. B 5 δὲ MVΓ ἐπιδεσι BΓ 5. 6 ἐρηρισμενης Γ 6 χρέε. MV ὅταν Γ, ὁκ. cet. 7 ἄγεις B ἐπὶ χαλ. V καὶ ἢν . . . προστεκμ. χρή (12) om. Γ 8 κατ᾽ ἀρχὰς V τεσσ^ε^αρακ. M, alterum α in raso l. V 9 ποιέε. codd. 10 ἀρκέει codd. 11 ἰσχύει B προστεκμ. BM 12 τοιουτέων BΓ 13 αὐτοις BΓ 14 γίνεται B ἡ BΓ, ἢν MV ἀμφιφλασθῇ BMVΓ, ἀμφεφλάσθη Erm., χωρίον ἀμφιφλασθὲν Litt. Pq. ex rec. codd. 15 ἴσχειν BΓ ὅκου MV δὴ MV 16 τοιουτον τι Γ ἐνκ. BΓ τισι pro τῇ B, -ν Γ, τηισηι mut. in τηισι M, τῇσιν V, τῇ γε vulg. ἀλθέξεσιν Γ 17 post ἢν add. μὲν V 17. 18 ἐνκ. BΓ 18 ἔτι om. Γ 18. 19 ἐφάπτ. Γ νοσηλότ. Γ 20. 21 τοιουτέων codd. 21 προφάσεων V ἐγίγνετο Γ

*ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ὅμως ὑποστροφαὶ γίνονται καὶ ὀδύναι ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. καὶ διὰ τοῦτο τῇ ἐπιδέσει χρῆσθαι χρή, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ ἐπὶ πολὺ προηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ αναποθῇ τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει ἐγγενόμενον, αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον, ἅψηται δὲ τοῦ ὀστέου ἡ σάρξ. οἷσι δ' ἂν ἀμεληθεῖσιν χρονιωθῇ καὶ ὀδυνῶδες τὸ χωρίον γένηται καὶ ἡ σὰρξ ὑπόμυξος, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ ᾖ μυξώδης, ἄχρι τοῦ ὀστέου καίειν χρή, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ᾖ, ἐπιπολῆς μὲν οὐδὲ οὕτω χρὴ καίειν, φυλάσσεσθαι μέντοι μὴ δια-*
224 *καύσῃς πέρην. | ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκῇ εἶναι τὸ φλάσμα καὶ ἔτι νεαρὸν ᾖ καὶ μή πω σφακελίζῃ τὸ ὀστέον, ἢν μὲν κάρτα ὀλίγον ᾖ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ᾖ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλέονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ εἰρήσεται.*

51. *Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ — ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους —, ἐς μὲν τὸ ἔσω πολὺ*

1 *ἀλλὰ Γ* *ἔῃ* MV post *ὅμ.* add. *γοῦν* MV 2 *ἤν τι* Litt. ex cod. H[1] 3 *καὶ* om. MV *καὶ διὰ . . . σάρξ* (7) om. *Γ* 4 *δέεσθαι* pro *χρ.* MV *ἐπὶ* om. MV 5 *προσηκ.* MV 6 *ἐνγ.* B, *γεν.* MV 7 *ὑγιέϊ* V 8 *ἀμεληθεῖσι* MV 9 *γένηται* om. MV post *ὑπόμ.* add. *ἔῃ* MV, *ἢ Γ* *τούτοισιν Γ* 10 *καὶ ἢν . . . εἰρήσεται* (20) om. *Γ* *σ. μυξ.* *ἔῃ* MV 12 *ἔῃ* MV *ἐπιπολλῆς* B 13 *οὐδ'* MV *οὕτω* N, -ς cet. codd. 14 *δοκέει* B, *-κέῃ* MV, scripsi *-κῇ* 15 *εἴῃ* MV *σφακελίσῃ* MV 16 *ἔῃ* MV 17 *ἔῃ* MV 18 *πλείον.* MV 21 *K͠H περὶ μηροῦ ἐξαρθρήσεως* tit. B, *ἐὰν μηρὸς ἐξ ἰσχίου ἐκπέσηι* tit. i. m. inf. M, *περὶ τῆς κατ' ἴσχιον διαρθρωσεως* tit. *Γ* 22 *κατὰ* om. *Γ*Ap. *τεσσαρες Γ* *εἴσω* MV *πολὺ* om. M

*πλειστάκις, ἐς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, ἐς δὲ τὸ ὄπισθεν καὶ τὸ ἔμπροσθεν ἐκπίπτει μέν, ὀλιγάκις δέ. ὁπόσοισι μὲν οὖν ἂν ἐς τὸ ἔσω ἐκβῇ, μακρότερον τὸ σκέλος φαίνεται παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως· ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον τὸ ἄνω φερόμενον πρὸς τὸν κτένα, ἐπὶ τοῦτο ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχεῖται· ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἅτε ἔσω ῥεψάσης τῆς κεφαλῆς τοῦ μηροῦ, τό τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ πους ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδός, οἱ ἰητροὶ δι' ἀπειρίην τὸν ὑγιᾶ πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιᾶ. διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ* | 226 *καὶ ἄλλῃ τὰ τοιαῦτα παρασύνεσιν ἔχει. οὐ μὴν οὐδὲ συγκάμπτειν δύνανται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ παρὰ τὸν περίνεον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημεῖα ταῦτά ἐστιν, οἷς ἂν ἔσω ἐκπεπτώκῃ ὁ μηρός.*

1. 2 *ἐκ δὲ τοῦ ὄ. καὶ τοῦ ἔ.* B *τουπ.* et *τουμ.* *Γ* 2 *καὶ τὸ ἔμπρ.* om. Ap. 3 *ὅκως οἷσι* B, *ὁπόσ.* scripsi, *οἷσι* M V *Γ*, *οἵη* Ap. *ἐὰν* *Γ*, om. Ap. *ἐκβῇ ἐς τὸ εἴσω* M V post *ἔσω* add. *μέρος* Ap. *Γ* 5 *εἰκότως . . . μηροῦ* (7) et *ὡσαύτως . . . ὑγιέος* (16) om. *Γ* 6 *τὸ ἄνω* om. V *ἐπὶ* pro *πρὸς* Ap. 7 *τούτου* M V, *τοῦτον* Ap. *τοῦ μηροῦ τ. κ.* Ap. 9 *ὀχέε.* codd. *αὐτοῦ ὁ γλ. κοινος* Ap. 10 *εἴσω* M V *ἔσω ἅτε* Ap. *τό τε ἀὐτῶ γ. τ. μ. ἀναγκ.* Ap. 12 *ποῦς* ut fere solet V 13 *οἱ* om. B *ὑγιέα* utroquo loco M V

*φεῦ τῆς κακίστης ἐν νόσοις ἐμπειρίης*
*ἀπειρίη γὰρ ἄλγιον ληιστουργίης* i. m. inf. M

16 *ἄλλα* *Γ* *παραξ.* M, *παρὰ ξ.* V 17 *οὖ δὲ μὴν* M V *ξυγκ.* M V *δύναται* M 18 *ἀτὰρ καὶ . . . ἀμεληθῇ* (p. 190, 2) om. *Γ* 19 *κατὰ* pro *παρὰ* M V 20 *ἔκδηλός ἐστιν* Ap. *οὖν* et *ἐστιν* om. Ap. *οἷσι* M, *-ν* V 21 *εἴσω* M V *ἐκπεπτώκει* M V *ὁ μηρὸς* om. Ap.

52. *Οἷσι μὲν ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖσι βουσὶν γίνεται καὶ ἡ ὄχησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστιν. καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα καὶ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κοῖλοι καὶ σκολιοὶ εἶναι· κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι· εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνοι, ἀπωθέοι ἂν τὸ σῶμα τὸ ἄλλο ἐπὶ τοῦ σιναροῦ σκέλεος τὴν ὄχησιν ποιεῖσθαι· τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχεῖν· πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ ἔσω βαίνειν, ἀλλὰ μὴ ἔξω· οὕτω γὰρ ὀχεῖ μάλιστα τὸ σκέλος τὸ ὑγιὲς καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὰ ἄρθρα σμικροὶ φαίνονται καὶ ξύλῳ τῷ ἀντερείδεσθαι ἀναγκάζονται πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος· δέον-*
228 *ται γὰρ ἀντικοντώσιος ταύτῃ· | ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ἐγκεῖται ἐπὶ τοῦτο. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν· τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν· οὐ γὰρ δύναται τὸ σι-*

1 *οἷς* B *ἐὰν* pro *οἷσι μὲν ἂν* Ap. 2 *καὶ ἀμ.* om. Ap. *ὁδοιπορείη* B 3 *τοῖς* BΓ, *ἐν τοῖς* Ap. *βουσὶ* MV 3. 4 *καὶ ἡ ὄχησις . . . σκέλεός ἐστιν* om. Γ *ἡ* om. MV *ὄγκωσις* Ap. 4 *αὐτέοισι* B *ἐστί* V *ἐστιν ἦν ἀναγκαιον τὰ κατα* Ap. 5 *ἢ* pro *καὶ* MV 6 *κοιλοὶ* VΓ *καὶ κατὰ δὲ* Ap. 8 *εἰ γὰρ . . . ἐγκ. ἐπὶ τοῦτο* (20) om. Ap. *σκέλεος* om. M, add. M² i. m. *βαίνει* (ηι supra) M, *βαίνει* V 9 *ἐς τὸ σιναρὸν σκέλος* MV 10 *ποιέε.* codd. 11 *ὀχέειν* codd. ante *ἀναγκ.* add. *ἂν* B *οὕτως κατὰ* BΓ 12 *εἴσω* MV 13 *ὀχέει* codd. 16 *μικ.* MV *τῷ ξ. ἀντ.* MV, *τῷ ξ. τῷ ἀντ.* BΓ, corr. Wb. 19 *ῥέπουσιν* Γ *ἐνκ.* Γ, *ὀχέεται* MV 20 *ἐπικρύπτ.* B *τῇ γ. χειρὶ τῇ* Ap. 21 *κατὰ τὸ πλ. τὸν μ.* Γ 22 *ἐρείδ.* om. Ap.

*ναρὸν σκέλος ὀχεῖν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοισιν οὖν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν ἔσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου, ὅπως ἂν ῥήιστα ἐσχηματισμένος ᾖ, ἀλλ' αὐτὴ ἡ συμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήιστα αἱρεῖσθαι. ἐπεὶ καὶ ὅσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ κάρτα μὴ δύνανται ἐπιβαίνειν τῷ σκέλει, πάντες, καὶ οἱ νήπιοι, οὕτως ὁδοιπορέουσιν· ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ· καὶ δισσὰ κερδαίνουσι, δισσῶν γὰρ δέονται· τό τε γὰρ σῶμα οὐκ ὀχεῖται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ ἔσω· οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑποβαινομένου· κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, εἰ τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ ἐσωτέρω. περὶ οὗ οὖν ὁ λόγος, ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥήιστα τῶν | σχημάτων. ὅσοισι* 230

1 *ὀχέειν* codd. 2 *εἰ* pro *ἢν* MV *κατέχει τε* B, *κατέχειται* Γ *μὴ κατ. πρὸς* om. Ap. 3 *τούτοισι* B, *-ν* Γ, *τοιούτοισιν* MV *γοῦν* M *σχήμασι* M[1], *ν* add. M[2] 4 *οἷσι* M[1], *ν* add. M[2] *εἴσω* MV, om. Ap. *ἐκβᾶν* V *ἐκπέσῃ* B, *ἐνπ.* Γ 5 *οὐ προβουλεύσαντος . . . σιναρῷ* (10) om. Γ *ὅκως* MV 6 *ἐσχη(ι* M)*ματισμένον* MV *ἔῃ* MV, *εἴη* Wb. *ἀλλὰ* B *ξυμφ.* MV 7 *ἐρέεσθαι* M[1]V, *αἱρέεσθαι* BM[2] *ὁκόσοι* MV 8 *οὐ κάρτα* pro *κ. μὴ* MV 10 post *σιν.* add. *σκέλει* MV *κερδαίνουσιν* MΓ 11 *τό τε . . . σχημάτων* (20) om. Γ *ὀχέε.* codd. 13 *εἴσω* codd. *οὔτε* B *αὐτὸ* MV 14 *ὑπερβαιν.* MV, *ὑ* in raso l. M[2] 15 *τῇ* ante *ὁδ.* om. M 18 *ἢν* pro *εἰ* MV *μὲν τῷ* V post *βαίνοι* add. *τις* B *ὑγιεῖς* B 19 post *ἀγ.* add. *γὰρ* V 20 *ἐς* uncis incl. Litt. aut *ἑωυτὸ* pro *ἑωυτῷ* legi vult, *ἐς* del. Erm. *οἷσι* Γ, *οἷς* Ap.

*μὲν οὖν μήπω τετελεωμένοις ἐς αὔξησιν ἐκπεσὼν μὴ ἐμπέσοι, γυιοῦται καὶ ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς· οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὸ τοῦ μηροῦ, ἄσαρκόν τε πᾶν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτότερον γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρῆσθαι ἐστιν, ὅτι οὐ κατὰ φύσιν κεῖται· χρῆσις γὰρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος. ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξείης. κακοῦται μὲν οὖν μάλιστα οἷς ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, δεύτερον δὲ οἷς ἂν νηπιωτάτοις ἐοῦσιν, ἥκιστα δὲ τοῖσι τετελεωμένοισιν. τοῖσι μὲν οὖν τετελεωμένοις εἴρηται οἵη τις ἡ ὁδοιπορίη γίνεται. οἷσιν δ' ἂν νηπίοις ἐοῦσιν ἡ συμφορὴ αὕτη γένηται, οἱ μὲν πλεῖστοι καταμβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταμβλακεύουσι*

1 *τετελεωμ.* scripsi, *τετελειωμ.* B Ap., *-οισιν* V, *τελειουμένοισιν* M *ἐκπεσὸν* M V Γ *μηδε* Ap. 2 *ἐμπέσει* B, *-σῃ* M Γ Ap. *γυοῦται* M V *ἐν ἄλλῳ ἕως τοῦ γύονται ἦν τὸ περὶ ἄρθρων* in marg. inf. M *καὶ* post *γυ.* om. M V 3 *οὔτε γὰρ . . . μηροῦ* (4) om. Γ *τὰ* ante *ὀστέα* om. Ap. 4 *τὰ* pro *τὸ* M V, *τὸ* om. Ap. 5 *ἅπαν* M V Ap., *ὅλον* Γ *ἄμυ[illegible]ον* M 6 *λεπτὸν* Ap. 7 *τῆς χώρης* om. Ap. *ἅμα . . . κεῖται* et *ῥύεται τῆς . . . γένηται* (15) om. Γ *χρέε.* M V 8 *κέεται* M V 9 *ἐκθηλύνσεως* M V *δ' ἔτι* V 10 *ἀναυξείης* scripsi, *-ξίης* B, *-ξήσιος* M, *ἀναξαύσηος* V *οἷσιν* (*ν* add. M[2]) M V utroque l. 11 *ἐξαρθρήσει* B M 12 ante *νηπ.* add. *ὡς* M V *νηπιωτάτοισιν* M V *ουσιν* B 13 *τετελειωμένοισι(ν* M) . . . *τετελειωμένοισιν* M V 14 *ἡ* om. V *ὁδοπορείη* B *οἷσι* M V *νηπίοισιν* M V *οἱ δε νηπ.* Ap. 15 *ἐοῦσιν* om. Ap. *ξυμφ.* codd. *φαίνηται* M V, *γίν.* Ap. *μὲν* om. Ap. 16 *καταμβλ.* B Ap., *-μβλακεουσιν* Γ, *καταβλ.* M V *ὄρθωσιν* Ap. *ἀλλ* Γ 17 ante *εἰλ.* add. *κακῶς* vulg., om. B M V Γ Ap. 18 *καταμβλ.* B Ap., *κατολιγορουσι* B[2] i. m., *καταβλ.* M V *καταμβλ. δὲ . . . ἔχουσιν* (p. 193, 8) om. Γ

*δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷς ἂν τετελεωμένοις ἡ συμφορὴ αὕτη γένηται. ὁπόσοι δ᾽ ἂν νήπιοι ἐόντες ταύτῃ τῇ συμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθέωσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέωνται ἐς ὀρθόν, ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περι|φέρουσιν, μετεξέτεροι δὲ καὶ ὑπ᾽ ἀμφοτέρας* 232 *τὰς χεῖρας· τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσιν, καὶ τοσούτῳ ῥηίους εἰσίν, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ᾖ· τὸ δὲ ὑγιὲς ἰσχύει αὐτοῖσιν οὐδὲν ἧσσον ἢ εἰ καὶ ἀμφότερα ὑγιᾶ ἦν. θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισι αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δέ τι θηλύνονται ἐκ τοῦ ἔξω μέρεος ἢ ἐκ τοῦ ἔσω ὡς ἐπὶ τὸ πολὺ πᾶσιν.*

53. *Μυθολογέουσιν δέ τινες, ὡς αἱ Ἀμαζόνες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν αὐτίκα νήπιον ἐὸν ἐξαρθρέουσιν, αἱ μὲν κατὰ γούνατα, αἱ δὲ κατὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέωνται, ὁπόσα ἢ σκυτείης ἔργα ἢ χαλκείης ἢ ἄλλο ὅ τι ἑδραῖον ἔργον.*

1 *δ᾽* MV *ἄρθρον* B *οἷσιν* (*ν* add. M²) MV 2 *τετελι*(scripsi *λε*)*ωμένοις* B, *τελειουμένοισιν* (*ν* add. M²) MV *αὕτη ἡ ξ.* MV *ξυμφ.* utroque l. codd. *ὁκ.* vulg., *ὁκό*(*ω* B)*σοισι* BM 4 *παιδαγωγηθῶσι*(*ν* M) MV *σκελεει* B *χρέωνται* B, *χρέο-* cet. 4. 5 *ἐσορθρον* B 6 *σκειπων* B *περιφέρουσι* MV 7. 8 *ἔχουσι* MV 8 *ῥηΐους* MV, *ῥαους* BΓ *εἰσὶ* M *αὐτοῖσι* BM¹, *ν* add. M² 9 *ἔῃ* MV, om. Γ *δ᾽* MV *ἰσχυηι* M, *-ῃ* V, *-ϊ* Γ *αὐτεοισιν* B, *-σι* Γ 10 *ἢ* om. BΓ *ὑγιᾶ* scripsi, *-έα* codd. 11 *τοῖσι* om. V *τοιούτοισιν* MV 12 *δ᾽ ἔτι* BMVΓ, *δέ τι* Litt. e Par. EHN post *θηλ.* add. *αἱ* MV, om. BΓ 13 *εἴσω* MV *ἐπὶ πολὺ* B *πᾶσι* MV 14 *περὶ τῶν ἀμαζονίδων* i. m. B²M *μυθολογέουσιν . . . ἐόντα* (p. 194, 3) om. Γ *μυθολογοῦσι*(*ν* B) codd., scripsi *-έουσιν* *ἀμαζονίδες* MV 15 *ἄρρεν* V 17 *γίνεται* B *ἐπιβουλεύει* BM *ἄρρεν* MV ante *ἄρρ.* duodecim circ. litt. erasae M 18 *χειρόν.*, *ό* in raso loco, M *χρέωντ.* scripsi, *χρῶντ.* B, *χρέο-* cet. *ὁκ.* codd. 19 *σκυτίης* B *χαλκιης* B *ἄλλο τι* MV

εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα· ὅτι δὲ γένοιτ' ἂν τοιαῦτα οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. κατὰ μὲν οὖν τὰ ἰσχία μέζον τὸ διάφορόν ἐστιν ἐς τὸ ἔσω ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι, κατὰ δὲ τὰ γούνατα διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέ-
234 ρου τοῦ χωλώματος ἴδιός ἐστιν· κυλλοῦν|ται μὲν γὰρ μᾶλλον, οἷς ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ· ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷς ἂν ἐς τὸ ἔσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ ἢν παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται, ἑστάναι δὲ δύνανται· ἢν δὲ ἐς τὸ ἔσω μέρος ἐξαρθρήσῃ, βλαισοὶ γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται. ἥ γε μὴν συναύξησις τῶν ὀστέων τοιήδε γίνεται· οἷσιν μὲν ἂν τὸ κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισιν μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα συναύξεται· ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστι· τὰ δὲ τῆς κνήμης ὀστέα αὔξεται οὐ πολὺ ἐνδεεστέρως, αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει συναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτερον γίνεται· τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν· τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μέν,

1 ταῦτ' MV ἐστι M 2 γινοίατο M, γίνοιτο V 3 οὖν om. Γ ante μέζον add. καὶ ΒΓ εἰς Β, ἢ ἐς MV 4 εἴσω M εἰς ΒΓ κατὰ γούν. δὲ διαφ. MV 6 ἐστι V κυλλουται Γ, γυοῦνται MV 7 οἷσιν (ν M²) MV 8 οἷσιν (ν add. M²) codd. εἰς M εἴσω V περὶ κυλλῶν καὶ βλέσσων tit. in calce M 11 εἴσω MV βλεσσοὶ MV post βλ. add. μὲν MV 12 ξυναύξησις ὀστέων tit. i. m. M ξυναύξ. MV, μὴν οὖν συν αὔξ. Γ 13 οἷσι MV οἷσιν . . . χρῆσθαι τῷ σκέλει (p. 196, 23) om. Γ οὖν pro ἂν MV τὸ ante κατὰ om. MV 14 τούτοισι M, τοῖσι V 15 ξυναύξ. M 16 ἐστιν M post αὐξ. add. μὲν MV 17 post πολὺ add. δὲ MV μινυνθουσιν Β, μηνύθουσι M 19 ἐξεστήκοι V 20 ξυναύξ. MV 21 βραχύτατον MV 22 ἐστι MV

ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶόν ἐστιν. εἰ δέ οἱ χρῆσθαι ἠδύναντο, ὡς καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθει τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἡ ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει συναύξεσθαι ὁμοίως — τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν —, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδὸς διὰ τοῦτο, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ παρὰ τὴν κνήμην ἐν τῇ ἑωυτοῦ φύσει μένει καὶ τὸ τῆς κνήμης τὸ παρὰ τὸν | πόδα. σάρκες μέντοι μινύ- 236 θουσιν παντὸς τοῦ σκέλεος τούτοισιν. εἰ μέντοι χρῆσθαι τῷ σκέλει ἠδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα συνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν ἢ τὸ τοῦ μηροῦ, κἂν ἧσσον ἄσαρκα εἴη, ἀσαρκότερα δὲ πολλῷ ἢ εἰ ὑγιᾶ ἦν. σημεῖον δὲ ὅτι ταῦτα τοιαῦτά ἐστιν· ὁπόσοι τοῦ βραχίονος ἐκπεσόντος γαλιάγκωνες ἐγένοντο ἢ ἐκ γενεῆς ἢ ἐν αὐξήσει καὶ πρὶν τελεωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσιν, τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ

1 ante ὀλ. rasura trium litt. M 2 τὸν pro τὸ B 2. 3 δέοι pro δὲ οἱ V 3 χρέε. MV ἠδύνατο MV, ηδυναντο B ὥσπερ MV 4 μινύθι B τουτων B, -οισι(ν²) M 5 ἡ om. MV 6 ξυναύξ. MV 7 ἐστι M 9 τούτοισι(ν²) M 10 post ποδὸς add. ὀστέα B τὸ post ὅτι om. B 12. 13 μινύθουσι MV 13 τούτοισι(ν²) M 13. 14 χρέε. MV 14 ἐδύναιντο M αἰτιαν pro ἔτι ἂν B 15 συνηυξ. B, ξ. MV ἢ τὸ om. MV 16 ην B, ἔη MV, εἴη Litt. 17 ηϊ B, ἢ εἰ ὑγ. Litt. ex Par. N, εἰ om. MV ὑγιᾶ scripsi, ὑγεια B, ὑγιέα rel. ταῦτα om. MV 18. ὀκ. codd., οκωσοισι B post ὀκ. add. γὰρ MV 19 ἢ ante ἐκ om. MV ante ἐν add. καὶ MV καὶ ante πρὶν om. MV τελειωθ. codd. 20 ἴσχουσι MV

*ὑγιέος διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω [τοῦ ἄρθρου] τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος ἐγένετο· ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς συμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸς τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἥ τε αὖ χεὶρ ἄκρη ἔτι τηλοτέρω ἄπεστιν ἢ ὁ πῆχυς ἀπὸ τῆς συμφορῆς. διὰ ταύτας μὲν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξανόμενα οὐ συναύξεται, τά τε συναυξανόμενα συναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελεῖ· ὅσα γὰρ χειρῶν ἔργα ἐστί, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα περ καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος· οὐ γὰρ δεῖ ὀχεῖσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσι αἱ σάρκες αἱ κατὰ τὴν*
238 *χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν,* | *ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελεῖται ἐς εὐσαρκίην διὰ ταύτην· ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ ἔσω μέρος ἐκ γενεῆς ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσι αἱ σάρκες διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρός, ὅτι οὐ δύνανται χρῆσθαι τῷ σκέλει. μαρτύριον δέ τι ἐνέσται καὶ*

2 *δε τω ἀρθρῶ* B, *τ. ἀ.* uncis inclusi 3 *ἐστο* B 4 *ξυμφ.* MV 5 *πήχεως* V 6 *ἄκρη* om. MV 7 *ξυμφ.* codd. 8 *οὖν* pro *μὲν* MV 9 *ξυναυξ.* BV, *συναυξόμ.* M *ξυναύξεται* utroque loco MV 9. 10 *τό τε ξυναυξόμενον* M, *τό τε ξυναυξανόμενον* V 10 *ξυναύξεται* MV 11 *προσωφελέει* BV, *-ήσει* M 13 *συνεργ.* B *περ* om. MV 15 *ὀχέε.* codd. 16 *αὐτεοισι* B, *-έησι* Litt., *-ῇσι* Erm. *ἐστὶ* V 17 *μινύθουσιν* MV 18 *κατὰ* om. B 19 *προσωφελέεται* codd. 19. 20 *διαταῦτα* MV 20 *εἴσω* MV 21 *μινύθουσιν* MV 23 *χρέε.* MV post *μαρτ.* add. *ἓν* MVPq. *ἐνἕσται* B

*ἐν τοῖς ὀλίγον ὕστερον εἰρησομένοις, ὅτι ταῦτα τοιαῦτά ἐστι.*

54. *Οἷσι δ' ἂν ἐς τὸ ἔξω τοῦ μηροῦ ἡ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως· οὐ γὰρ ἐπ' ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε ἔσω ἐκπέπτωκεν, ἀλλὰ παρὰ τὸ ὀστέον παρακεκλιμένην τὴν φύσιν ἔχον, ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ· διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην κοιλότερος καὶ ἀσαρκότερος γίνεται. ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίης. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτός, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ. τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἔσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς. ἀτὰρ οὐδὲ συγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ.*

1 *τοῖσιν* (*ν* add. M[2]) MV *εἰρησομένοισιν* V, *εἰρημένοισι(ν*[2]) M 2 *ἐστιν* MV 3 *ΚΘ περὶ τῆς ἔξωθεν ἐξαρθρήσεως τῆς κεφαλης του μηρου* tit. B, *π. τ. ἔξω ἐ. τοῦ μηροῦ κεφαλῆς* tit. Γ *ὅσοις* Ap. *ὁκόσοισι δ' ἂν ἐς τὸ ἔξω ἡ τ. μ. κ.* MV *ἐς τὸ* om. BΓ *τοῦ* om. Ap. *ἡ* om. Ap. 4 *τούτοισι* om. Ap. *τούτοισι . . . ὁ πούς.* (16) om. Γ 5 *εἰκότως* del. Erm. 5. 6 *ἐπὶ τὸ ὀ.* Ap. 6 *η αναβασις η κεφαλη* Ap. *ὥσπερ* Ap. 6. 7 *ὥστε* pro *ὡς ὅτε* V 7 *εἴσω* codd. *σεκπεπτωκεν* B, *ἐξέπιπτεν* MV Ap. post *ἀλλὰ* add. *ἂν* Ap. *παρ' ὀστ.* MV 7. 8 *παρεγκ.* MV, *παρακεκλιμένη* B 8 *ἔχον ἐν σαρκὶ ἐνστηρίζεται* Ap. 10 *πληχ.* B 10. 11 *κυλλ.* Foes. 11 *ἀσαρκ. φαίνεται* Ap. 12 *τοῦ μηροῦ* om. V 13 *ὠλισθηκυίας* B *μηρος* pro *γλ.* Ap. 14 *τῆς ἐνταῦθα* om. Ap. 15 *τό τε* Ap. *ἄκρον* om. Ap. *εἴσω* codd. 16 *ποῦς* ut solet V 17 *ὡς* Γ *δύναται* BAp. *τὰ μὲν οὖν . . . σκέλος* (p. 198, 3) om. Γ 18 *οὖν* om. Ap. post *μηροῦ* add. *εἰσιν* codd., om. Ap. Erm.

55. *Οἷσι μὲν οὖν ἂν τετελεωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον | μὴ ἐμπέσῃ, τούτοισιν βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος· ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνεῖσθαι τῆς γῆς, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ἐπὶ τὴν γῆν· ὀλίγον δὲ ἐς τὸ ἔσω μέρος ῥέπουσιν τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχεῖν δὲ τὸ σῶμα δύναται τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον ἢ οἷς ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ὅτι ἄκρος ὁ πους οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐκκεκλίσθαι, ἀλλ ἐγγύς ἐστιν τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα καὶ τείνει καὶ ἐσωτέρω. ὅταν οὖν τρίβον μὲν λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκί. ἐς ἣν ἐξεκλίθη, ἡ δὲ σὰρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται· ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορεῖν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται, δύνανται δὲ ὀχεῖν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρη-*

1 *ἂν* om. codd., add. Ap. *ἤδη τετελειωμένοις* Ap. *τετελιωμ.* B, *τετελειωμ.* cet. 2 *ἐμπέσει* B *τούτοισι* MV *τούτοις μὲν βρ. φ.* Ap. 3 *μὲν* om. *Γ* 4 *καθικνησθαι* B*Γ*, *-έεσθαι* cet. ante *τῆς γῆς* add. *ἐπὶ* MV, *ἐπὶ τὴν γῆν* Ap. Erm. *τῷ . . . γῆν* om. M, add. i. m. ead.(?) m. 4. 5 *στήθι* B 5 *ἐπὶ τ. γ. ὀλίγον . . . ἄκροισιν* om. B[1], add. i. m. B[2] *ἐπὶ τῆς γῆς* altero l. Erm. *βαίν. ὀλίγον ἐπὶ τὴν γῆν εἰς τὸ ἔσω ῥ. ἀκ. δὲ τ. δ.* Ap. 5 *εἰς* codd. 6 *εἴσω* MV *ῥέπουσι* MV *ὀλίγον . . . τείνει καὶ ἐσωτέρω* (14) om. *Γ* 7 *ὀχέειν* codd. *δύν. τ. σ.* MV *τοῦτ' εἰ* pro *τούτοισι* Ap. 8 *οἷσι* M, *-ν* V *εἴσω* V *ἐκπεπτώκει* V 12 *ἐγκεκλεῖσθαι* BMV, *ἐκκεκλίσθαι* Par. M Litt. Pq., *ἐκκεκλίνθαι* Erm. 13 *ἐστι* MV 15 *εἰς* codd., *ἐς* Pq. *ἐξεκλειθη* M, *-είσθη* V. 16 *ὅταν . . . ποδί* (p. 199, 20) om. *Γ* 17 *δύναται* MV *ὁδοιπορέειν* codd. 18 *ὀχέειν* codd. 19 *τοιούτοισι* B 20 *οἷσι*($ν^2$) M

*ται· ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον· μᾶλλον δέ τι ἐκθηλύνονται κατὰ τὸ ἔσω μέρος ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδεῖσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται. οἷσι δ' ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν μὴ ἐμπέσῃ ἢ καὶ ὑπὸ νούσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον καὶ ἐκπαλήσῃ — πολλὰ γὰρ τοιαῦτα γίνεται — καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρός, ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται καὶ ὀστέων ψιλώσιες ἐνίοισιν· ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει | καὶ οἷσιν μὴ ἐπισφακελίζει τοῦ μηροῦ* 242
*τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται καὶ οὐκ ἐθέλει συναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος. τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται ἢ τὰ τῆς ἑτέρης, ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται· ὁδοιπορεῖν δὲ δύνανται οἱ τοιοῦτοι, οἱ μέν τινες αὐτῶν τοῦτον τὸν τρόπον, ὥσπερ οἷσι τετελεωμένοισιν ἐξέπεσεν καὶ μὴ ἐνέπεσεν, οἱ δὲ καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί, διαρρέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα μέν⟨τοι⟩ τοιαῦτα γίνεται, ἢν ἐπιμελέως μὲν παιδαγωγηθέωσιν ἐν τοῖσι σχήμασιν καὶ ὀρθῶς, ἐν οἷσι δεῖ,*

1 *δ' ὅτι* B, *δ' ἔτι* V 2 ante *κατὰ* add. *αἱ* B *εἴσω* MV 3 *ὑποδέε.* codd. 5 *δὲ ἂν* M *ἐοῦσι(ν²)* M *ἐοῦσι* om. V 7 ante *μὴ* add. *καὶ* MV *νόσ.* BMV, *νούσ.* EK 12 *ἐπισφακελίσει* utroque loco V *καὶ οἷσιν μὴ ἐπισφ.* om. M, add. i. m. ead. m. *οἷσι μὴ* MV 14 *ξυναύξ.* M 15 *γίγν.* V 16 *αἳ* om. B 17 *ὁδοιπορέειν* codd. *τὲ* pro *δὲ* V 18 *τετελιωμ.* B, *τετελειωμένοισι(ν* M²) cet. 19 *ἐξέπεσε* MV 20 *διαρροπων ἐν τη ὁδοιπορίη* Γ *τῇσι(ν²) ὁδοιπορίῃσι(ν²)* M 21 *ἀναγκαζόμενοι . . . χρῆσις γίνεται* (p. 200, 19) om. Γ 22 *μέντοι* scripsi, *μὲν* B, *δὲ* MV 22. 23 *παιδαγωγηθέωσιν* scripsi, *-ῶσι* codd. 23 *σχήμασι* MV

πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην, ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθέωσιν. πλείστης δὲ ἐπιμελείης δέονται οἷς ἂν νηπιωτάτοισιν ἐοῦσιν αὕτη ἡ συμφορὴ γένηται· ἢν γὰρ ἀμεληθέωσι νήπιοι ἐόντες, ἀχρεῖον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. αἱ δὲ σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον ἢ τοῦ ὑγιέος· πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν ἢ οἷς ἂν ἔσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην, οἷον εὐθέως δύνασθαι χρῆσθαι τῷ σκέλει, ὡς καὶ πρόσθεν ὀλίγῳ περὶ τῶν γαλιαγκώνων εἴρηται.

56. *Εἰσὶ* δέ τινες ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ
244 μὲν ὀστέα ταὐτὰ παθήματα πάσχει, αἱ μέντοι | σάρκες ἥκιστα ἐκθηλύνονται τοῖσι τοιούτοισιν· ἅμα γὰρ εὔσαρκα τὰ σκέλεα γίνεται, πλὴν εἴ τι ἄρα κατὰ τὸ ἔσω μέρος ἐλλείπει ὀλίγον· διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσι ὁμοίως ἡ χρῆσις γίνεται· ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα·

2 κρατυνθέωσι scripsi, -θῶσι BV, -θῶσιν M 3 οἷσιν (ν add. M$^2$) MV νηπιωτάτοισι(ν$^2$) ἐοῦσι(ν$^2$) M 4 ξυμφ. codd. γενήσεται B ἀμεληθέωσι scripsi, -θῶσι codd. 5 ἀχρήϊον MV παντάπασι MV 6 αἵ τε MV 7 ἥσσωι M, ἥσσω V 7. 8 η μινύθουσι B 8 οἷσιν (ν add. M$^2$) MV εἴσω MV ἐκπεπτώκει V 9 χρέε. codd. οἷον . . . σκέλ. (10) del. Erm. Wb., ἅτε προθυμευμένοισι χρ. τ. σκ. Rhd. 10 ὀλίγον ἐπὶ τῶν γ. MV 13 καὶ om. V νόσ. BMV, νούσ. N οἷς ἐκ γενεῆς ἢ ἀπὸ νούσου ἄρθρον ἐξέστη tit. in m. sup. ab ead. m. M 14 τούτοισ(ιν in raso l.) V 15 πάσχει ex ἴσχει corr. videtur V 16 τ. τοιούτοισι· ἅμα γὰρ om., post εὔσ. add. δὲ MV 17 γίνονται MV εἴσω MV 18 ἐλλείποι M, ἐλ-λίποι V εὐσαρκία B ἐστι(ν$^2$) M 19 σκέλεσιν MV 20 ὁδοιπορείη B

*ἐξεχέγλουτοι δὲ ἰσχυρῶς οὗτοι φαίνονται καὶ ῥαιβοὶ οἱ μηροὶ διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται — ἐνίους γὰρ καὶ τὰ τοιοῦτα καταλαμβάνει —, ἢν οὖν μή τι τοιοῦτο γένηται, ἱκανῶς ὑγιηροὶ τὰ ἄλλα διαφέρονται· ἀναυξέστεροι μέντοι τὸ σύμπαν σῶμα οὗτοι γίνονται πλὴν τῆς κεφαλῆς.*

57. *Οἷσι δ' ἂν ἐς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσῃ — ὀλίγοισι δὲ ἐκπίπτει —, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην, ἀλλ' ἥκιστα τῶν ἐκπαλέων οὗτοι [μᾶλλον] ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσσυνιέναι μὲν οὖν καὶ τόδε χρή — εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστιν καὶ τοὺς πλείστους λήθει —, ὅτι οὐδ' οἱ ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκ|τανύειν* 246 *τὸ ἄρθρον, ἢν μὴ συνεκτανύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα· οὕτω δ' ἂν δύναιντο· οὐ τοίνυν οὐδὲ*

1 *ἐξεχέγλουτοι . . . ἄρθρων* om. *Γ* *οὗτοι ἰσχ.* MV *κ. ῥ. οἱ μ.* om. MV *ῥεβοὶ* B 2 *ἔκτασιν* B 3 *κυφοὶ* B, *κῦφοι* MV *ἀνωτέρωι* M, *ἀνώτεροι* V 4 *καταλ. καὶ τὰ τοι.* V *τὰ* om. B*Γ* 5 *τοιοῦτόν τι* MV *τἄλλα* M, *τᾶλλα* V 6 *πᾶν* MV 7 *οἱ τοιοῦτοι* pro *οὗτοι* *Γ* *περὶ τῆς ὄπισθεν ἐξαρθρήσεως τῆς τοῦ μηροῦ κεφαλῆς* tit. B 8 *ἐκ* pro *ἐς* M *Οἷς δὲ ἂν ᾖ εἰς τὸ ὄ.* Ap. *τοὐπίσω* Gal., De loc. affect. VIII, 430 Kühn *ἡ* et *τοῦ* om. MV 9 *ἐκτανν.* V 11 *τι κάρτα* om. Ap. 12 *ἐκ παλαιῶν* codd., *ἐκπαλέων* ex emend. H, Litt., Erm., *ἐκπαλησίων* Pq. *ἀλλὴ μαλιστα τῶν ἔκπαλαι ὢν· οὗτοι* Ap. *μᾶλλον* om. P*Γ*Gal. ibid. Ap. Litt. Erm., *ἅμα* pro *μᾶλλον* Wb. 13 *καὶ τὸ κατὰ τὴν ἰγν.* om. Ap. 13. 14 *προσξ.* codd., *-ξυνειναι* B 14 *μὴν* pro *μὲν οὖν* Gal. ibid. 15 post *πολλ.* add. *λόγου* Gal. ibid. *ἐστι* V 16 *οὗτοι ὑγ.* B*Γ*, *οὔτε ὑγ.* MV, *οὐδ' ὑγ.* Gal. ibid. 17 *συνεκτανύσουσι(ν Γ)* B*Γ*, *-νύονοι* M, *-νύωσι* V, *-νύσωσι* Gal. ibid. 19 *οὐ τοίνυν* Gal. ibid. Litt. Erm. Pq., *οὗτοι νῦν* P, *οὗτοι τοίνυν* cet. codd.

*συγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει καὶ κατὰ νεύρων συντάσιας καὶ κατὰ μυῶν σχήματα καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι [ἢ ὥς τις οἴεται] καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν καὶ τὴν τῆς συμπάσης κοιλίης καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ συντάσιας· ἀλλὰ περὶ μὲν οὖν τούτων ἑτέρωθι λόγος ἔσται ἠδελφισμένος τοῖσιν νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστίν, οὔτ᾽ ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκεν τὴν τοῦ πυγαίου· ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερὴς πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. συγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ἡ ὀδύνη κωλύῃ· καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ὀρθὰ ἐπιεικέως φαίνεται καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐκκεκλιμένα· κατὰ δὲ τὸν βουβῶνα δοκεῖ τι ἡ*

1 *ξυγκάμπτειν* BM 2 *ξυγκάμψ.* MV 4 *ἀδέλφιξις κοινωνία* i. m. M 4. 5 ante *νεύρ.* add. *τὰς τῶν* Gal. ibid., Merc. i. m. 5 *ξυντάσ.* codd. 5. 6 *πλέονά τε καὶ πλέονος* Erm., *ἢ ... οἴεται* del. Wb. 7 *ἑτέρου* BΓ *τὴν* ante *τῆς* om. BΓ *ξυμπ.* codd. 8 *κατὰ* om. Gal. ibid. *πλάνας τε καὶ* Gal. ibid. 8. 9 *ξυντ.* codd. 9 *ἀλλὰ . . . πυγαίου* (14) om. Γ *οὖν* om. MV 10 *τοῖσι* MV 11 *δὲ* et *ἐστὶν* om. Ap. *οὔτε* MV *δύναται* M 12 *βραχ. δὲ* V 13. 14 *ὠλίσθηκε* MV 14 *εἰ γὰρ ἡ φ.* V *τοῦ ἰσχ.* om. V 16 ante *πεφ.* add. *τε* BMV, om. PΓ Litt. Erm. 17 post *πυγ.* add. *πρὸς* Γ *ξυγκ.* MV, *κάμπτειν* Ap. 18 *ὅτἂν* V, *ὅσον* Ap. *ἡ* om. MVAp. *κωλύοι* M, *-ει* Ap. 19 *ἐπιεικῶς ορθως* Ap. *φαίνηται* V *καὶ οὔτε . . . ἐκκεκλ.* (20) om. Γ *καὶ* om. Ap. 20 *πολὺ* om. Ap. *δὲ* om. Ap. *δοκέει* codd.

σὰρξ λαπαρωτέρη εἶναι ποτὶ καὶ ψανομένη, ἅτε τοῦ ἄρθρου ἐς τὰ ἐπὶ θάτερα ὠλισθηκότος μέρη· | κατὰ 248 δὲ αὐτὸ τὸ πυγαῖον διαψανομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκεῖ ἐξογκεῖν μᾶλλον. τὰ μὲν σημεῖα ταῦτ᾽ ἐστίν ᾧ ἂν ἐς τοὔπισθεν ἐκπεπτώκῃ ὁ μηρός.

58. Ὅτῳ μὲν οὖν ἂν τετελεωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορεῖν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστρωφᾶσθαι· ἀναγκάζεται μέντοι ἰσχυρῶς συγκάμπτων κατὰ τοὺς βουβῶνας ὁδοιπορεῖν διὰ δισσὰς προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται διὰ τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλοῦ δεῖται ψαύειν τῆς γῆς· εἰ γὰρ πειρήσαιτο ἐπὶ ὀλίγου τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τοὐπίσω ἂν πέσοι· ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐς τοὐπίσω ἐπὶ πολὺ ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνεῖται καὶ οὐδὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυ-

1 ποτε Ap. οὔτε pro ἅτε V ἅτε . . . προσχρῆσθαι αὐτῷ (p. 206, 9) om. Γ 2 εἰς M ἐς τὰ om. Ap. ἐπὶ τὰ ἕτ. ὀλισθ. (μέρη om.) Ap. 3 αὐτοῦ Ap. 4 δοκέει codd. post δοκ. add. τι M² (in raso l.) V Ap. ἐξογκέειν codd. ante μᾶλλ. add. καὶ MV post μὲν add. οὖν V ταῦτα MVAp. ἐστὶν om. MVAp. 5 ὧν B τὸ ὄπ. MVAp. ὁ μηρός om. Ap. 6 ᾧ Ap. p. 25, ὅτεῳ Ap. p. 30 Schoene ἂν οὖν M, ἂν om. BAp. p. 30 τετελιωμ. B, τετελειωμ. cet. ἐκπεσὸν M 7 ὁδοιπορέειν codd. δυνανται BAp. ὁ om. BAp. 7. 8 ἐνγ. BAp. 9 ἐνστροφ. BMV, ἐνστρωφ. N Erm. Pq. 10 συγκάμπτον B, ενκαμπτων Ap., ξυγκάμπτειν MV cet. ὁδοιπορέων codd., οδοπορεειν Ap. 12 εἰρημ. B 13 δέεται MV 13 εἰ γὰρ πειρήσαιτο . . . ῥεπούσης (18) post μόλις . . . κατὰ τὸ ἰσχίον (p. 204, 11) transpos. Litt. Erm. 14 ὀλίγον V 15 τὸ ὀπ. MV 16 τ. ἰσχ. ἐπὶ πολὺ ἐς τ. MV 19 καθικνέεται codd. εἰ pro ἢν MV κάμψει V

τὸν κατὰ τοὺς βουβῶνας καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπισυγκάμψῃ. ἐπὶ δὲ τούτοις ἀναγκάζεται, ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ συμβάσει. ἀναγκάζει οὖν τι καὶ τοῦτο αὐτὸ ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας· ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ οὐ δύναται τὸ σῶμα ὀχεῖσθαι ἐπὶ τοῦ σι-
250 ναροῦ σκέλεος, ἢν μὴ προσκατερεί|δηται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρός, ἅτε οὐχ ὑφεστεῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τοὔπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μὲν οὖν ξύλου δύνανται ὁδοιπορεῖν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθέωσιν διὰ τοῦτο, ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστίν, ἀλλ' οὐκ ἐς τὸ ἔξω ἐκκεκλιμένη· διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι εἰ μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσιν, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται· εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδί, βραχύτερον μὲν τὸ ξύλον φορητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπισυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοις, ὥσπερ πρόσθεν εἴρηται·

2 ἐπιξυγκάμψει V ἐπειδὲ B τούτοισι(ν M²)ν MV 4 ξυμβ. codd. 6 post σκελ. add. καὶ B 7 ὀχέε. codd. 8 προσκαρτερη δη ται B 10 ἀλλὰ M τὸ ὄπ. MV 11 μέντοι pro μὲν οὖν MV ante ξύλ. add. τοῦ MV 11. 12 ὁδοιπορέειν codd., πορέειν om. M., add. i. m. M² 12 ἐθισθῶσι MV 13 εὐθυωρ. B 14 ἐκκεκλημένην B οὖν om. B 15 ἀντίσηκώσηος V 16 τῆς om. B 17 σκέλεος B 18 ἢν codd., εἰ Erm. 19 ὁδοιπορήσωσι M, -σουσι V 20 ἢν B 21. 22 ποιητέον pro φορ. MV 22 ἐπιξ. MV 24 τούτοισιν (ν add. M²) MV ante πρόσθεν add. καὶ MV

*τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος καὶ μηδὲν ταλαιπωρέουσιν, τούτοισι καὶ μάλιστα μινύθουσι· οἳ δ' ἂν πλεῖστα χρέωνται τῇ ἐπιβάσει, τού|τοισι ἥκιστα* 252 *μινύθουσι. τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελεῖται, ἀλλὰ καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν· συνυπουργέον γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἀπαναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην συγκάμπτειν· ἢν δὲ μὴ προσχρέηται ἐπὶ τὴν γῆν τῷ σιναρῷ σκέλει, ἀλλὰ μετέωρον ἔχων σκίπωνι ἀντερείδηται, οὕτω δὲ καρτερὸν γίνεται τὸ ὑγιὲς σκέλος· ἔν τε γὰρ τῇ φύσει διαιτᾶται τά τε γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι· τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσσυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα συνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ ἐς τὰ ἀκεστὰ μηχανᾶσθαι, ὅπως μὴ ἀνήκεστα ἔσται, συνιέντα ὅπῃ ἂν μάλιστα κωλυτέα ἐς τὸ ἀνήκεστον ἐλθεῖν· δεῖ δὲ τὰ ἀνήκεστα συνιέναι, ὡς μὴ μάτην λυμαίνηται· τὰ δὲ προρρήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν, ὅπῃ ἕκαστον καὶ οἵως καὶ ὁπότε τελευτήσει, ἤν τε ἐς τὸ ἀκεστὸν τράπηται ἤν τε ἐς τὸ*

1 *σκέλεος* ut saepius B 2 *ταλαιπωρέουσι* MV *μινύθει* MV 3 *τούτοισιν* (*ν* add. M²) MV 4 *ὠφελέε.* codd. 6 *ξυνυπ.* B 7 *ξυγκ.* codd. 8 *τῷ σιναρῷ ἐπὶ τ. γ.* (*σκ.* om.) MV *συνυπ.* (6) . . . *ἐπὶ τ. γ.* bis posuit V 9 *δὴ* pro *δὲ* Erm. 12 *ἂν οὖν* MV *ἂν* om. Ap. 12. 13 *τί γάρ τι δῆθεν* Ap. 13 *γεγονός τι προξυνιεναι* Ap. 14 *προσξ.* MV *δή* pro *δεῖ* Ap. 15 *ξυνιέναι* MV *οἴονται* Ap. 16 *ἐς* om. BMAp. 17 *ἕκαστα* Ap. *μηχανάασθαι* M *ὅκως* M *ἐστι* M *ξυνιέντα* codd. 18 *ὅκοι* B, *ὅκῃ* V *κωλύσῃ ἐς τὸν ἀ.* Ap. 19 *δὴ* pro *δὲ* V *ξυνιέναι* MV *μάτην* Ap. Litt., cf. *π. ἀγμῶν* c. 15 (p. 72, 6), *μάλιστα* codd. 20 *προβλήματα* Ap. 21 *γινώσκειν* Ap. *ὀπη αν ἄκεστα και ὁπότε καὶ ὅπως* Ap. *ὁμοίως* V

*ἀνήκεστον. οἷσι δ᾽ ἂν ἐκ γενεῆς ἢ καὶ ἄλλως ἐν αὐξήσει ἐοῦσιν οὕτως ὀλίσθῃ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλίσθῃ ἤν τε καὶ ὑπὸ νούσου — πολλὰ γὰρ τὰ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοις· οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρεῖται τὰ τοιαῦτα, ὕστερον γεγράψεται —, ἢν οὖν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται, κακοῦται δὲ καὶ* | 254 *πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ διὰ τὸ μηδὲν προσχρῆσθαι αὐτῷ· κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον· τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα. διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν οἷς ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντα τὰ ἐν τῷ σώματι ὅσα ἐπὶ χρήσει γέγονεν, χρεωμένοισι μὲν μέτρια καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν, ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιηρὰ καὶ αὔξιμα καὶ εὔγηρα γίνεται· μὴ χρεωμένοισι δέ, ἀλλ᾽ ἐλινύουσι νοσηρότερα γίνεται καὶ ἀναυξέα καὶ ταχύγηρα. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦνται μὲν οὖν διὰ ταύτας τὰς προφάσιας*

1 *ὁκόσοισι* MV *γενετῆς* Ap. *καὶ* om. BAp. *ἄλλως πως ἀναυξήτοις ἔτι οὖσιν ὀλ.* Ap. 2 *οὕτω* B *ὀλισθῇ* bis BMV *ὀπίσω* om. Ap. 3 *νόσου* V 4 *τὰ* om. B *νούσοισιν* MV 5 *ᾗσι* (*σι* ss.) M *ἐξαρθρέεται* codd. 7 *καὶ* om. MV 8 *ἀναξέτερον* V 9 *προσχρίεσθαι* B, *προχρίεσθαι* M, *προχρέε.* V 12 *διὸ . . . ἐκταν.* om. M, add. i. m. M² 13 *οἷσιν* (*ν* add. M²) MV *ὡς γὰρ . . . δυσίν.* (p. 207, 7) om. *Γ* 14 *εἰρέεσθαι* MV *ὁκόσα* MV 15 *γέγονε* V *χρεομ.* MV 15. 16 *γυμναζομένοισι*(*ν* add. m. 2) M 16 *ταλαιπωρίῃσι . . . ᾗσι* BM, *ν* add. M² 17 *αὔξημα* B 18 *χρεομ.* MV *ἐλλινύ.* V *νοσηλότ.* B 19 *τούτοισι* BM, *ν* add. M² 20 *πέπονθεν* M *τὰ* ante *νεῦρα* om. BMVH¹, praebent cet. codd. *αὐτοῖς* B 21 *κακοῦται* MV *μὲν* om. MV

*μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖς ἄλλοις· ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁπόταν ἀνδρωθῶσι, μετέωρον καὶ συγκεκαμμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι οἱ μὲν ἐνί, οἱ δὲ δυσίν.*

59. *Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσῃ — ὀλιγάκις δὲ τοῦτο γίνεται —, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελέως, συγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα· πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται συγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται καὶ κατὰ | μὲν τὴν πτέρνην καὶ πάνυ, ἄκρος δὲ ὁ ποὺς* 256 *ἧσσόν τι προκύπτειν ἐθέλει ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην τὴν κατὰ φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ αὐτίκα οὗτοι μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον τούτοισι μᾶλλόν τι ἢ τοῖσι ἄλλοισι ἐξαρθρήμασιν· ἔγκειται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαί-*

1. 2 *τοῖσιν ἄλλοισιν* (*ν* add. M²) MV    4 *ὀκ.* codd. 4. 5 *ξυγκεκλιμένον* MV    5 *ἴσχουσι* M    7 *δυσί* M    8 *περὶ τῆς εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσεως τῆς τοῦ μηροῦ κεφαλῆς* tit. B, *οἷς εἰς τὸ ἔμπρ. κεφαλὴ μηροῦ ἐκπέσῃι* in marg. sup. M, *περὶ τῆς τοῦ μηροῦ κεφαλῆς ἐξαρθρήσεως εἰς τὸ ἔμπρ. μέρος* tit. Γ    *ἡ* om. MVAp.    *τοῦ* om. MVAp.    9 *ὀλίγοισι* MV    *ολήγα δε ταυτα* Ap.    10 *οὐ* ante *δύν.* add. Ap.    *τελείως* M    *ξυγκ.* codd., altero loco *συγκ.* HK    11 *τὸ* pro *τὰ* Ap., articulum del. Erm.    11. 12 *ἀπονέουσιν* Ap.    13 *μῆκος . . . πάνυ* (14) om. Γ    *τε* Ap.    14 *καὶ* ante *κατὰ* om. MVAp.    *πτέρναν* B    15 *τι* om. Ap.    *προκόπτ.* Γ    *ἐθελήσει* V, *θέλει* Ap.    *ὅλον . . . ῥέπει.* (17) om. Γ    16 *ἰθ. κατὰ τὴν* MV    17 *δεαυτικα* B¹, mut. in *δε το αυτ.* B², *τὸ* ante *αὐτίκα* add. Γ    *τω αὐτίκα ειναι ουτω* Ap.    18 *τούτοισι* Γ, *τούτοις* Ap., om. BMV    19 *τοῖσιν* V    *ἄλλοισιν* M²V    *ἐξαρθρήμασι* M    *ενκειτε* B. *ἐγκέε.* MV    20 *ἐγγυτάτωι* M

*ρων, καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέον τε καὶ καταπεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον στολιδωδέστερον καὶ ἀσαρκότερον. ταῦτα μὲν οὖν ἐστι σημεῖα τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.*

60. *Ὁπόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι, ὅταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον ἐθισθῇ ἐν τῷ χωρίῳ τούτῳ στρωφᾶσθαι, ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν ὀρθοὶ ὁδοιπορεῖν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες ἐπί γε τὸ σιναρὸν ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὔκαμπτοι ἐόντες οὔτε κατὰ τὴν ἰγνύην. διὰ οὖν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέωνται ἢ ὅτε ὑγίαινον. καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηιδίως συγκάμπτοντες τὰ ἄνω ἄρθρα καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί· οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν ἢ τῷ ἔμπροσθεν· εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν,*
258 *κἂν πάνυ πτερνοβάται ἦσαν· καὶ | γὰρ οἱ ὑγιαίνοντες ὅσῳ ἂν μέζον προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ*

1 *καὶ κατὰ . . . μηρός.* (4) om. *Γ* post *ἐπικ.* add. *περὶ ὧν οἶδας* Ap. *μὲν* om. B *ἐξογκέονται* codd., corr. Litt. *τε* om. Ap. 3 ad *στολ.* i. m. *ῥῦσοτερον* B (Galeni interpretatio vocis *στολ.*) *ἀσαρκό(ω B)τατον* BM, *ἀσαρκωδέστερον* Ap. *μὲν ο. ἐ.* om. Ap. 4 *σημήϊά ἐστι* MV, *τὰ εἰρ. σημ. ἐστι* Erm. *ὡς* pro *ὧν* V, *ᾧ* Ap. *ὅυτος* B *ἐκπεπτώκει* V *ὁ μηρός* om. Ap. 5 *ὁκ.* codd. *οἷσι δ' ἂν ἤδη Γ* *ὅσοις* Ap. *ἂν* om. Ap. 6 *ἐνπ. Γ* *ὅταν Γ*Ap., *ὁκ.* cet. *αὐτοῖσι* M, *ν* add. M² 7 *ἐθισθείη* MV 8 *τούτῳ* om. MVAp. *στροφ.* V*Γ*, *στρέφεσθαι* Ap. *οὗτοι* del. Erm. 9 *σχεδόν τι* Ap. *γρ. καὶ εὐθύς* i. m. M, *εὐθὺς* pro *ὀρθοὶ* V *ὁδοιπορέειν* codd. *καὶ πάνυ . . . ὑγίαινον* (13) om. *Γ* 10 *γε* Rhd., *δὲ* codd. *οὐ* V 11 *ἰγνύην· διὰ οὖν* Litt. Erm. Pq. *γοῦν* M, *γ' οὖν* V 12 *ἀκαμπην* B 13 *χρέονται* MV 15 *ξυγκ.* M 16 *οὐδὲν . . . ἔμπροσθεν* (17) om. *Γ* *οὐθὲν* codd., *οὐδὲν* Litt. Erm. Pq. *βαίνουσι* B 17 *τὸ* pro *τῷ* V *γε* om. E 19 *ὁδοιπορέουσι* B*Γ* *τοσουτο Γ*

*μᾶλλον πτερνοβάται εἰσὶ τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον. ὁπόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκεν, καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίμπτουσιν ἢ τῷ ἔμπροσθεν· τὸ γὰρ ἔμπροσθεν τοῦ ποδός, ὅταν ἐκτεταμένον ᾖ τὸ ἄλλο σκέλος, οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπύλλεσθαι, ὥσπερ ὅταν συγκεκαμμένον ᾖ τὸ σκέλος· οὔτε αὖ σιμοῦσθαι δύναται ὁ ποὺς συγκεκλιμένου τοῦ σκέλεος, ὡς ὅταν ἐκτεταμένον ᾖ τὸ σκέλος. ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται· ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσι, ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας· ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ πυγαῖον καὶ κατὰ τὴν γαστροκνημίην καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. οἷσι δ' ἂν νηπίοις ἔτι ἐοῦσιν τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός· ἥκιστα μὴν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. μινύθουσι μέντοι αἱ σάρκες πάντῃ, μάλιστα δὲ κατὰ τὴν ὄπισθεν ἴξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. ὅσοι μὲν οὖν ἂν τιθηνηθέωσιν ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρῆσθαι*

2 *ταναντια* Γ  *οἷσι* Γ, *ὁκόσ.* cet.  *ἐκπέπτωκε* V  3 *προσεγχρίπτουσιν* (*ν* add. M²) MV  3 *τὸ* BMΓ  4 *τοῦ* om. M¹, *γρ. ἔμπροσθεν τοῦ* i. m. M²  4 *ποδος* | *ἢ τὸ ἄλλο* (*ὅταν ἐκτ.* om.) Γ  5 *ἔῃ* MV  *δύνανται* BΓ  6 *καμπύλεσθαι* BΓ  *ὡς* Γ  *ξυγκ.* MV  *ἔῃ* MV  7 *οὔτ'* MV  *μισοῦσθαι* MV  7. 8 *ξυγκ.* MV, *ξυγκεκαμμένου* Par. M (NH ex em.) Litt. Erm. Pq.  *οὔτε . . . ποδός* (18) om. Γ  8 *ᾖ* scripsi, *ἔῃ* codd.  10 *ἐνπ.* B  11 *ὁδοιπορέουσιν* MV  14 *ὄπισθεν* om. B  15 *νηπίοισι* M, *-ν* V  *ἐοῦσι* MV  16 *ἢ* om. B  17 *μινύθουσι . . . ἐκπεπτώκῃ* (p. 210, 13) om. Γ  20 *πάντι* B  21 *ὁκόσοισι* B  22 *τιθηνηθῶσιν* codd. *προσχρέε.* codd.

*τῷ σκέλει αὐξανόμενοι, βραχυτέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα, ᾗ τὸ σιναρὸν σκέλος· οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης τῷ στήθει τοῦ ποδὸς χρῆσθαι ἐπικαθιέντες, ὥσπερ* | 260 *ἐν ἑτέροισι χωλεύμασιν ἔνιοι δύνανται· αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον· διὰ οὖν τοῦτο προσδέονται ξύλου. ὅσοι δὲ ἂν καταμεληθέωσι καὶ μηδὲν χρέωνται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχωσι, τούτοισι μινύθει μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον ἢ τοῖσι χρεωμένοισι· μινύθουσι δὲ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεωμένοισι· κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ ἰθὺ πηροῦται τὸ σκέλος τούτοισι μᾶλλόν τι ἢ οἷσιν ἂν ἄλλως ἐκπεπτώκῃ.*

61. *Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ ὀλισθάνει, ἄλλοτε μὲν πολὺ πλέον, ἄλλοτε δὲ ἔλασσον· καὶ οἷσι μὲν ἂν πλέον ὀλίσθῃ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί, καὶ ἢν μὴ ἐμβιβασθῇ, μέζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα καὶ ὀστέων καὶ σαρκῶν*

2 *ἢ* V 4 *χρεε.* codd. 5 *χωλεύμασι* B 6 *τωι* M 7 *ὁκόσοισι* B *δ'* MV *καταμεληθῶσι* MV 8 *χρέονται* M *σκελεει* B 9 *ἔχουσι* MV 10 *χρεομ.* MV *μινύθουσι . . . χρεωμ.* om. V 11 *χρεομ.* M 12 *εἰθὺ* B, *εὐθὺ* MV, *ἰθὺ* Erm. ex Parr. MN *τούτ. τὸ σκ.* MV 13 *οἷσι* BM, *ν* add. M² *ἐκπεπτώκει* V 14 *εἰρέε.* MV 15 *τὰ* ante *ἐκπίπτ.* om. BΓAp., add. B² i. m. *ὀλισθαίνοντα δισσῶς* Ap. 15. 16 *ἑωυτοῖσι* BM, *ἑωυτησιν Γ*, *ἐν αὐτοις* Ap. 16 *ὀλ. καὶ ἐκπ.* V *τε καὶ* Ap. *ἀλλ ὅτε μὲν* V *πλείονα* MV 17 *ἄλλοτε δὲ . . . πλέον* om. V *ὁτὲ . . . ὁτὲ* Ap. *δὲ* ss. *Γ* alia (?) m. ante *ἐλ.* add. *πολὺ* MAp. *ἐλάσσονα* M *καὶ οἷσι . . . πέπονθεν* (p. 211, 18) om. *Γ* *οἷσιν* B *ἂν* om. Ap. *πλεῖον* MVAp. ante *πλέον* add. *πολὺ* MV *ἢ ἐκπ. ἢ ὀλ.* Ap. 18 *χαλεπώτερον* B *ἐνβιβάζειν* pro *ἐμβάλλ.* Ap. 19 *ἐκβιβ.* B *πειρώσ.* M, *πληρωσ.* Ap. 20 *καὶ* ante *κακ.* om. Ap.

καὶ σχημάτων· ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλίσθῃ, ῥηΐον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ἑτέρων γίνεται· ἢν δὲ καταπορηθῇ ἢ καὶ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται τούτοισιν ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μέζον τὸ ὀλίσθημα ποιεῖσθαι· μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ | παραπλησιώτατα ὀλισθάνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη· 262
ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι, κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι αἱ δεχόμεναι τὰς κεφαλάς, ἁρμόζουσι [δὲ] τῇσι κεφαλῇσι· διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· ὀλισθάνοι γὰρ ἂν διὰ τὴν περιφερείην ἢ ἐς τὸ ἔξω ἢ ἐς τὸ ἔσω. περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτουσιν τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσι· ὅμως δὲ καὶ ταῦτα ὁτὲ μὲν πλέον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον· μᾶλλον δέ τι μηρὸς τοῦτο βραχίονος πέπονθεν.

62. Ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γενομένων ὀλισθημάτων, ἢν | σμικρὸν ὀλίσθῃ, οἷά τε ἐς τὴν φύσιν ἄγε- 264

1 ὀλισθῇ BM, ut solent plurimi codd. ῥηΐον scripsi cf. Μοχλ. c. 42, ῥηΐδιον codd. 2 γένηται B, γίνηται M 3 ἢ om. V, καὶ om. M 4 πορώσ. M, πωρώσηες V τούτοισι(ν²) M οἷσι M 6 ὅτε . . . ὅτε V μεῖζον MV 7 ποιέε. codd.
7. 8 ὅτι μηροῦ καὶ βραχίονος κεφαλὴ παραπλησίως ὀλισθαίνει tit. in m. sup. M 8 παραπλησιώταται BAp. ὀλισθάνουσι B
9 αἱ κεφ. del. Erm. ἐοῦσαι αἱ κ. V 10 κυκλοτερες B, κυκλωτερέες V 11 οὖσαι B ἁρμόζουσαι BMV, -σι HLitt. 12 δὲ exclusi, δὴ pro δὲ Erm. ἔστι B αὔταις (-οῖς Sch.) Ap. τὸ ante ἡμ. inseruit M² 13 ὀλισθαίνει M, -θαίνῃ V 14 περιφερα B εἴσω M ἢ ἐς τὸ ἔσω ἢ ἐς τὸ ἔξω V 15 post λόγος add. ἐστὶν MVAp. ἐκπίπτουσι MV τελείως B ἤδη om. Ap. 16 ἐκπίπτουσιν MV ὁμοίως Ap. ὅτε . . . ὅτε V πλέον scripsi, πλεῖον BMV, πλείω vulg. 17 φύσεως B, -ηος V δ' ἔτι Ap. 18 τοῦ pro τοῦτο B 19 ἐπὶ καὶ ἔνια τῶν Γ ἔνια ante ἢν V 20 ἡ ante ἢν add. B, ἡ ἡ Γ σμ. Γ, μ. rel.

σθαι καὶ μάλιστα τὰ παρὰ τοῦ ποδὸς ἄρθρα, ὁπόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται, τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ μεγάλη ἡ ἔκκλισις ᾖ ἢ καὶ προαυξέων γεγονότων ἤδη τῶν παιδίων συμβῇ. ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι. τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες, τὰ πλεῖστα μὴν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ διὰ ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα. προσέχειν δὲ ἐν τῇ ἰητρείῃ τοισίδε χρή· ἀπωθεῖν μὲν καὶ κατορθοῦν τὸ τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον τὸ ἔξωθεν ἐς τὸ ἔσω μέρος, ἀντωθεῖν δὲ ἐς τὸ ἔξω μέρος τὸ τῆς πτέρνης τὸ ἔσωθεν τὸ κατ' αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα τὰ ἐξίσχοντα κατὰ μέσον τε καὶ πλάγιον τὸν πόδα· τοὺς δ' αὖ δακτύ-
266 λους ἀθρόους σὺν τῷ μεγάλῳ δακτύλῳ ἐς | τὸ ἔσω μέρος ἐγκλίνειν καὶ περιαναγκάζειν οὕτως· ἐπιδεῖν δὲ

1 μάλ. παρὰ τὰ MV παρα τα του π. B τὰ ante ἄρθρα iterat BΓ ἄρθρα. Ὁκόσοι vulgo, ὁπ. E οἷσι Γ 1. 2 ὅσοι κυλλοὶ ἐκ γενεῆς γίνονται tit. M 2 καλοὶ V post πλεῖστα add. γὰρ BΓ 3 ἢ pro ἢν B μὴ om. B[1], add. i. m. B[2] ᾖ om. BΓ, ἐηι M, ἔη V 3. 4 προσαυξ. MV ἤδη γεγ. Γ τῶν om. MVΓ ξυμβῇ MV, συμβαίνει Γ ἄριστον . . . εἶναι (8) om. Γ 8. 9 καλλ. V 9 μέντοι pro μὴν Erm. 10 δι' MV 11 κεκυκλωμένα V 12 ἐν om. MV ἰητρίῃ Γ τοῖσιδε BM, τοῖσίδε V, τοῖσι δὲ Γ ἀπωθέειν codd. 13 τὸ ante τῆς κν. om. MV 14 εἰς B εἴσω BMV, ἔσω Γ ἀντωθέειν codd. 15 τὸ ante τῆς πτ. om. MV περονης Γ ἐς τὸ ἔσωθεν μέρος τὸ κατ' αὐτὴν τ. ἴ. BΓ, τὸ εἴσωθεν ἐς τὸ κατὰ τ. ἴ. (ἶξιν V) MV 16 ὠθέειν δὲ ἐς τὸ ἔσω (εἴσω MV) μέρος pro ὅπ. ἀλλ. ἀπ. BMVHN, ὅκως ἀλλ. ἀπ. rec. Ald. Gal. Litt. Erm. Pq. ὅπως . . . οὕτως (19) om. Γ 17 δὲ pro τε M 18 ἀρθρ. B ξὺν MV εἴσω codd.

κηρωτῇ ἐρρητινωμένῃ εὖ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσι μὴ ὀλίγοισι μηδὲ ἄγαν πιέζοντα· οὕτω δὲ τὰς περιαγωγὰς ποιεῖσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδός, ὅπως ὁ ποὺς ὀλίγῳ μᾶλλον ἐς τὸ βλαισὸν ῥέπων φαίνηται. ἴχνος δέ τι χρὴ ποιεῖσθαι ἢ δέρματος μὴ ἄγαν σκληροῦ ἢ μολυβδίου, προσεπιδεῖν δὲ μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσι ὑστάτοισιν ὀθονίοισι μέλλῃς ἐπιδεῖν. ὅταν δὲ ἤδη ἐπιδεδεμένος ᾖ, ἑνὸς τῶν ὀθονίων χρή, οἷσιν ἐπιδεῖται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ σμικροῦ δακτύλου· ἔπειτα ἐς τὸ ἄνω τείναντα, ὅπως ἂν δοκῇ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταμένον οὕτως· ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν τὴν δικαίην ἄγειν καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα παρὰ τὴν φύσιν καὶ τῇσι χερσὶν οὕτω διορθοῦντα καὶ τῇ ἐπιδέσει ὡσαύτως, προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς· προσράπτειν δὲ τὰ ὀθόνια, ὅπως ἂν συμφέρῃ τὰς ἀναλήψιας ποιεῖσθαι· ἄλλα γὰρ ἄλλης τῶν χωλωμάτων δεῖται ἀναλήψιος.

1 ῥεερητιν. ΒΓ 2 μὴ δὲ V ut saepe οὕτως ΒΓ 3 ποιέε. codd. ὥς Γ 4 ἡ Β, ἢ MV pro ἦν ὅκ. MV 5 βλεσον ΒΓ, βλεσσὸν MV, βλαισὸν N Litt. Erm. Pq. ῥέπον M, βλέπων V φαίνεται M 6 ποιέε. codd. 7 μολιβδ. VΓ, μολύβδινον Litt. 8 τοῖσιν V, τοῖσι($\nu^2$) M: ὑστάτοισι BM (-ν add. $M^2$) τοῖσι ὕστασιν τοῖσι ὀθονίοισιν Γ 9 ἐπιδέειν codd., -δεῖν Γ δ' MV ἤδη om. Γ ἔῃ MV, ἢ Γ post ἑνὸς add. τινος Γ 10 οἷσι($\nu^2$) M, οἷσι δ' V ἐπιδέε. codd. προσάψαι B 11 post ἴξιν add. τοῦ ποδὸς B 12 μικροῦ MV τείνοντα MV 13 ὅκ. MVΓ ἢν pro ἂν MVΓ δοκέει ΒΓ, -έῃ MV περὶβαλεῖν ἄνω Γ 14 γαστροκνήμης ΒΓ 15 ἁπλῷ . . . παρηγορικῶς (19) om. Γ 17 οὕτως B 20 ὅκωσα B, ὁκοσα ἂν Γ, ὁκ. cet. ξυμφ. MV ποιέε. codd. 21 δέεται codd.

ὑποδημάτιον δὲ ποιεῖν μολύβδινον, ἔξωθεν τῆς ἐπιδέ-
268 σιος | ἐπιδεδεμένον, οἷον αἱ Χῖαι ῥυθμὸν ἔχον· ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἤν τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιῆται. ἡ μὲν οὖν ἴησις αὕτη καὶ οὔτε τομῆς οὔτε καύσιος οὐδὲν δεῖ οὔτε ἄλλης ποικιλίης· θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης ἢ ὡς ἂν τις οἴοιτο. προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν. ὅταν δὲ ἐς ὑποδήματος λόγον ἴῃ, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπάτιδες καλεόμεναι· τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατεῖται ὑπὸ τοῦ ποδός, ἀλλὰ κρατεῖ μᾶλλον. ἐπιτήδειος δὲ καὶ ὁ Κρητικὸς τρόπος τῶν ὑποδημάτων.

63. Οἷσι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα καὶ
270 ἕλκος | ποιήσαντα τελέως ἐξίσχῃ κατὰ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε ἔσω ῥέψαντα εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα οὐ χρὴ ἐμβάλλειν, ἀλλὰ ἐᾶν τὸν βουλό-

1 *ὑποδημάτιον κυλλοῖς* sub infima columna add. M *ποιέειν* V, *-έεται Γ* *μολίβδ.* V *Γ*, *μολύνθ.* M 2 *χειαὶ* MV post *Χῖαι* add. *κρηπῖδες* Gal. comm. 678 Frob. Litt. Erm. Pq., om. codd. et *Γ* cf. Praef. post *ῥυθμ.* add. *τῇσι χερσὶν* codd., om. vulg. Gal. Litt. Erm. Pq. *ἔχον* B(M in raso loco)V, *εἶχον Γ* Gal. *ἀλλ' . . . δεῖ* (3) om. $M^1$, add. i. m. $M^2$ 2. 3 *ἀλλ' οὐδὲν. . . σχήμασιν.* (9) om. *Γ* 4 *τοῖσι* BM (*ν* $M^2$) *ὀθονίοισι*($ν^2$) M *ἐπιδέοι* B *καὶ* om. MV 5 *ποιοῖτο* codd., coniunctivum restituit Erm. *εἰ* pro *ἡ* B 6 *οὐθὲν* codd., *οὐδὲν* vulg. Litt. Erm. Pq. *οὔτ'* M *σχήμασι*($ν^2$) M 10 *εἴη* codd., *ἴῃ* Litt. (*ἥξει* Gal. comm. 679), ⟨*ἂν*⟩*ἴῃ* Wb. *ἀρβυλλαι Γ*, *ἀρβύλη εἶδος ὑποδήματος* i. m. M 11 *πηλοβατ. Γ* 12 *ὑπὸ τοῦ . . . μᾶλλον* om. *Γ* *κρατέει* codd.

13 *κριτικὸς* MV 14 $\overline{ΛΒ}$ *περὶ εξαρθρησεων οστεων κνημης ελκος ποιησαμενον* tit. i. t. B et *ἐξαρθρημα ἐστιν ὀστου κειμενου κατα φύσιν ἐκ κοιλοτητος βαθείας ἔκβασις εἰς τον τόπον τὸν παρὰ φύσιν* in m. inf. $B^2$, *περι των γυμνουμενων οστων μετ' ἐξαρθρηματος* tit. *Γ* *οἷσι Γ* bis 683 et 686, *ὁκὅσ.* cet. 15 *ἐξισχ*$\overset{ηι}{ει}$ M *κατὰ* om. *Γ* *τὰ* om. V 16 *εἴσω* BMV, *ἔσω Γ* 17 *μὴ* pro *οὐ χρὴ* MV *ἀλλὰ . . . ἐμβ.* om. M, add. i. m. ead. m. *ἀλλὰ . . . κτείνων ἐστί* (p. 215, 5) om. *Γ* *ἀλλ'* MV

*μενον τῶν ἰητρῶν ἐμβάλλειν. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται ᾧ ἂν ἐμβληθέντα ἐμμείνῃ, καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοισι γίνεται· ὀλίγοι γὰρ αὐτῶν ἑπτὰ ἡμέρας ἂν ὑπερβάλλοιεν· σπασμὸς γὰρ ὁ κτείνων ἐστί. ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνεῖται τὴν κνήμην καὶ τὸν πόδα. ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα· καὶ οὐκ ἄν μοι δοκεῖ οὐδὲ ἐλλέβορος ὠφελῆσαι, αὐθήμερόν τε δοθεὶς καὶ αὖτις πινόμενος· ἄγχιστα δέ, εἴπερ τι, τοιοῦτο· οὐ μέντοι γε οὐδὲ τοῦτο δοκέω. ἢν δὲ μὴ ἐμβληθῇ μηδὲ ἀπ' ἀρχῆς μηδεὶς πειρηθῇ ἐμβάλλειν, περιγίνονται οἱ πλεῖστοι αὐτῶν. χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει, μοῦνον δὲ μὴ ἀπαιωρεύμενα μηδὲ κινεύμενα ἔστω. ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ ἄγαν ψυχροῖσιν· ψῦχος γὰρ ἐν τοῖσι | τοιούτοισι σπασμὸν ἐπικαλεῖται. ἐπιτήδεια δὲ καὶ* 272 *σεύτλων φύλλα ἢ βηχίου ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμίεφθα ἐπιτιθέντα ἰητρεύειν ἐπί τε τὸ ἕλκος ἐπί τε τὰ περιέχοντα, κηρωτῇ δὲ χλιαρῇ*

1 *ἐμβαλεῖν* M 3 *δὴ* pro *δὲ* Wb. *ὀλίγη μέρος* V *τουτέοισι* B *γενήσεται* MV *αὐτέων* B *ἂν* ante *αὐτ.* M, om. V 4 *ὑπερβαλοῖεν* V 5 *ἐστίν* MV *γανγ.* Γ *ἱκνέε.* codd. *τὴν* om. MV 6 *ταῦτα . . . ἐσόμενα* om. Γ post *εἰδ.* add. *δὲ* B 7 *δοκέει* BΓ, *-έοι* M, *-έῃ* V *οὐθ'* M, *οὔτ'* V *ἐλέβ.* VΓ 8 *αὐθήμερόν . . . αὐτῶν* (11) om. Γ *αὐθημερω* B *αὖτις* scripsi, *αὖθ.* codd. 9 *γε* om. MV 10 *δὲ* ss. V *μηδὲ εἰσπειρηθῇ* (-ει B) BMV, em. Litt. 11. 12 ante *ἡρμ.* add. *καὶ* V *ὁρμῆσθαι* et *γρ. καὶ ἡρμόσθαι* i. m. M, *ἡρμασθαι* Γ 13 *ἀπαιωρημένα* B, *-ρεόμ.* MV, *ἀποεωρευμενα* Γ *κινεόμ.* MV
14 *σπλήνεσι καὶ οἰν.* V *οἰνηρηισιν* B 15 *ὀλ.* om. BΓ, *ὀλίγοις* MV *ψυχροῖσι* MVΓ *ψύχος* V 16 *ἐπικαλέε.* codd.
17 *φύλλα τεύτλων* M, *τ. φ.* V 18 *ἡμιεφθω* Γ *ἐπιτειθέοντα* B, *-τιθέντα* MV, *-τιθεοντα* Γ *ἰητρ.* del. et *ἐπιτεθέντα* vulgatae servavit Erm. 19 *τε* ante *τὸ* om. B[1], ss. B[2] *τε* pro *δὲ* BΓ *χλιερῇ* MV

*ὑποχρίειν αὐτὸ τὸ ἕλκος· ἢν δὲ ἡ ὥρη χειμερινὴ ᾖ, καὶ εἴρια ῥυπαρὰ οἴνῳ καὶ ἐλαίῳ καταρραίνοντα χλιαροῖσιν ἄνωθεν ἐπιτέγγειν· καταδεῖν δὲ μηδὲν μηδὲ περιπλάσσειν μηδενί· εὖ γὰρ εἰδέναι χρὴ ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισίν ἐστιν. ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν εναίμων μετεξέτερα, ὅσοισιν αὐτῶν συμφέρει· εἴρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολὺν χρόνον ἐᾶν. τὰ δὲ ὀλιγημερώτατα τῶν εναίμων καὶ ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοις ἐστί· χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων τούτων γίνεται· πολὺν γὰρ χρόνον πλαδαρὴ γίνεται· τινὰς δὲ τούτων χρηστὸν ἐπιδεῖν. εἰδέναι μὲν δή που σάφα χρὴ ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι· καὶ γὰρ ὁ πους ἐς τὸ ἄνω*
274 *ἀνέσπασται τῶν τοιούτων, καὶ τὰ ὀστέα | τὰ διολισθήσαντα ἔξω ἐξέχοντα φαίνεται· οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν ὡς ἐπὶ τὸ πολύ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιωτειλοῦται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι, καὶ ταῦτα ἢν ἀτρεμίζωσι πολὺν χρόνον· εἰ δὲ μή, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. ὅμως δέ, περὶ οὗ ὁ λόγος, οὕτως*

1 *ὑποχρ.* BMVHΓ, *ἐπιχρ.* vulg. *ἔῃ* MV 2 et 7 *εἴρια* scripsi, *ἔρια* codd. 2 ante *οἴνῳ* add. *ἐν* V, i. m. adscr. M *καταραίνοντας* M 2. 3 *χλιεροῖσιν* M (-ν add. M²) V, *χλιαιρ.* BΓ 3 *μηδενὶ* pro *μηδὲν* MV 5 *τοῖσιν* BΓ 6 *ταῦτα* pro *τὰ τ.* BΓ 7 *ὅσοισ(ν²)* M *ξυμφ.* codd., *συμφέρειν Γ. προσφέρειν* adscr. i. m. BΓ² *δ'* MV 8 *πουλ.* MV *τὰ δὲ ὀλιγημερώτατα . . . ἀποθνήσκουσι* (p. 217, 2) om. Γ 10 *ἐκείνοισι* M, *-σιν* V 11 *γίν. τούτ.* MV *πουλῦν* V ut saepe 12 *χρηστῶν* V, *ἀγαθὸν* pro *χρ.* M *ἐπιδέειν* codd. 14 *ἐπὶ* pro *ἐς* MV 15 *τὰ* post *ὀστ.* om. V 15. 16 *διολισθόντα* Erm. Wb. 16 *ἔχοντα* M, ss. *ἐξ* ut videtur M² 17 *πουλὺ* MV 18. 19 *λεπτῇσι* BM, *ν* add. M² 19 *ἀτρεμίζουσι* M 20 *πουλὺν* M, *-ῦν* V 21 *οὕτω* MV

*μὲν ἰητρευόμενοι σῴζονται, ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος ἀποθνήσκουσι.*

64. *Ὡὑτὸς δὲ λόγος οὗτος, ἤν καὶ τὰ τοῦ πήχεος ὀστέα παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔσω μέρος τῆς χειρὸς ἤν τε ἐς τὸ ἔξω. σάφα γὰρ ἐπίστασθαι χρή, ὅτι ἀποθανεῖται ἐν ὀλίγῃσι ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵῳ περ καὶ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ. οἷσι δ' ἂν μὴ ἐμβληθῇ μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτοι πολὺ πλέονες περιγίνονται· ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισιν ἐπιτηδείη, οἵη περ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρείους· ἢν μὲν γὰρ ἐς τὸ ἔσω μέρος ὀλίσθῃ τὰ ὀστέα, συγκάμπτειν οὐ δύνανται τοὺς δακτύλους, ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύνανται.*

65. *Οἷσιν δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ τὸ | γόνυ ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔσω μέρος ἤν* 276
*τε ἐς τὸ ἔξω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατός ἐστιν ἤπερ τοῖσι ἑτέροισι, καίπερ κἀκείνοις ἕτοιμος ἐών. ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μούνως εἰσί· κινδυνω-*

1 *ἰητρεύμενοι* B 2 *ἀποθνήσκουσιν* V 3 *ὁ αὐτὸς* B Γ, *ὡὐτὸς* M, *ὡυτὸς* V *οὕτως* B Γ 4 ante *παρὰ* add. *τὰ* M V Γ *εἰς* bis B *εἴσω* codd., *ἔσω* Γ 6 *σάφα . . . ἀχρείους* (13) om. Γ *ὅτε* B 7 *ὀλίγησι* BM, *ν* add. M², -*ν* rel. 8 *ἐνμ.* B 10 *πλείονες* MV 10. 11 *τοιουτέοισι* B *τοιούτοισι(ν²) ἢ ἐπ.* M 11 *ἤπερ* V 13 *ἀχρηΐους* MV *εἴσω* MV 14 *ὀλισθῇ* codd. ut solent *ξυγκ.* MV *δύναται* V 17 *ΛΓ περὶ κνήμης ὀστέου ἑλκωθέντος* tit. B *ὅσοισι* MV 18. 19 *ἔξω . . . εἴσω* MV 19 *τ'* pro *τε* V *τούτοισι* B *ἐμβάλλῃ* V 20 *ἢ περὶ* B, *εἴπερ* MV *τοῖσιν* M (*ν* add. M²) V Γ *ἑτεροισιν* Γ 21 *καὶ ἐκείνοισι(ν* add. m. 2) M, *ἐκείνοισιν* V, *κακήνοις* Γ *ἰητρεύεις* B Γ, -*ει* M, ss. *ῃ* M², -*ῃ* V 22 *οὕτως* B Γ *μούνως* scripsi, *μόν.* codd. *εἰσίν* M

*δέστερα δὲ ταῦτα τῶν ἑτέρων γίνεται καὶ ὅσῳ ἂν ἀνωτέρω καὶ ὅσῳ ἂν ἰσχυρότερα ᾖ καὶ ἀπὸ ἰσχυροτέρων ὠλισθήκῃ. ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ πρὸς τοῦ γούνατος ἕλκος ποιησάμενον ἐξολίσθῃ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον καὶ θᾶσσον τὸν θάνατον ποιεῖ ἢ τὰ πρόσθεν εἰρημένα· μὴ ἐμβληθὲν δὲ πολὺ κινδυνωδέστερον ἢ τὰ πρόσθεν· ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης.*

66. *Ὡὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων καὶ περὶ τῶν τοῦ πήχεος καὶ τοῦ βραχίονος· ὅσα γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ ἕλκος ποιησάμενα, πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει, μὴ ἐμβαλλόμενα δὲ ἐλπίδα σωτηρίης· χώλωσις δὲ ἑτοίμη τοῖσι περιγινομένοισι. θανατωδέστερα δὲ τοῖς ἐμβαλλομένοις ἐστὶν τὰ ἐπανώτερα τῶν ἄρθρων, ἀτὰρ καὶ τοῖσι μὴ ἐμβαλλομένοισι κινδυνωδέστερα αὐτὰ ταῦτα.*
278 *εἰ δέ τινι τὰ ἀνώτατα ἄρθρα ἐξαρ|θρήσαντα ἕλκος ποιήσαντα ἔξω ἐξίσχοι, ταῦτα ἂν ἔτι καὶ ἐμβαλλόμενα ταχυθανατώτατα ἂν εἴη, καὶ μὴ ἐμβαλλόμενα*

1 *γένηται* B *καὶ* om. M V Γ *ἂν* ante *ἀνωτ.* om. B Γ 2 *ὅσα* V *ἔῃ* codd. *ὅσα γε ἰσχ. τε ἢ* Γ 3 *ὠλ.* N, *ὀλ.* vulg. post *μηροῦ* add. *τὸ* M V *ἢν δὲ . . . σωτηρίης* (8) om. Γ 4 *γόν.* M V 6 *ποιήσει τῶν πρ. εἰρημένων* M V 7 *πουλὺ* M *ἀκινδ.* M V 8 *ἄυτης* B 9 *ὤυτος* B, *ὠυτὸς* V Γ, *ὡυτὸς* M 10 *πήχεως* M V Γ *του* ante *βραχ.* add. vulg., om. B M V Γ 11 *ἃ* pro *ὅσα* M V 12 *βληθη* B 12. 13 *ἐμβληθὲν* M V *μὴ ἐμβαλλόμενα . . . φαρμάκῳ* (p. 219, 14) om. Γ 13 *ἐλπὶς* B *σωτηρίας* V *ἑτοίμη* om. M V 14 *περιγενομ.* V *θανατωδες γαρ ατε τοις* B 14. 15 *τοῖσιν* (*ν* add. M[2]) *ἐμβαλλομένοισιν ἐστι* M V 15 *ἀνωτέρω* pro *ἐπαν.* M V 16 *τοῖσιν* V *μὴ* om. M V *δὲ* pro *αὐτὰ* B 17 *τινα* V *ἄνω ταῦτα* pro *ἀν. ἄρθρα* V 18 *ἔξω* om. M V *ἐξίσχοι, οι* in raso loco, M *δέ τι* pro *ἂν ἔτι* M, *δ' ἔτι* V 19 *ταχυθανατώτα* B *ἂν* post *ταχ.* om. M V

κινδυνωδέστατα. ἰητρείη δὲ ἤδη εἴρηται οἵη τις ἐμοὶ δοκεῖ ἐπιτηδειοτάτη τῶν τοιούτων εἶναι.

67. Οἷσι δὲ ἄρθρα δακτύλων ἢ ποδὸς ἢ χειρὸς ἐξαρθρήσαντα ἐξέσχεν ἕλκος ποιησάμενα μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ' αὐτὴν τὴν σύμφυσιν ἀποσπασθέντος, τούτοισιν ἢν ἐμβληθέντα ἐμμείνῃ, ἔνι μέν τις κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται· ὅμως δὲ ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δεῖται. ἐμβάλλειν μέντοι ῥῆιστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὡς καὶ πρόσθεν εἴρηται ἐν τοῖσι καταγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν. ἔπειτα ἀτρεμεῖν ὡς μάλιστα χρὴ καὶ κατακεῖσθαι καὶ ὀλιγοσιτεῖν· ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω κούφῳ φαρμάκῳ· τὸ δὲ ἕλκος θεραπεύειν ἢ ἐναίμοισιν τοῖσι ἐπιτέγκτοις ἢ πολυοφθάλμοισιν ἢ οἷσι κεφαλῆς ὀστέα κατεηγότα ἰητρεύεται, κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστιν, τὰ δ' ἐπάνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ

1 κινδυνωδέστερα MV ἰητρίη B ἤδη om. BMVH, praebent cet. codd. 2 δοκέει codd. εἶναι τ. τ. MV τοιουτέων V 3 ΛΔ περι ἐξαρθρησεως ἀρθρων δακτυλων ποδος τε καὶ χειρος ἑλκοθεντων tit. B ὅσοισι MV 4 μήτε V 5 ξύμφ. codd. 6 τούτοισι M η pro ἢν B 7 δέ τι ἄξ. MV, δ' ἐπάξιον Wb. 9 δέεται codd. ἐστιν post δυν. B ἐπὶ ante τῷ μοχ. pro ἐστι B 10 ὥσπερ MV 11 κατηγνυμ. B, κατεαγν. MV ἐξίσχουσι B 12 ἀτρεμέειν et ὀλιγοσιτέειν codd. 14 ἰητρεύειν pro θεραπ. MVΓ post θεραπ. add. μὲν Γ ἐναίμοισι MV τοῖσιν (ν add. M²) MV 15 ἐπιτέγκτοισι ΓΜ (ν add. M²), -ν V ἢ πολυοφθ. om. BMV, ἢ πλατυ ὀφθ. Γ, B² i. m., ἢ πολυοφθάλμοῖσιν vulg., del. Erm., τῆς βοτάνης δὲ τῆς πολυοφθάλμου καλουμένης, ἥτις καὶ βοὸς ὀφθαλμὸς ὀνομάζεται, τῷ φύλλῳ χρῆσθαι κελεύει . . . Gal. in comm. 712 οἷσιν (ν add. M²) ἐν κεφαλῇ MV 16 ἰητρεύηται BVΓ κατάψυχρον . . . μαλθ. ἔχειν (p. 220, 9) om. Γ κατάψυχρον . . . προσφ. (17) om. M¹, adscr. M² i. m. 18 ἐστι MV δ' ἔτι ἄνω B, δὲ ἔτι ἄνω MV, δέ τι ἀνωτέρω Erm. ἀνωτέρω Par. MN Litt. Erm. Pq. δ' ἐπάνω ipse scripsi

280 *χρὴ αὐθήμερα ἢ τῇ ὑστε|ραίῃ, τριταίῳ δὲ καὶ τεταρταίῳ ἥκιστα· τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τῇσι παλιγκοτίῃσι μάλιστα. οἷς ἂν οὖν μὴ αὐτίκα ἐγγένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας· ὅ τι γὰρ ἂν ἔσω δέκα ἡμερέων ἐμβάλλῃς, πᾶν καταληπτόν. ἢν δ' ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐκβάλλειν τὸ ἄρθρον χρὴ ταχύ, καὶ θερμῷ τέγγειν ὡς πλειστάκις καὶ τὸ ὅλον σῶμα θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν καὶ μάλιστα κατὰ τὰ ἄρθρα. κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. προσδέχεσθαι μέντοι χρὴ κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι· τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς ὑπογένηται, ὥς, εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδὲ ἐμβάλλειν ἔδει.*

68. *Τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα*
282 *ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν, ὡς εἴρηται. | ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελέως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, εἰ μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη· καὶ ἰητρείη*

1 *αὐθήμερον* MV *ἢ* pro *καὶ* M 3 *οἷσι* M, *-ν* V 3. 4 *γένηται* MV, *ἐνγ.* B 4 *ὑπερβάλλειν* B 5 *εἴσω* BMV, *ἔσω* N[1] *ἡμερῶν* B *ἐμβάλῃ* V, *ἐμβάληι σπᾶν* M 6 *πάντα* B, *σπᾶν* Par. EFHIJKMOU Litt. Erm. Pq. *καταληπτέον* B Litt. Erm. Pq. *σπῶν καταληπτόν* Wb. *δὲ* M 7 *ἐμβάλλειν* BMV, *ἐκβ.* EHKI 8 ante *ὡς* add. *ἡ* B 9 *λαπαρῶς* V *μάλιστα τὰ κατὰ Γ* 10 *τὲ* V 11 *προσδέχεσθαι . . . εἴρηται* (18) om. *Γ* *χρὴ* om. MV 13 *οὕτως* B *ὅτι οὖν* V 13. 14 *φλεγμονῇ οὐπογέν.* B *ἀμαθείην* B 15 *εἶναι τίῃ* pro *ἐν αἰτίῃ* B 16 *οὐδ'* MV 17 *ΛΕ* (om. *Γ*) *περὶ τῶν ἀποκοπτομένων ὀστῶν ΒΓ* 19. 26 *ἀποκόπτ.* om. B[1], add. B[2] i. m. 20 *τελείως* MV *ἢν* B 21 *λιπ. Γ, λιποθυμήσαι* B *ἰητρίῃ Γ*

φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ' ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶν καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων· καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα καταγέντα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐμβαλλόμενά ἐστιν. ἀποκόψιες δὲ τέλειαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ καὶ ἐν χειρὶ καὶ ἐν κνήμῃ τοῖσι παρὰ τὰ σφυρά, καὶ ἐν πήχει τοῖσι παρὰ τοὺς καρπούς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται, ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ ἢ τεταρταίοις ἐοῦσι πυρετὸς συνεχὴς ἐπιγένηται.

69. Ἀποσφακελίσιες μέντοι σαρκῶν καὶ ἐν τρώμασι αἱμορρόοισι γενομένοισιν ἢ ἀποσφίγξεσιν ἰσχυραῖς καὶ ἐν ὀστέων κατήγμασιν πιεχθεῖσιν μᾶλλον τοῦ καιροῦ καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισιν ἀπομελανθέντα ἀποπίπτει πολλοῖσι, καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων, καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου καὶ οἷσι βραχίονος, ἡσσόνως δέ· πήχεος δὲ καὶ κνήμης ἀποπεσούσης καὶ ἔτι εὐφορωτέρως

1 ἀρκέει ΒΓ τῶν τοιούτων . . . ὀστέου (p. 222, 8) om. Γ 2 τὰ om. B ἶξιν V 3 ἐστὶ MV 4 ὅσον τὰ κ. B 5 καταταγέντα B, κατεαγότα MV ἐξίσχῃ B τὸ om. B 6 ἐστὶν ἐμβ. MV 7 κατ' ἄρθρα B 8 ante κνήμῃ add. τῇ B πηχεσι B 9. 10 πλείστοισι(ν add. M²) ἀποκοπτομένοισι(ν add. M²) BM 11 τεταρταιοισιν (ν add. M²) MV οὖσι B ξυν. MV 13 ἀποσφακελίξιες B, -ξηες V τρώμασιν MV 14 γενομένοισι(ν add. M²) BM ἀποσφιγχθεῖσιν ἰσχυρῶς Litt., γενομένων ἀποσφιγξίων ἰσχυρῶν Erm. pro ἢ ἀποσφ. ἰσχ. 15 κατήγμασι MV post κατήγμ. add. γενομένοισι MV πιεχθεῖσι MV 16 ἀποληφθέντα pro ἀπομελ. MV 19 βραχίονος ἧσσον ὡς δὲ ἐπὶ πήχεός τε καὶ κν. B, βραχίονος ἧσσον δὲ πήχεώς τε καὶ κν. MV, interpunctionem restituit Litt., ἡσσόνως et πήχεος δὲ ipse correxi 20 ἀποπεσόντος B καὶ ante ἔτι del. Erm. εὐφορωτέροις B, εὐφόρως MV

*περιγίνονται. οἷσι μὲν οὖν καταγέντων τῶν ὀστέων ἀποσφίγξιες αὐτίκα ἐγένοντο καὶ μελασμοί, τούτοισιν*
284 *μὲν ταχεῖαι αἱ περιρρήξιες γίνονται τοῦ | σώματος καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων προενδεδωκότων· οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσιν καὶ τούτοισι, τὰ δὲ ὀστέα βραδέως ἀφίσταται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται καὶ ἡ ψίλωσις τοῦ ὀστέου. χρὴ δὲ ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ᾖ, ταῦτα, ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀναλγέα ᾖ, ἀφαιρεῖν κατὰ τὸ ἄρθρον προμηθεόμενον ὅπως μὴ τιτρώσκῃς· ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος καὶ μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ ᾗ ἀποτάμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι· αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου ὀγδοηκοσταῖον εἶδον ἐγὼ ἀποστάν· ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη· ἐδόκει δέ μοι καὶ ἐγγυτέρω· οὐ γὰρ ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ τι ποιεῖν. κνήμης δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην*

1 *οὖν* om. V *κατεαγέντων* BV, *κατηαγὲν τῶν* M *τῶν* om. BV, praebent Par. FIMN 2 *ἀποσφακελίξιες* M, *-ξηες* V pro *ἀποσφίγξιες* *τούτοισι* MV 3 *αἱ* om. MV *τοῦ σώματος* del. Erm. 4 *τῶν* om. V 6 *θνήσκουσι* MV 9 *ὡσ'* pro *ὅσα* B *κατωτέρωι* M *τοῦ σώματος* del. Erm. 10 *ᾖ* scripsi, *ἔῃ* codd. *τεθνήκει* V 11 *ἀφαιρέειν* (*-έην* M) codd. *τὸ* om. MVΓ *προμηθευόμ.* Γ 12 *ὅκως* codd. *τιτρώσῃ* B, *τι τρῶσις* M, *τιτρώσκησιν* V, *τιτρωσκη* Γ, *τιτρώσκῃς* Erm., *τι τρώσῃς* Pq. 13 *τὸ σῶμα* del. Erm. *τεονεος* BΓ 13. 14 *ἐὰν ἀποτάμνηται* Γ, *ᾗ ἀποτέμν.* codd. 14. 15 *λιποθ.* Γ bis 15 *ἤδη παραχρ.* Γ 16 *μηροῦ . . . κρίνεται* (p. 223, 13) om. Γ 17 *ἐγὼ* om. MV 18 *τ' ἀνθρ.* M, *τ' ὠνθρ.* V *ἀφαιρέθη* B 19 *ἐδόκεε* codd. post *γάρ* add. *ἅμα* MV, om. B, del. Erm. 19. 20 *οὐ γὰρ μᾶλλον ἐπὶ* Wb. 20 *τις* B *ποιέειν* BM *τε* pro *δὲ* B

ἐόντα, ἑξηκοσταῖα μοι ἀπέπεσεν ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀπο|πίπτειν· 286 διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον, καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα καὶ τὰς σάρκας καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας· ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντα θνήσκει, ἔνια τῶν τοιούτων οὐκ ἀφικνεῖται ἐς ὀστέων ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει· ἔνια δὲ οὐδὲ ἐς νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. διὰ οὖν ταύτας τὰς εἰρημένας προφάσιας οὐκ ἔστιν ἓν ὄνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι, ἐν ὁπόσῳ ἕκαστα τούτων κρίνεται.

Προσδέχεσθαι δὲ χρὴ μάλα τὰ τοιαῦτα ἰήματα· ἐσιδεῖν γὰρ φοβερώτερά ἐστιν ἢ ἰητρεύειν, καὶ ἰητρείη πρηεῖα ἀρκεῖ τούτοισι πᾶσι· αὐτὰ γὰρ ἑωυτὰ κρίνει μοῦνον. τῆς δὲ διαίτης ἐπιμελεῖσθαι χρή, ὡς κατὰ δύναμιν ἀπύρετος ᾖ, καὶ ἐν σχήμασι δικαίοις εὐθετίζειν τὸ σῶμα· δίκαια δὲ ταῦτα μηδὲ μετέωρον ποιεῖν, μηδὲ ἐς τὸ κάτω ῥέπον, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω, ποτὶ

1 αὐτέων B 2 διηνέγκοι MV τε om. MV 6 ante ἀποθανεῖν add. καὶ B 8 ἀποληφθέντα vulg., -λη(-ι- B, -ει- M, ss. η M²)φθέντων codd. τοιουτέων M 9 ἀφικνέεται codd. ἀλλὰ MV ἐπὶ παλαιότερα V 10 ἔνια . . . ἐκπίπτει (11) om. V 10 εἰς codd. 11 δεῖ pro διὰ B 11. 12 εἰρημένας om. MV 12 οὔνομα MV 13 ὀκ. codd. 14 μάλα χρὴ MV τὰ BΓ, om. MV 14. 15 ἐσιδέειν BVΓ, ἐπιδέειν M 15 ἢ om. BMVΓ, τινι ἢ N, ἤ τινι vulg. καὶ ἰητρείη . . . ἀπύρ. ᾖ (18) om. Γ ιητριη B ut saepius 16 πρηεῖα scripsi, πρασία BMV καὶ ἢν ἰητρείη παρείη Aemil. Portus ἀρκέει codd. πᾶσι τούτοισι(ν V) MV ταῦτα B 17 μόνον MV τῆς τε BMV, τῆς δὲ Litt. ex Par. EHK ἐπιμελέε. codd. 18 ᾖ scripsi, ἔῃ codd. δικαίοισι(ν V) MVΓ 19 post δὲ add. καὶ MV μηδὲν BVΓ μετεωρον ποιεειν BΓ, μετεωροποιέειν M, -ποιεῖν V 20 ῥέπον Γ, -ειν BMV ἐς τὸ om. BΓ

καὶ ἔστ' ἂν τελέως περιρραγῇ· αἱμορραγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο οὖν οὐ χρὴ κατάρροπα τὰ τρώματα ποιεῖν, ἀλλὰ τἀναντία. ἐπεὶ ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι ταῦτα τὰ σχήματά ἐστιν ἐπιτήδεια, |
288 ἀλλ' ἡ εὐθεῖα θέσις, καὶ ἐνίοτε ἐπὶ τὸ κατάρροπον ῥέποντα· ἀνὰ χρόνον γὰρ ἐνίοισιν τούτων ἀποστάσιες πύου γίνονται καὶ ὑποδεσμίδων δέονται. προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι· καὶ γὰρ ἐπὶ τοῖσι μελαινομένοισι τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη καὶ ἐπὶ τοῖσι αἱμορραγήσασιν ἐξ ἑλκέων· ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμορραγίης, καὶ ὁρμᾶται μὲν λάβρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται οὔτε θανατώδης· οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι οὔτε ἄλλως συμφέρει κενεαγγεῖν.

70. *Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ ἔσω μέρος ὠλισθήκῃ.* ἀγαθὴ μὲν

1 τελείως MV αἱμορραγιων Γ 3 τὰ om. B τραύμ. M ποιέειν codd. 4 ὁ om. VΓ ἐγγένεται B πλείω Γ, καὶ πλείω V 5 οὐκετι τὰ αὐτα σχ. Γ ἐπιτ. ἐστιν M (ν add. M²) V 6 ἀλλὰ sine ἡ MV 7 βλέποντα Γ ἐνίοισι MVΓ ὑποστ. Erm. 8 πύ(ύ in raso loco)ου Γ, cf. Mochl. § 35 et Gal. comm. 723 ὡς μήτε πῦον ὑφίσταται, ὀστέου pro πύου BMV 10 μελαν. B 11 πλείστοισι MΓ 11. 12 τοῖσι(ν add. Γ) αἱμορραγήσασι(ν add. Γ) BΓ, τῇσιν (ν add. M²) αἱμορραγίῃσιν MV 13 καὶ ante τῶν om. MV 14 λαύρως V 15 θανατωδες Γ οὐδὲ MV μάλα, α alterum ex λ factum, Γ 16 οὔτ' Γ ἄλλος M ξυμφ. codd. 17 κενεαγγέειν codd.

18 ΛΕ περι καταρτισμου τῆς τοῦ μηρου κεφαλης· ἢν εἰς τὸ ἔσω μερος ὠλισθηκη tit. B περι της ἐνβολης του κατισχιου ἄρθρου tit. Γ ὀλισθήματα (τα ss. M¹) ἐς ἰσχ. BMV, ὀλίσθημα κατ' ἰχίον Γ 18. 19 ἐμβαλεῖν Γ εἴσω MV 19 ὀλ. MΓ

*ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα, ὅστις γε καὶ τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ μέν, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι· τοὺς δὲ πόδας διέχειν τι χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων ἢ καὶ ἔλασσον· χρὴ δὲ καὶ ἄνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλ|θακῷ ἀνατείνοντι* 290 *πρὸς τὴν μεσόδμην· τὸ δὲ σκέλος τὸ σιναρὸν ἐντετάσθαι ὡς δύο δακτύλους μᾶλλον τοῦ ἑτέρου χρή· ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω ὡς δύο πήχεας ἢ ὀλίγῳ πλέον ἢ ἔλασσον· τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινι· ταῦτα δὲ πάντα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν, ἔπειτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης· ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς*

1 *ἡδε κατὰ φ. καὶ δικαια ἡ* (*δικαίη* Ap.) *ἐ.* Γ Ap. p. 19 *ἥδε* om. Ap. p. 25 Schoene *καὶ* post *δικ.* om. V 2 *καὶ* ante *ἀγων.* om. Ap. *δὲ* pro *γε* Γ *τοῖσι* om. MV *τοιούτοισι* M 3 *κομψευσαμενος* B 4 *τ. ποδ.* om. Ap. p. 25 *μεσοδμὴν* V *κρεμάσαι . . . μεσόδμην* om. Γ *μὲν* om. MV 4. 5 *δεσμῷ μαλθακῷ, δυνατῷ δὲ καὶ παχέως ἔχ.* Ap. 5 *ἔχοντα* B *τι* om. MV 5. 6 *χρὴ διέχ. ἀλλ. ὅ. τ. δ. ἢ κ. ελασσω* Ap. 7 *ἐπάνωθεν* MV Ap. 8 *ἱμ.* V *ἀνατείνοντα* B Ap. 9 *ἐς* pro *πρὸς* MV *μεσοδμήν* V 9. 10 *τετάσθαι* MV 10 *χρὴ* post *ἐντετ.* MV *δακτύλοισι* B Γ, *-οις* M *χρὴ* om. Ap. 11 *ἀπὸ δὲ . . . μηρῶν* (17) om. Γ 11. 12 *πήχεις ἢ ὀλ. πλεῖον ἢ ὀλίγον ἔ.* Ap. 12 *ἢ ὀλ.* om. V 13 *προσλελαμμένος* B, *καταλελαμμενας* Ap. *μαλακῷ* Ap. 14 *πάντα δὲ ταῦτα* MV Ap. 16 *ἐρείσαντα* Ap., *ἐσείραντα* Erm. 17 *μεταξὺ* Ap. 18 *μεταξυ* Γ *τοῦ τε περιναίου* Ap. *τῆς* ante *ἐξεστ.* om. M 19 *ἔπειτα . . . περὶ ὤμου* (p. 226, 15) om. Γ *ξυν.* V

τὴν διῃρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατον. αὕτη ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν· αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιεῖται, ὅ τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιω- | 292 ρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύει καὶ ἀναγκάζει ἐς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσιν δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ καὶ ὡς ἰσχυρότατον τὸν ἐξαιωρούμενον εἶναι.

71. Ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρον ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι καὶ δυσέμβλητα, καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖσι περὶ ὤμου. ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ᾽ οὐδεμιῆς παρασκευῆς, ἀλλ᾽ ὀλίγης μὲν κατατάσιος, ὅσον τῇσι χερσὶ κατιθῦναι, βραχείης δὲ κιγκλίσιος· πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς· διὰ τοῦτο ἐπίστασθαι μὲν

1 διηρημενην B Ap. 3 ισορροπώτατα. αὕτη μὲν ἡ Ap. 4 πάντα om. Ap. 5 τῷ ἑαυτοῦ β. om. Ap. ποιέε. codd. 6 κρεμασθεὶς Ap. 6. 7 ὑπεραιωρέε. codd., -εῖ- vulg. 8 πήχεως MV καὶ ἀναγκάζει iterat V 9 εἰς BMV, ἐς HKN ὀλισθαίν. M 10 τοῖσι MV δεσμοῖσι(ν²) M καὶ om. M 12 ὥσπερ Ap. ἤδη ειρηκαμεν παρα το Ap. 12. 13 διάφορον B 13 τοῖσι BM (ν M²) ἀνθρώποισι(ν²) M 14 ευμεταβλητα καὶ δυσεμβλ. εἶναι τὰ ἄρθρα Ap., εὐέμβλ. εἶναι κ. δ. τὰ ἄρθρα Erm. Pq. 15 τοῖς MV 16 ὁ om. Ap. κατασκευης Ap. 17 ὃν pro ὅσον BΓ χερσὶν Γ 18 βρ. δὲ κιγκ. om. Ap. κιγκλίξιος B πολλοῖς γὰρ σ. Ap. 20 ἀλλὰ γὰρ . . . ἐμβολή (p. 227, 12) om. Γ πολὺ om. Ap. πλέω B 20. 21 οὐδὲν ἀκουη ἀπὸ τῆς Ap. ἐπισπασθαι B

χρὴ τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ· χρῆσθαι δὲ οἷσιν ἂν δόξῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρῆσθαι τούτων ὅστις ἂν παρατύχῃ· δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῦ | σώματος· ἢν γὰρ 294 εὖ καταταθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης· καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκεῖ μόχλευσίς τε καὶ κατόρθωσις· ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει· διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. χρὴ δὲ οὐ μοῦνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ἵνα μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδοσις ᾖ μᾶλλον ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος ἐσκευάσθαι· ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν μὴ μοῦνον ἐκ τῆς περὶ τὸ στῆθος κατὰ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ διπτύχῳ, ἰσχυρῷ. προσηνεῖ,

1 τὰ κράτιστα om. Ap. τῇ om. Ap. 2 χρηεσθαι B, χρέε- cet. οἷσι(ν M²) BM οἷς ἂν δοκῇ Ap. εἰ καὶ τότε pro ἑκάστοτε B εἴρηται B 3 τοῖσι(ν²) ἐμπ. γεγραμμένοισι(ν²) M, εἰρημένοις pro γεγρ. Ap. 4 ὥστε om. Ap. χρέε. codd. ὥστις B χρ. δὲ οἷς ἄν τις παρατ. Ap. 5 ἀντικατατετᾶσθαι V 5. 6 ἐπὶ μὲν θ. τὸ σκέλος, ἐ. δὲ θ. τὸ σῶμα Ap. 7 καταθῇ B, κα|ταθῇ V 9 οὐδὲν κωλῦσε B κωλῦσαι V εἰς M 10 ὥστ' MV ἀρκέει codd. 11 διόρθωσις Erm. ἀλλὰ ἐλλ. γὰρ Ap. καταλείπουσι Erm. 12 ἡ om. Ap. οὖν pro δὲ MV 13 μοῦν. Pq., μόνον codd. οὐ παρὰ τ. π. μόν. Γ 14 γόν. (bis) MV ὅκως pro ἵνα MV 15 ἐπίδεσις MVΓ, ἐπίδοσις BErm. ἡ BΓ, ἔη MV, scripsi ᾖ 16 οὕτω . . . κατορθούτω (p. 228, 15) om. Γ οὕτως B 17 ἐσκευᾶσθαι V 19 καὶ pro κατὰ MV

*παρὰ τὸν περίνεον περιβεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν παρὰ τὴν κληῖδα. προσηρτημένῳ πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι, τοῖσιν μὲν ἔνθα διατεινομένοισι, τοῖσι δὲ ἔνθα, ὅπως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίνεον μὴ περὶ τὴν κεφαλὴν τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς καὶ τοῦ περινέου· ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κε-*
296 *φαλὴν τοῦ μηροῦ ἐρείσας | τὴν πυγμὴν ἐς τὸ ἔξω ὠθείτω· ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διέρσας τὴν χεῖρα καὶ ἐπισυνάψας τῇ ἑτέρῃ χειρὶ ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω· ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ ἔσω μέρος κατορθούτω.*

72. *Εἴρηται δὲ καὶ πρόσθεν ἤδη ὅτι ἐπάξιον, ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ ἢ ὀλίγῳ μέζον, εὖρος δὲ ὡς δίπηχυ, πάχος δὲ ἀρκεῖ σπιθαμιαῖον· ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν ἐντομὴν ἔχειν χρή, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις ᾖ· ἔπειτα φλιὰς βραχείας, ἰσχυρὰς καὶ ἰσχυρῶς ἐνηρμοσμένας, ὀνίσκον ἔχειν ἑκατέρωθεν· ἔπειτα ἀρκεῖ μὲν ἐν τῷ ἡμίσει τοῦ*
298 *ξύλου | — οὐδὲν δὲ κωλύει καὶ διὰ παντός — ἐντετμη-*

1 *περινεὸν* ut solet V *βεβλημ.* MV 4 *τοῖσι* MV 5 *ὅκ.* MV 6 *ἐπὶ τῇ κεφαλῇ* MV 10 *ὠθεέτω* codd. 11 *ἐπιξυνάψας* M 12 *συνκαταναγκ.* B, *ξυναναγκ.* MV 13 *εἴσω* MV 15 *εἴρηκα* BΓAp. *ἤδη* om. MV 16 *πόλει* om. V, *πόλι Γ* *πολυ-* om. Ap. ante *ξύλον* add. *τὸ Γ* 17 ante *ἢ* add. *χρὴ* BΓ *μειξω* B *ὡς* om. Ap. 18 *ἀρκέει* codd., *-κέσει* Ap. *ἔπειτεν* Ap. 19 *τομὴν* MAp.Γ, *τὸ μὴν* V *ἐντ. παραμήκεα* Galenum legisse ex commentario eius conicit Litt. *χρὴ* om. Ap. 20 *εἴη* BMVΓ, *ἔη* N *μηχανὴ ἤι·* Ap. 21 *βαθείας* Ap. *ἐνειρμ.* BΓ 22 *ἀρκέει* codd. 23 *καὶ* om. V

σθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἕξ, διαλειπούσας ἀπ' ἀλλήλων ὡς τέσσαρας δακτύλους, αὐτὰς δὲ ἀρκέσει εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων, καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκῇ προσδεῖν, ξύλον ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον· ἐμπηγνύναι δέ, ἐπήν ποτε δοκῇ συμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεὸς κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖσι πρὸς ποδῶν ἕλκουσιν· ἐνίοτε γὰρ ἀρκεῖ αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος· ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ ἢ τῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται, ὡς, καθ' ὁποίην ἂν αὐτέων ἁρμόσῃ, ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρει-

1 ὥσπερ καπ. Ap. ἢ π. ἢ Ap. 2 ὡς om. MV αὐτὰ B 2. 3 δι αρκέειν M, διαρκέειν V pro δὲ ἀρκέσει (B), δὲ ἀρκεῖ Ap., δὲ ἀρκέει Γ vulg. 3 τρεῖς δακτ. Γ 4 χρὴ om. Ap. 5 ἔτι pro ἐπὶ Ap. 6 δοκέῃ in raso loco B² δοκέει Γ, δέηι M, δέῃ V, om. Ap. ἐνπηγ. ξύλ. Γ 7 ἐμπιγνυνται B, -νῦναι V, ἐνπηγνυντα Ap. ἐναρμόσον BAp., -σσον Γ 8 post ἐπὴν spatium trium litt. B ενπηγνυνται (nulla interpunctione praecedente) ὡς ἄν ποτε Ap. δοκέει Γ, -κῇ Ap., -έῃ rel. ξυμφ. codd. 9 τοῦ om. Γ περιναίου ΓAp. 10 τοῦτο . . . ἔσω (p. 230, 2) om. Γ εσται· ὡς κωλυσει Ap. 11 ἕλκουσι B ἀρκέοι B, ἀρκέσοι ἂν Ap., -κέει cet. 12 αντις pro ἀντὶ τῆς B 13 κατατεινομένω BAp. τοῦ σκ. om. Ap. 14. 15 εν τη ρωπῇ pro ἢ τῇ ἢ τῇ Ap. 16. 17 καιεκαπετοι ἐντετμεαντε· B ἐντέτμηνται MVAp. ὁκ. codd. 18 ὁ ξυλ. Ap. μοχλεύει BMAp., -ῃ V, -οι vulg. 19 ἢ κατὰ τὰς κεφ. τελ. om. Ap.

δόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι ἤν τε ἐς τὸ ἔσω, καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν συμφέρῃ εἶναι ἤν τε πλάτος ἔχοντα· ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ 300 σκέλεα αὕτη ἡ | μόχλευσις σὺν τῇ κατατάσει. περὶ οὗ οὖν ὁ λόγος ἐστί, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι· τῷ μέντοι ἔξω ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόσει εἶναι. ἀπὸ τούτων τῶν μηχανέων καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκεῖ οἷόν τε εἶναι ἀπορηθῆναι ἐμπεσεῖν.

73. *Εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς· εἰ γὰρ τὸ ξύλον τὸ μέγα τοῦτο ἔχοι κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ὡς ποδιαίας — ὕψος δὲ ὅπως ἂν δοκῇ συμφέρειν — τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν· ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσι ὡς κλιμακτήρ, ἔπειτα εἰ διέρσειεν τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόζον ἀπαρτὶ πρὸς τὸ*

1. 2 συμφέρει hic et l. 3 B, ξυμφ. MV, prius συμφ. om. Ap. 2 ἐκμοχλεῦσαι Ap. ἤν τε . . . ἔσω om. Ap. εἰς B εἴσω BMV, ἔσω mut. in εἴσω N 3 ante πλάτος add. τὸ Γ 4 ἁρμόσει BΓAp. εὔχρηστος . . . ἐμβολῆς (l. 12) om. Γ 5 ἐστι(ν²) M ἐς pro ἐπὶ Ap. τῶν vulg., om. BMVAp. ἐμβολὴν BAp., -λῇ MV, -λῆς vulg. Litt. Pq. 6 ξὺν MV τῇ om. MV κατασείσει B 7 μὲν οὖν Ap. ἐστὶν M ἁρμόσει BMAp. 8 τῷ . . . εἶναι (9) om. Froben, Kühn ἔξωθεν Ap. ἐκπεπτωκοτα B 9 τούτων scripsi, τουτέων codd. ἀναγκαιων B, ἀναγκαῖον MV, -κέων Par. M 10 δοκέει codd. ἀπορηθεν B ἐμπεσει B 11 ἔχοι ἄν τις Ap. 12 τοῦ om. B 13 κατὰ μέσ. κατὰ πλάγιον Ap. ὡς om. MV 14 ὅκως MV ἂν om. MAp., μὴ pro ἂν V δοκέει BVΓ, δοκεῄ (ει ss.) M, ss. ead. m., δοκοίη Ap. ξυμφ. codd. 15 καὶ ἔπ. Ap. 16 φλειῇσι(ν²) M, φλιῇσιν V ὥσπερ Ap. διέρσαι pro εἰ δ. MV, ἤδη ερισειε Ap. 17 μεσσ. Ap. 18 ἔχοιεν V, ἔχειν E Litt. Pq. ἐναρμόσον BMΓAp., ἁρμόσον V, ἐναρμόζον EH ἀπάρτι (π in raso loco) B, ἀτάρ τι MV, ἀπαρτι Γ

ὕψος καὶ πρὸς τὸ ἄρθρον, ᾗ ἐκπέπτωκεν· ῥηΐδιον δὲ ἁρμόζειν· τὸν γὰρ κλιμακτῆρα ὑψηλότερόν τι χρὴ ποιεῖν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον | πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτετα- 302 μένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεύμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ ὡς οἷόν τε· προσκαταδεδέσθαι δὲ δεῖ πρὸς τὸ σκέλος, ὅπως ἂν μετρίως ἔχῃ. καὶ ἔπειτα κατατεινομένου τοῦ σκέλεος εἴτε ξύλῳ ὑπεροειδεῖ εἴτε τούτων τινὶ τῶν κατατασίων ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος σὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ· τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεραιωρέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ καὶ πᾶσαι κρέσσους τῆς συμφορῆς, ἤν τις ὀρθῶς

1 καὶ τὸ προς Ap. ᾗ om. Ap. ἐκπέπτωκε MV, -τοκη Ap. 2 ante ἁρμ. add. χρὴ V, χρὴ ss. M ead. m. ἁρμωσῃ Ap. νομίζειν pro ἁρμ. MV γὰρ om. Ap., δὲ pro γ. BΓ τινι pro τι BMAp., γρ. ὑψηλοτερόν τι i. m. M, τινεῖ Γ ποίεειν codd. 4 post σῶμα add. ἁπλουν B περὶ ἑτέρου ξύλου tit. in m. inf. M ἔχοντα MVAp. 6 ἱκνεόμ. MV post ἐπέκ. add. ἐπὶ Ap. 7 οιονται BΓ προσκαταδεδέεσθαι B, -δεῖσθαι M 8 δεῖ om. ΓAp. ὅπως BΓ, ὀκ(ὀπ- Ap.)οσαχῶς MVAp. ἢν MV ἔχει BΓ κἄπειτα MV 9 εἴτ' ἐς ξυλον (ss. ωι ead. m.) M, εἴτ' ἐν ξ. V ὑπεροειδῆ ΓAp. 10 τουτέων MV εἴτε τούτων τινει εἴτε τῶν κατατ. Γ (comm.) χρὴ om. Ap. 11 ξὺν MV 12 τὸν δὲ . . . ἐμπίπτει (p. 232, 3) om. Γ 14 ante οὕτως add. γὰρ MV ἡ κατ. ἅμα μὲν Ap. ὑπερωραῖοι ἂν Ap., ὑπεραιωρέοι ἂν Litt. Erm. Schoene, -αίροιτο (ἂν om.) cet. 15 ὑπὲρ . . . μηροῦ (16) om. Ap. 16 εἰς B 17 post φύσιν add. τοῦ μηροῦ Ap. 17. 18 ἰσχ. κατὰ κρέσσ. Ap. 18 κρείσσ. B ξυμφ. codd., συμφ. Ap.

καὶ καλῶς σκευάζηται. ὥσπερ δὲ καὶ πρόσθεν ἤδη εἴρηται, πολύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείστοισιν ἐμπίπτει.

74. Ἢν δὲ ἐς τὸ ἔξω ἡ κεφαλὴ τοῦ μηροῦ ὀλίσθῃ,
304 τὰς μὲν κατα|τάσιας ἔνθα καὶ ἔνθα οὕτω χρὴ ποιεῖσθαι, ὥσπερ εἴρηται, ἢ τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρή, ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρεος ἐς τὸ ἔσω ἀναγκάζοντα, κατ' αὐτόν τε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω· ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι χερσί, ὡς μὴ ὑπείκῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑποβάλλων καὶ ἐρείσας ἐς τῶν καπέτων τὴν ἁρμόζουσαν ἀντικατεχέτω· τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ ἔσωθεν ἔξω παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθοίη ἂν τὴν κεφαλὴν τοῦ μηροῦ

1 σκευάζει B, -ζοι MV, -ζῃ EN, -ηται Ap. (cf. p. 235, 17) ἤδη om. V 2 πουλὺ M τι om. BAp. 3 τοῖσι om. Ap. πλείστοισι BM (ν add. M²) 4 $\overline{ΛΖ}$ περὶ καταρτισμοῦ τῆς τοῦ μηροῦ κεφαλῆς ἢν εἰς τὸ ἔξω μέρος ὀλίσθῃ tit. B ὀλίσθημά ἐστιν τῶν κατὰ ἄρθρον ἢ κατὰ ἁρμογὴν συνκειμένων ὀστων φορα εἰς το παρὰ φύσιν in m. B² ἐμβολη τῆς κατισχιον αρθρου ην εις το εξω ητου μηρου κεφαλη εξαρθρηση tit. Γ ἡ om. BMV τοῦ om. MVΓ ἔξω μέρος τοῦ μ. ἡ κ. Ap. 5 οὕτως Ap., om. MV ποιέε. codd. 6 ὡς Γ ἢ Ap. Litt. Erm. Pq., om. codd. τοιούτω τρόπω BΓ 8 μέρους B εἰς M εἴσω MV εἰς τὸ ἔξω μέρος ἐς τὸ ἔσω Ap. κατά τε αὐ. BMV, κατά γε αὐ. Litt. Erm. Pq. (τε, ss. γε N) 9 τε post αὐτ. om. B ὀλιγον Γ 10 ἐπὶ . . . ἐκπεπτωκός; (p. 233, 6) om. Γ ὑγιεὲς B 11 χερσὶ(ν M²)BM, -ν cet. ὑπείκει B 12 τινὶ om. Ap. ὑπερβ. MV ἐς Erm., ἐκ codd. 13 καπεδων Ap. αντικάτωχε δε μήποτε τοῦ μ. Ap. 14 ὠλισθηκότος pro ἐξηρθ. Ap. εἴσ. MV ἔξωθεν εσω ἢ ουχως (σ ex ο fecit man. recentior) παρ. m. prima Ap. 15 ἁρμόζει Ap. 17 ἐγκρεμ. B ἀπω(ο Ap.)θέοι MVAp.

ἀπὸ τῆς κοτύλης. τὴν μέντοι σὺν τῷ ξύλῳ τῷ ὑποτεινομένῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις, ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέων. ἀλλὰ τί καὶ δεῖ; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον οὕτως ἐκπεπτωκός;

75. Ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρός, τὰς | μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτω χρὴ ποιεῖ- 306
σθαι, ὡς εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον ὡς μαλθακώτατον, πρηνέα κατακλίναντα τὸν ἄνθρωπον οὕτω κατατείνειν· ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον ὡς τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα, καὶ μᾶλλον ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων· καὶ ἡ ἐντομὴ ἡ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν τε μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι καὶ

1 σὺν. ss. ξ N, ξὺν cet. 2 μοχλευσειν Ap. μηχανήσετο ἂν B, μηχαρνης ἄπαν τις Ap. ἁρμόσαι Ap. 3 καὶ ante τούτῳ om. Ap. 3. 4 προσαρτέον MV, πρὸς ἀκτέον Ap. 4 post δεῖ vulgo add. πλείω λέγειν, om. BMV, δεῖ πλ. λ. om. Ap. καὶ μὴν pro ἢν Ap. 5 ἔτι ἂν οὐκ ἐμπ. Ap. 6 ἐκπεπτωκός om. Ap. 7 ΛΗ περὶ καταρτισμου τῆς τοῦ μηρου κεφαλῆς ἢν εἰς τὸ ὄπισθεν μέρος ὀλισθη tit. B, ἐμβολη της κατ' ισχιον αρθρου ην εις το οπισθεν η του μηρου κεφαλη εξαρθρηση tit. Γ τοῖσιν δε εἰς τὸ ὄ. ὁ μηρὸς ἐκπεπτώκει Ap. 8 ἀνατάσιας BΓ οὕτως BΓ δεῖ pro χρὴ Ap. 8. 9 ποιέε. codd. 9 ὥσπερ ἤδη Ap. ὑποστρώσαντα δὲ ὑπὸ Ap. ἐπιστορέσαντα . . . ὀλισθήμ. (p. 234, 5) om. Γ 10 ὡς om. Ap. μαλακώ(ό B)τ. BMV post μαλακ. add. ἔη MV 10. 11 μαλθακότ. πρηναῖα κατακλῖναι Ap. 11 οὕτως Ap. 13 ὥσπερ Ap. ἴξ. M κατήξειν Ap. 14 σανίδαν B καὶ post σαν. om. Ap. 15 ἡ ante ἐν om. MVAp. τύχω BMAp. 16 εὐθεία V 17 τε om. Ap. 18 το τροπω τουτο Ap., τὸν τρόπον τοῦτον Dietz 18 ἐστιν Ap.

*ἅμα ἰσχυροτάτη. ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμία ἐμβολὴ τῶν πρόσθεν εἰρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος.*

76. *Ἢν δὲ ἐς τοὔμπροσθεν ὀλίσθῃ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος· ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἐνερείσαντα τὸ θέναρ τῆς ἑτέρης χειρὸς παρὰ τὸν βουβῶνα καὶ τῇ χειρὶ τῇ ἑτέρῃ τὴν ἑωυτοῦ χεῖρα προσκαταλα-*
308 *βόντα ἅμα μὲν ἐς τὸ κάτω μέρος ὠθεῖν τὸ | ὀλίσθημα, ἅμα δὲ ἐς τοὔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς κατὰ φύσιν μάλιστα τούτῳ τῷ ὀλισθήματί ἐστιν. ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐγκριμνάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύῃ τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίνεον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐγκρέμασιν ποιῆται.*

77. *Εὐδοκιμεῖ δὲ δὴ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον*

1 *δ'* om. B 2 *χερσὶ(ν$^2$)* M 3 *ὁμοίως* om. Ap. Litt. Erm. 4 *οὐδεμίη* M, *ουδεμιας* Ap. 5 *ἐστὶν* Ap. 6 *ΛΘ περι καταρτισμου της του μηρου κεφαλης ην εἰς τὸ ἔμπροσθεν μέρος ολισθη* tit. B *τὸ ἔμπ.* MV *ὀλ.* om. *Γ*, *ἐξολ.* Ap. *μὲν . . . ποιητέος* (7) oblita, *ἄνδρα . . . ποιῆται* (18) om. *Γ* 8 *ἀπὸ . . . εὐπαιδ.* om. $M^1$, add. in m. $M^2$ 8. 9 *ἀνερησ.* Ap. 9 *τῆς χ. τῆς ἑ.* MV, *τῆς χ. ἑ.* Gal. in verbis Hipp. 763 10 *τῇ ἑ. χ.* MV 10. 11 *προκαταλαμβανοντα* Ap. 11 *μέρος* post *κάτω* eras. M, om. V *ὀλισθέειν* V, *ὠθέειν* cet. *τοῦ ὀλισθήματος* Ap. 12 *τὸ ἔμπρ.* MV *γόν.* V 13 *γὰρ* et *τῆς* om. Ap. *μάλ. κ. φύσ.* MV 14 *ἔστιν* om. Ap. 15 *ἐγκριμνάμ.* B, *ἐκκρι(η* V*)μνάμ.* MV, *ἐκκρεμάμ.* Ap. 15. 16 *ἔμπειρ.* om. MAp., *ἔμπυρον* in m. inf. $M^2$ *εἶναι ἔμπειρ.* V 16 *ἐκμοχλεύειν* Ap. 17 *κατὰ* pro *περὶ* BAp. *τὴν* om. $B^1$, add. $B^2$ in m. 18 *ἐγκρ.* B, *ἐκκρ.* cet. *ποιέηται* BMV, *ποιέε.* vulg., *ποιητέον* Ap. 19 *εὐδοκιμέει* codd. *δὴ* om. Ap., *δεῖ* M ante *ἀσκῷ* add. *ὁ πειραθείς* N (lin. del.) vulg. Pq., om. BMV*Γ*Ap. cet.

ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φλαυρότητος καὶ τὰ ἔξω ἐκκεκλιμένα καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβάλλειν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον ἢ ἐνέβαλλον· ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ ἔσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ, εἰ δέοι χρῆσθαι· διαγινώσκειν δὲ δεῖ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρέσσω ἐστίν. χρὴ δὲ τὸν μὲν ἀσκὸν ἐνθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίνεον ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν· ἔπειτα ἐς ἕνα τῶν ποδεώνων, τὸν λελυμένον, ἐνθέντα αὐλὸν ἐκ χαλκίου φῦσαν ἐσαναγκάζειν ἐς τὸν ἀσκόν· τὸν δὲ ἄνθρωπον | πλάγιον κατακεῖσθαι τὸ σιναρὸν 310 σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστίν· σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα· οὐ γὰρ καταδέουσιν τοὺς μηροὺς ἐπὶ συχνόν, ἀλλὰ μοῦνον τὰ γούνατα, οὐ δὲ κατατείνουσι· χρὴ δὲ καὶ προσκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλλον ῥηϊδίου τοῦ πρήγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ

1 *καὶ ἤδη . . . τελευτήν.* (p. 236, 16) om. *Γ* 2 *φαυλοτ.* MVAp. *κεκλιμενα κ. τα μη εις τοὐπ. ἀ. ἐμβ. ἐπειραθησαν οἳ γιν. αυτοις οτι ἐξεβαλλεν ἢ εισεβαλλεν* Ap. 5 *δηλονότι* V *εἴσω* MV *ὀλ.* B 7 *χρέε.* codd. *χρὴ* pro *δεῖ* MV 8 *ἐστί* MV, om. Ap. *μὲν* om. Ap. 9 *καταθεῖναι* MV, *ἐνθ.* BAp. 10 *οὖν ἦτε* (i. e. *οἷόν τε*) pro *δύν.* Ap. *ἀναγαγοντα* B, *ἄνω ἀνάγοντα* Ap. 12 *μέχρι* Ap. *ἡμίσεως* M *τῶν μηρῶν* om. Ap. 13 *εἰς* B *ποδῶν* B, *πολλῶν* MV, *ποδεώνων* Wb. *ἔπ. δε ἐν δυοιν ποδεοιν ὄντων λελυμένων* Ap. *τῶν λελυμένων* B *ἐνθέντα* om. Ap. 14 *αυλῶ* Ap. *χαλκείου* MV *φυσιεν ἀναγκ.* Ap. 15 *κατακέε.* MV 16 *ἐπιπολλης* B *οὖν* om. Ap. 17 *ἐστί* MV, om. Ap. *τάχιον* Ap. 18 *καταδέουσι* MVAp. *συχνῶν* Ap. 19 *γόν.* B *γούν. καὶ οὐ προσκατατείνουσι(ν* M) MV 20 *προκ.* Ap. 21 *τοῦ* om. MVAp. *ἐπιτυχόντος* Ap.

*πάνυ ἔχει διαναγκάζεσθαι οὕτως· ὅ τε γὰρ ἀσκὸς ἐμφυσώμενος οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεύσασθαι, ἀλλὰ κατὰ ἑωυτὸν αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως ἢ κατὰ τὸ μέσον ἢ ἔτι κατώτερον· οἵ τ' αὖ μηροὶ φύσει γαυσοὶ πεφύκασιν· ἄνωθεν γὰρ σαρκώδεές τε καὶ σύμμηροι, ἐς δὲ τὸ κάτω ὑπόξυροι, ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἀπαναγκάζει τὸν ἀσκὸν ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. εἰ γοῦν τις σμικρὸν ἐνθήσει τὸν ἀσκόν, σμικρὴ ἡ ἰσχὺς ἐοῦσα ἀδύνατος ἔσται ἀναγκάζειν τὸ ἄρθρον. εἰ δὲ δεῖ ἀσκῷ χρῆσθαι, ἐπὶ πολὺ οἱ μηροὶ συνδετέοι πρὸς ἀλλήλους, καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος· τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καὶ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν.* |

312 78. *Χρὴ δὲ περὶ πλείστου μὲν ποιεῖσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅπως ὑγιᾶ ποιήσεις τὸν νοσεῦντα· εἰ δὲ πολλοῖσι τρόποισι οἷόν τε εἴη ὑγιᾶ ποιεῖν, τὸν ἀοχλότατον χρὴ αἱρεῖσθαι· καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο*

1 *φυσώμ.* B 2 *τὸ ἄρθρον* B 3 *ἣν* V *δὲ* pro *δεῖ* B 4 *τὸ* ante *μέσον* om. B 5 *κατωτέρω* M 6 *ξύμμ.* codd. 7 *ὑπόξυροι* BErm., *ὑπόξηροι* cet. 8 *ἐπαναγκ.* codd., *ἀπ.* Litt. 9 *γοῦν* scripsi, *τε οὖν* codd., *τε* del. Erm. *τι σμικ.* BMVvulg., *τις μικ.* EK, *τις σμ.* Linden *μικρὴ* codd., *σμ.* Erm. ex Vossiano 10 *δυνατὸν* V, *γρ. δυνατόν ἐστι* i. m. M *ἐστι(ν* B) BM 11 *χρέε.* codd. *ξυνδ.* V, *ξυνδετέοι* (*αι* supra) M 13 *καὶ* om. MV 14 *ἐπὶ τὴν τελ.* om. B 15 *δὲ* om. Ap. *μὲν* om. Ap. *ποιησθαι* Ap., *ποιέε.* cet. 16 *τῇ* om. Ap. post *τέχνῃ* add. *χρεισθαι δ'* Ap. *ὅκ.* MV *ὑγιὲς* BMV, *-ιεα Γ*, *-ιῆ* Ap. post *ὑγ.* add. *μὲν* codd., om. *Γ* Ap. *ποιήσῃς* vulg., *-σειε* Ap., *-σεις* Litt. *νοσέοντα Γ*Ap. *τὸ νοσέον* MV *εἰ δὲ . . . εὑρ.* (p. 237, 4) om. *Γ* 17 *πολλοὺς τρόπους* Ap. *τρόποις* B, *-ποισιν* (*ν* M²) MV *οἴονται* Ap. *εἴης* B *ὑγιέας* MV, *ὕγειεα* Ap. *ποιέειν* codd. 17. 18 *ὀχλωτ.* B 18 *αἱρέε.* MV, *ἐρεῖσθαι* Ap. *ἀνδραγαθικωτατον* B, *ἀνδραεθικωτατον* Ap.

*καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμεῖ δημοειδέος κιβδηλίης. περὶ οὗ οὖν ὁ λόγος ἐστίν, τοιαίδε ἄν τινες κατοικίδιοι κατατάσιες τοῦ σώματος εἶεν, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν· τοῦτο μέν, εἰ τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρείη τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλὰ ἢ σειραὶ ἢ ὅπλα ἢ σχοινία, ἢ ταινίῃσι χρὴ ἢ ἐκρήγμασι τρυχίων ἐρινέων περιελίσσειν ταύτῃ μάλιστα, ᾗ μέλλει τὰ δεσμὰ καθέξειν καὶ ἔτι ἐπὶ πλέον· ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι· τοῦτο δέ, ἐπὶ κλίνης χρή, ἥτις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον· τῆς δὲ κλίνης τοὺς πόδας ἢ τοὺς πρὸς κεφαλῆς ἢ τοὺς πρὸς ποδῶν ἐρηρεῖσθαι πρὸς τὸν οὐδόν, εἴτε ἔξωθεν συμφέρει εἴτε ἔσωθεν· παρὰ δὲ τοὺς ἑτέρους πόδας παραβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα, καὶ ἢν μὲν λεπτὸν ᾖ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ᾖ, οὐ δεῖ· ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν καὶ τῶν πρὸς κεφαλῆς καὶ τῶν πρὸς | (314) ποδῶν προσδῆσαι ἑκατέρας πρὸς ὕπερον ἢ πρὸς ἄλλο τι τοιοῦτο ξύλον· ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα ἢ καὶ ὀλίγον*

1 *τεχνικώτατον* BMV Ap., *-τερον* cet. post *τεχν.* add. *ἄν τις ὑπολάβοι* Ap. *ἐπεθυμη* B, *ἐπιθυμῇ* Ap., *-έει* vulg. *ἠδημ.* B, *δημοειδης* V, *δημιοειδεος* Ap. 1. 2 *κιβδηλιος* Ap. *ἐστὶ* MV 3 post *εἶεν* iterant *ἂν* MV 4 *ἢ* pro *εἰ* MV 5 *τὰ* ante *ἱμ.* om. B *Γ* *τὰ* ante *μαλθ.* om. BMV 6 *ἄλλα* *Γ* *σιρᾶ* B in raso l., subest *σιδήρεα*, *σειρα* *Γ*, *σιδήρεα* MV *ἢ* ante *ταιν.* om. MV Quae post *σχοινία* sequuntur, om. *Γ* 7 *ἐρρήγμ.* codd., *ἐκρ.* Litt. ex Gal. gloss. XIX 96 K.: *ἐκρήμασιν*, *ἀποσχίσμασι ῥακῶν* 8 *καθέξ.* om. M, add. M² i. m. *ἐπιπλεῖον* B 9 *τοῦτον* MV 11 *καλῶς* om. B 13 *ξυμφ.* BM 14 *εἴσ.* M *παρεμβεβλ.* BV 16 et 17 *ἔῃ* MV 18 *οὐ δεῖ* scripsi, *οὐδὲν* BMV, *μηδὲν* vulg. 20 *τοιοῦτον* MV 21 *εὐθυωρ.* BMVN¹, *ἰθ.* cet.

ἀνωτέρω, συμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα, ὡς ὀρθὰ ἑστεῶτα τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον· κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιεῖσθαι. ἀρκεῖ δὲ καὶ κλῖμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερηρεισμένα, ἀνακλώμενα οὕτω τὴν κατάτασιν ποιῆται τῶν δεσμῶν·

Ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ ἔσω ὀλίσθῃ καὶ ἐς τὸ ἔμπροσθεν· κλίμακα χρὴ κατορύξαντα ἐπικαθίσαι τὸν ἄνθρωπον, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι, ὅπου ἂν ἁρμόσῃ· ἐκ δὲ τοῦ σιναροῦ κεράμιον ὕδωρ ἐγχέαντα ἐκκρεμάσαι ἢ σπυρίδα λίθους ἐμβα-
316 λόντα. ἕτερος τρόπος ἐμβολῆς· ἢν ἐς τὸ ἔσω | ὀλίσθῃ, στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως· προεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος, ὁπόσον τὸ πυγαῖον· περιδήσας δὲ περὶ τὸ στῆ-

1 ξυμμ. codd. ἐντετ. MV 4 ποιέεσθαι B, -έειν MV ἀρκέει codd. 5 καὶ om. MV 7 τεταμένου V 9 ἀνακλ. om. MV ποιέηται B, -εῖται MV 11 εἴσω BMV, ἔσω $N^1$ ὀλισθήκη καὶ B, ὀλίσθῃ ἢ καὶ Ap., -σθῇ καὶ MV 12 ἐπικαθησαι B, περικαθίσαι Ap. 13 εἶτα Ap. κατατείνοντα Ap. 14 ὅκου MV ante κεράμ. add. ἐς MV, ἐσκερ. $B^1$, mut. in σκερ. $B^3$, ἐς om. Ap. 15 ἐγχέαντα Litt., ἐγ(ἐκ- V)χέαντας BMV, ἐγχέας Ap. η ει σπυριδα B ante σπυρ. add. ἐς MV, om. Ap. σφυρ. MAp., σφ̄υρ. (π supra φ) V 15. 16 ἐμβαλόντα Litt., ἐμβαλὼν BAp., ἐμβάλλοντας MV 16 ἔσω $N^1$, εἴσω rel. ὀλισθηκη B 18 σύμμετρον Ap. προεχ. Litt., προσεχέτω codd. στωτῆρος V κατο $B^1$, inde κατα το restit. $B^2$ ὁ νοσεον add. ante κατὰ B, post μέρος (19) MV, om. Ap. 19 μεροκοσον $B^1$, inde fecit μερος ὅσον $B^3$ ὁκ. MV ὅσον πυγωνα scripserat Ap. m. prima, πυγαιον (in ras. inde ab α litt.) m. rec. τὸ πυγμαῖον Pq. (cubitum Vidius, unde Foesius et Litt. coniecerant πηχναῖον)

*θος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθίσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προέχον τοῦ στρωτῆρος· εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινι· ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται· ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει, ὥσπερ καὶ πρόσθεν ἤδη εἴρηται.*

79. *Πρῶτον μὲν οὖν δεῖ εἰδέναι ὅτι πάντων τῶν ὀστέων αἱ συμβολαί εἰσιν ὡς ἐπὶ πολὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη· ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος· ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. αἰεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς παραχρῆμα ἔτι θερμῶν ἐόντων· εἰ δὲ μή, ὡς τάχιστα· καὶ γὰρ τῷ ἐμβάλλοντι ῥηίτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολὴ ἡ πρὶν διοιδεῖν ἐστιν. δεῖ δὲ αἰεὶ πάντα τὰ ἄρθρα, ὁπόταν μέλλῃς ἐμβαλεῖν, προαναμαλάξαι καὶ διακιγκλίσαι· ῥήιον γὰρ ἐθέλει | ἐμβάλλεσθαι.* 318
*παρὰ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς ἰσχναίνειν δεῖ τοὺς ἀνθρώπους, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι, ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥηίδια.*

80. *Δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον τι τῶν τῆς*

1 *ἐπικαθησαι* BAp. *τὸν ἄνθρ.* om. Ap. 2 *προσεχὲς* MV *προσβάλλειν* Ap. 3 *τύλον* V 4 *περισφάληται* B 5 *κρεμασαι* B *ἁρμοσῃ* B, *ἂν ἁρμόζῃ* MV *ὥσπερ οὖν* B, *ὡς* MV *ὥσπερ . . . εἴρ.* om. Ap. 6 *ἤδη* om. MV 7 *ὅτι τὰ ἄρθρα ἔτι θερμῶν ὄντων ἐμβάλλειν δεῖ* tit. in m. sup. et paullo infra *ἔν τισι τὸ περὶ ἄρθρων ἕως ὧδε ἦν* M 8 *ξυμβ.* codd. *πουλὺ* BMV, *πολὺ* vulg. 9. 10 *ὑπόμακρος* B 10 *χωρέων* om. V *ἀεὶ* codd. 11 *ἐμβαλειν* B 12 *ἐστι* BM 13 *ἐμβαλοντι* B 14 *ἐμβαλεει* B, *-λέειν* MV *πουλὺ* M 15 *ἢ πρ.* BMV, *ἡ* Litt. ex Par. H *διωδεῖν* BM *ἐστι* MV *ἀεὶ* codd. 16 *ὁκ.* codd. *ἐμβάλλειν* MV 16. 17 *προσαναμ.* B 17 *ῥήιον* scripsi, *ῥᾷον* codd. *ἐμβάλεσθαι* B 22 *δακτύλων ἐμβολή* tit. in m. inf. M

*χειρός, ἤν τε τὸ πρῶτον ἤν τε τὸ δεύτερον ἤν τε τὸ τρίτον, ωὑτὸς τρόπος τῆς ἐμβολῆς· χαλεπώτερα μέντοι αἰεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. ἐκπίπτει δὲ τέσσαρας τρόπους, ἢ ἄνω ἢ κάτω ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν, μάλιστα μὲν ἐς τὸ ἄνω, ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῷ σφόδρα κινεῖσθαι. ἑκατέρωθεν δὲ τῆς χώρης, οὗ ἐκβέβηκεν, ὥσπερ ἄμβη ἐστί. ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην ἢ ἐκ τῶν πλαγίων καὶ ἅμα σμικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μεταστῇ τὸ ἄρθρον, ῥηίδιόν ἐστιν ἐμβάλλειν. τρόπος δὲ τῆς ἐμβολῆς ὅδε· περιελίξαι τὸν δάκτυλον ἄκρον ἢ ἐπιδέσματί τινι ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινί, ὅπως, ὁπόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ ἀπολισθάνῃ· ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρός, τὸν δὲ τοῦ κατειλυμένου· ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἐς τὴν χώρην. ἢν δὲ ἐς τὰ πλάγια, τῆς μὲν κατατάσιος ωὑτὸς τρόπος· ὅταν δὲ δὴ δοκῇ σοι ὑπερβεβηκέναι τὴν ἄμβην, ἅμα χρὴ κατατείναντας ἀπῶσαι ἐς τὴν χώρην εὐθύς, ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ δακτύλου φυλάσσειν καὶ ἀνωθεῖν, ὅπως*

2 ὡυτὸς V μὲν pro μέντοι MV 3 ἀεὶ codd. κινέε. codd.
ἄμβη
4 ἡ ὀφρυωδης ἐπανάστασις tit. M 6 κινέε. codd. ἑκατερωθέν τε BV 7 ἐστίν V 9. 10 μικρῆς codd., scripsi σμ.
λ
11 ὧδε M 12 περιελίξαι V 13 ὅκ., ὁκ. codd. κατείνῃς B 14 περιελλίξῃς V 16 κατειλυμ. Wb., κατειλημμένου codd. κατω τείνειν B 18 post ἐξεστηκὸς add. ἄρθρον MV post πλάγια add. vulg. ἐκπέσῃ, om. BMV 19 ὡυτὸς BM, ὠυτὸς V δοκέῃ codd. 20 ἄμβην scripsi, γράμμην codd. κατατείναντα Erm. 22 μέρου B, μέρους MV, μέρεος Litt. ex Par. MN ἀνωθέειν codd. ὅκ. codd.

μὴ πάλιν ἐκεῖθεν ἀπολίσθῃ. ἐμβάλλουσι δὲ ἐπιεικέως | καὶ αἱ σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν 320 κατατείνῃς ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον, λαβόμενος τῇ μὲν ἑτέρῃ τῆς σαύρης, τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. ὁπόταν δὲ ἐμβάλῃς, ἐπιδεῖν δεῖ ὀθονίοισι ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ μήτε λίην μαλθακῇ μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ· ἡ μὲν γὰρ σκληρὴ ἀφέστηκεν ἀπὸ τοῦ δακτύλου· ἢν δὲ ὑγρὴ ᾖ, θερμαινομένου τοῦ δακτύλου διατήκεται καὶ ἀπόλλυται. λύειν δὲ ἄρθρον δακτύλου τριταῖον ἢ τεταρταῖον· τὸ δὲ ὅλον ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν· εἰ δὲ μή, ἀραιότερον. κατὰ πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω. καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκαταῖον. ὁ αὐτὸς δέ ἐστι τρόπος χειρὸς δακτύλων τε καὶ ποδὸς θεραπείης.

81. *Παρὰ* πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ ἰσχναίνειν καὶ λιμαγχονεῖν ἄχρι ἑβδόμης, καὶ εἰ μὲν φλεγμαίνοι, πυκνότερον λύειν, εἰ δὲ μή, ἀραιότερον· ἡσυχίην δὲ δεῖ ἔχειν αἰεὶ τὸ πονέον ἄρθρον καὶ ὡς κάλλιστα ἐσχηματισμένον κεῖσθαι.

82. *Γόνυ* δὲ εὐηθέστερον ἀγκῶνος διὰ τὴν εὐσταλίην καὶ τὴν εὐφυίην, διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει

1 ἀπολισθῇ BMV, -λίσθῃ N 2 αἱ post σαῦραι om. B 4 αὔρης MV 5 ὁκ. codd. ἐμβάλλῃς MV ὀθονίοισιν M²V 7 μαλθ. scripsi, μαλακῇ codd. ἀλλὰ . . . σκληρῇ (8) om. M, add. i. m. M² 9 ἔῃ codd. 10 λύει B 11 ὅτι ποτε δεῖ λύειν δακτύλου ἄρθρον tit. M 12 ἢν pro εἰ M 13. 14 πότε καθίσταται δακτύλου ἄρθρον tit. i. m. M 15 τε om. MV 17 λιμαγχονέειν codd. ἑβδόμης vulg., -μαίου BMVHE 19 ἀεὶ codd. 20 κάλιστα B κέε. codd. 21 περὶ γόνατος tit. i. m. B ὅτι εὐηθέστερον γόνυ ἀγκῶνος tit. in m. inf. M εὐανθέστερον MV γ. δὲ ἀγκ. εὐηθ. ἐστιν διὰ Ap. 22 τὴν om. Ap. καὶ ἐμπ. om. MV

ῥήιον· ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω καὶ
322 ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ | τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως ἢ συνελίξας ταινίης ὄγκον, ἐν τῇ ἰγνύῃ θείς, ἀμφὶ τοῦτον ἐξαίφνης ἐς ὄκλασιν ἀφιέναι τὸ σῶμα. δύναται δὲ καὶ κατατεινόμενον μετρίως ὥσπερ ἀγκὼν ἐμπίπτειν τὰ ὄπισθεν· τὰ δὲ ἔνθα καὶ ἔνθα ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι, ἀτὰρ καὶ ἐκ κατατάσιος μετρίης. ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν, συγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν· ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι, μινύθει δὲ τὰ ἔξω· ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον· κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχεῖ, μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν.

83. Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ τῇσι χερσὶν ἢ ἄλλοισι τοῖσι, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης· κοινὸν δὲ τοῦτο ἅπασιν.

84. Τὰ δὲ ἐν ποδὶ ὡς καὶ τὰ ἐν χειρὶ ὑγιᾶ. |

324 85. Τὰ δὲ τῆς κνήμης συγκοινωνέοντα καὶ μὴ

1 ῥηι. scripsi, ῥᾷ. codd. εἴσω BMV, εσωτε Ap. 2 ante ἐκ add. καὶ MV ξυγκ. V 3 ξυνελ. B, ξυνελλ. V ἰγνύῃ BVAp.M¹, mut. M² in ἰγνύι 4 τουτου τον BMVAp., τοῦτον vulg. 5 δύναται ... τοῖσι μὲν (9) om. Ap.; post σῶμα ap. Ap. sequitur μάλιστα αὕτη τῶν ὄπισθεν συγκάμπτειν κτλ. 6 ἐκπίπτειν B ἔνθα ἢ ἔ. MV 8 ἐκπέσῃ V 9 ξυγκ. BM 10 τοῖσι BM 11 τὰ om. BMV, τοὔμπ. vulg., τὰ ἔ. Ap. εἴσω BM βλεσωτ. M, ss. M² αι, βλεσσότ. V (ss. αι), βλεσωτ. Ap. 13 δὲ pro γὰρ BMV, γὰρ Ap., Mochl. 26 παχύτατον Ap. ὀχέει codd. 15 τῶν ἔμπροσθεν Ap. 16 ὅσοις κατὰ τὰ σφυρὰ i. m. sup. M, cf. infra c. 87 et π. ἀγμῶν c. 13 δέεται codd. 17 τοῖσι (= τισὶ velut π. ἀρχ. ἰητρ. c. 6 in.) BMVAp., τισί Dietz, Schoene διορθ. Ap. 18 ἅπασι V τουτων πᾶσιν Ap. 19 ὑγιές B, -έες MV vulg., del. Erm., scripsi ὑγιᾶ 20 ξυγκ. codd., ξυγκοινῶν ἐόντα V μὴ BMV, om. vulg.

*ἐμπεσόντα, ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταὐτὰ ἃ καὶ ἐν χειρί.*

86. *Ὁπόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐκχυμωθῆναι καὶ νεῦρα ἀμφιφλασθῆναι, ὁπόταν γένηται οἷα τὰ δεινά, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν· ῥοιώδεα μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. ἐπεὶ καὶ οἷσι ἂν μάλιστα καταγεῖσιν ἢ ὑπὸ τρώματος ἢ ἐν κνήμῃ ἢ ἐν μηρῷ ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνεῖ τούτων, ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελάνθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα ἐκ τῶν τοιούτων. ἔστιν ὅτε καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες, λυγμώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι καὶ ἔτι φλεβῶν αἱμορροιέων πελιώσιες. σημεῖα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα ⟨ᾖ⟩· ἤν τε σὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος μελανθῆ|ναι· ἢν δὲ ὑποπέλια ᾖ* 326
*ἢ καὶ πέλια μάλα καὶ ἐκκεχυμωμένα ἢ ὑπόχλωρα καὶ μαλθακά, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἴησις, ἢν μὲν ἀπύρετος ᾖ, ἐλλέβορον, εἰ δὲ μή, μή,*

1 *ἐκπεσ.* codd., *ἐμπ.* Mochl. 29 (MDFHIJ) *καὶ* ante *ἐν* om. V 2 *ταῦτα* BMV, *ταὐτὰ* IKL 3 *ὀπ.* EJ, *ὀκ.* cet., *ὀκόσοισι* B 5 *ὀκ.* codd. 7 *ῥοιώδη* codd. 8 *ὅσοι* pro *οἷσι* V *οἷσι(ν²)* M 9 *κατεηγεῖσι(ν* M²) BM, *κατεηγῆσιν* V, scripsi *καταγ.* cf. Mochl. c. 30 10 *ἀπολισθέντων* codd., *ἀπολυθ.* vulg. Litt. Erm. Pq. *κοινωνέει* codd. 12 post *παλιγκ.* add. *δ'* BV 13 *λυμώδεες* MV *λυγμωδεεσινωμης* B 14 *ἐμφλέβων* BMV, *ἔτι φλ.* vulg. 15 *πελιώσεσι* codd., *-ώσιες* vulg. *σημήϊα* MV, *-μηα* B, *-μεῖα* Mochl. 30 17 ⟨ᾖ⟩ restitui ex Mochl. c. 30 *ξὺν* BMV, *σὺν* K *σκληρύσμασι* BMV, *-ματι* vulg. Mochl. 36 18 *ᾖ* om. BM 19 *ἢ* om. V, *ᾖ ἢ* vulg. *μάλα πελιὰ* V *μαλακα και ἐ.* B *ἐκκεχυμωμένα* BV, *ἐκχυμώμενα* M vulg. 20 *μαλακὰ* codd., *μαλθ.* Mochl. 30 *τονούτοισι(ν²)* M 21 *ἔῃ* codd. *ἐλέβ.* V, *ἐλλέβορος* Erm.

ἀλλὰ ποτὸν ὀξύγλυκυ, εἰ δέοι. ἐπίδεσις δὲ ἄρθρων· πάντα, μᾶλλον τοῖσι φλάσμασιν, ἐπιδε⟨ῖν⟩ ὀθονίοισι πλείοσι καὶ μαλθακωτέροισι, πίεξις ἧσσων· προσπεριβάλλειν δὲ τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται· νάρθηξιν δὲ μὴ χρῆσθαι.

87. Οἷσι δ' ἂν ἐκβῇ ὁ πους ἢ αὐτὸς ἢ σὺν τῇ ἐπιφύσει, ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ ἔσω· ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον ἰσχίον καὶ μηρὸς καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ δὲ ἄλλη, ὥσπερ καρποῦ, κατάτασις δὲ ἰσχυρή. ἴησις δέ, νόμος ἄρθρων. παλιγκοτεῖ, ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσι. δίαιτα μείων, ἐλινύουσι. τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσει, κατὰ λόγον τῶν πρότερον.

1 ἀπὸ τῶν pro ποτὸν B 2 ἐπὶ δὲ codd. ἐπίδεσις, ἐπιδέειν μὲν πάντα, μᾶλλον δ' ἐφ' οἷσι φλάσματα de suo Erm. θλάσμ. BMV, φλ. vulg. Mochl. 30 ὀθονίοισιν M 3 ἧσσον MV πάντα μᾶλλον deleri vult. Wb. 4 ὥσπερ Erm., οἵηπερ Wb. 5 νάρθηξι MV 6 χρέε. codd. 7 οἷς ἂν ἐκβῆι ὁ πούς tit. in calce M ἔβη B ξὺν codd. 8 ἐκπίπτειν V εἰς BM εἴσω BMV, ἔσω mut. in εἴσω N 10 ἄλλη del. Erm. 12 παλιγκοτέει codd. 13 ἐλλινύουσι V 14 τω B, τὸν MV, τῶν Erm.

# ΜΟΧΛΙΚΟΝ.

1. Ὀστέων φύσις· δακτύλων μὲν ἁπλᾶ καὶ ὀστέα IV 340 L
καὶ ἄρθρα, χειρὸς δὲ καὶ ποδὸς πολλά, ἄλλα ἀλλοίως συνηρθρωμένα· μέγιστα δὲ τὰ ἀνωτάτω. πτέρνης δὲ ἕν, οἷον ἔξωθεν φαίνεται· πρὸς δὲ αὐτὴν οἱ ὀπίσθιοι τένοντες τείνουσι. κνήμης δὲ δύο ἄνωθεν καὶ κάτωθεν συνεχόμενα, κατὰ μέσον δὲ διέχοντα σμικρόν· τὸ ἔξωθεν κατὰ τὸν σμικρὸν δάκτυλον λεπτότερον βραχεῖ, πλεῖστον δὲ ταύτῃ διεχούσῃ καὶ σμικροτέρῃ ῥοπῇ κατὰ γόνυ, καὶ ὁ τένων ἐξ αὐτοῦ πέφυκεν, ὁ παρὰ τὴν ἰγνύην ἔξω. ἔχουσι δὲ κάτωθεν κοινὴν ἐπίφυσιν, πρὸς ᾗ ὁ ποὺς κινεῖται· ἄλλην δ' ἄνωθεν ἔχουσιν ἐπίφυσιν, ἐν ᾗ τὸ τοῦ μηροῦ ἄρθρον κινεῖται, ἁπλόον καὶ εὐσταλὲς ὡς ἐπὶ μήκει· εἶδος κονδυλῶδες, ἔχον ἐπιμυλίδα· αὐτὸς δ' ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν· ἡ δὲ κεφαλὴ ἐπίφυσίς ἐστι στρογγύλη, ἐξ ἧς τὸ νεῦρον τὸ ἐν τῇ κοτύλῃ τοῦ ἰσχίου πέφυκεν· ὑποπλάγιον δὲ καὶ τοῦτο προσήρτηται, ἧσσον δὲ βραχίονος. τὸ δ' ἰσχίον προσίσχεται πρὸς τῷ μεγάλῳ σφονδύλῳ τὸ παρὰ τὸ ἱερὸν

1 Cap. 1 hinc seiungunt et ad libellum de natura ossium referunt Lind. Erm. 2 πουλλὰ M 3 ξυνηρθρ. M, σ. cet. τὰ HJ, τῷ M 4 ἐνοῖον M ἔξωθεν M, ἔξω cet. 6 ξυνεχ. codd. 8 πλεῖστον δὲ (scl. λεπτόν) ταύτῃ, ⟨ᾗ⟩ διέχουσι, ⟨ᾗ⟩ καὶ σμικροτέρῃ ἡ ῥοπή, κ. γ. Wb. μικροτ. M 11 ᾗ M, ἣν vulg. κινέε. bis codd. 12. 13 εὐσταλὲς ὡς Litt., εὐσταλέως M vulg. cf. π. ἀγμ. p. 101, 16 13 ἐπιμυ-$^{ι}$λήδα M 17 προσέχετε$^{αι}$ M 18 σφονδ. ubique M, σπ. cet.

ὀστέον χονδρονευρώδει δεσμῷ. ῥάχις δὲ ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου μέχρι τοῦ μεγάλου σφονδύλου κυφή· |
342 κύστις τε καὶ γονὴ καὶ ἀρχοῦ τὸ ἐγκεκλιμένον ἐν τούτῳ. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν ἦλθεν ἡ ἰθύλορδος καὶ αἱ ψόαι κατὰ τοῦτο, ἐντεῦθεν δὲ ἄχρι τοῦ μεγάλου σφονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφής· ἔτι δὲ μᾶλλον δοκεῖ ἢ ἔστιν· αἱ γὰρ ὄπισθεν τῶν σφονδύλων ἀποφύσιες ταύτῃ ὑψηλόταται· τὸ δὲ τοῦ αὐχένος ἄρθρον λορδόν. σφόνδυλοι δὲ ἔσωθεν ἄρτιοι πρὸς ἀλλήλους, ἀπὸ δὲ τῶν ἔξωθεν χόνδρων νεύρῳ συνεχόμενοι· ἡ δὲ συνάρθρωσις αὐτῶν ἐν τῷ ὄπισθεν τοῦ νωτιαίου· ὄπισθεν δὲ ἔχουσιν ἔκφυσιν ὀξεῖαν ἔχουσαν ἐπίφυσιν χονδρώδεα· ἔνθεν νεύρων ἀπόφυσις καταφερής, ὥσπερ καὶ οἱ μύες παραπεφύκασιν ἀπὸ αὐχένος ἐς ὀσφῦν, πληροῦντες δὲ πλευρέων καὶ ἀκάνθης τὸ μέσον. πλευραὶ δὲ κατὰ τὰς διαφύσιας τῶν σφονδύλων νευρίῳ προσπεφύκασιν ἀπ᾽ αὐχένος ἐς ὀσφῦν ἔσωθεν, ἐπίπροσθεν δὲ κατὰ τὸ στῆθος χαῦνον καὶ μαλθακὸν τὸ ἄκρον ἔχουσαι· εἶδος ῥαιβοειδέστατον τῶν ζῴων· στενότατος γὰρ ταύτῃ ἄνθρωπος ἐπ᾽ ὄγκον. ᾗ δὲ μὴ πλευραί εἰσιν, ἔκφυσις πλαγίη βραχεῖα καὶ πλατεῖα, ἐφ᾽ ἑκάστῳ σφονδύλῳ νευρίῳ προσπεφύκασι. στῆθος

2 *κύφη* M 3 *καὶ* ante *κύστις* add. Erm. 4 *ἦλθε ἰθύλ.* Erm. 5 *ψῶαι* M 6 *ἰθύκυφος* K Erm. 7 *δοκέει* codd. 10 *χόνδρων* del. Erm. *νεύρων* M, *νεύρῳ* N Litt. 10. 11 *ξυνεχ.* M, *σ.* cet. codd. 11 *ξυναρθρ.* codd. 12 *δ᾽* M *ὀξείην* codd., corr. Erm. 14 *μῦες* M *ἀπ᾽* M 15 *ὀσφύν* et hic et 17 MDJ, *ὀσφῦν* cet. codd. vulg. *πληρεῦντες* codd. ,corr. Chart. 16. 17 *τῶν σπονδύλων* DHLU, Foës. in not. Litt., *τῷ σπ(φ M)ονδύλῳ* M vulg. 19 *ῥομβοειδ.* codd., *ῥαιβ.* v. *π. ἀρθ. ἐμβ.* p. 172 20 *στενότατον* M *ὁ ἄνθρ.* vulg., articul. om. MHK *ὄγκον* DHK Litt., *ὄγκων* M vulg. 21 *ᾗ δὲ δὴ πλευρῇσιν* Litt. e coniectura pro *ᾗ . . . εἰσιν* *βραχείη* codd. *καὶ πλατ.* om. in textu, *γρ. καὶ πλατείη* i. m. ab ead. m. M, *καὶ πλατείη* cet.

*δὲ συνεχὲς αὐτὸ ἑωυτῷ, διαφύσιας ἔχον πλαγίας, ᾗ πλευ-
ραὶ προσήρτηνται, χαῦνον δὲ καὶ χονδρῶδες. κληῖδες |
δὲ περιφερέες ἐς τοὔμπροσθεν, ἔχουσαι πρὸς μὲν τὸ* 344
*στῆθος βραχείας κινήσιας, πρὸς δὲ τὸ ἀκρώμιον συχνο-
τέρας. ἀκρώμιον δὲ ἐξ ὠμοπλατέων πέφυκεν ἀνομοίως
τοῖσι πλείστοισιν. ὠμοπλάτη δὲ χονδρώδης τὸ πρὸς
ῥάχιν, τὸ δ' ἄλλο χαύνη, τὸ ἀνώμαλον ἔξω ἔχουσα,
αὐχένα δὲ καὶ κοτύλην ἔχουσα χονδρώδεα, ἐξ ἧς αἱ
πλευραὶ κίνησιν ἔχουσιν, εὐαπόλυτος ἐοῦσα ὀστέων,
πλὴν βραχίονος. τοῦτου δὲ ἐκ τῆς κοτύλης νευρίῳ ἡ
κεφαλὴ ἐξήρτηται, χόνδρου χαύνου περιφερέα ἐπίφυσιν
ἔχουσα· αὐτὸς δ' ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν πλάγιος,
οὐκ ὀρθὸς πρὸς κοτύλην· τὸ δὲ πρὸς ἀγκῶνα αὐτοῦ,
πλατὺ καὶ κονδυλῶδες καὶ βαλβιδῶδες καὶ στερεόν,
ἔγκοιλον ὄπισθεν, ἐν ᾧ ἡ κορώνη ἡ ἐκ τοῦ πήχεος,
ὅταν ἐκταθῇ ἡ χείρ, ἔνεστιν· ἐς τοῦτο καὶ τὸ ναρκῶδες
νεῦρον τὸ ἐκ τῆς διαφύσιος τῶν τοῦ πήχεος ὀστέων
ἐκ μέσων ἐκπέφυκε καὶ περαίνεται.*

2. *Ῥὶς δὲ καταγεῖσα ἀναπλάσσεσθαι οἵη τε αὐθωρόν·
τοῦτο κοινόν· κὴν | μὲν οὖν ὁ χόνδρος, ἐντιθέναι ἄχνην* 346
*ὀθονίου ἐναποδέοντα λοπῷ Καρχηδονίῳ ἢ ἄλλῳ, ὃ μὴ
ἐρεθιεῖ· τῷ λοπῷ δὲ τάς παραλλάξιας παρακολλᾶν καὶ
ἀναλαμβάνειν· ταῦτα δὲ ἐπίδεσις κακοποιεῖ. ἴησις ἄλλη·*

1 *ξυνεχ.* codd. 6 *πλείστοισι* M *χονδρῶδες* codd., *-ώδης* Lind., Litt. 9 *ἔχουσι* M 10 *δ'* M 11 *περιφερια* M, *-φερῆ* rel. 12 *ἐγκ. ἔξω καὶ ἔμπροσθεν, πλάγιος, κτλ.* Litt. 13 *ὀρθῶς* M 14 *βαλβιτῶδες* codd., corr. Litt. 15 *ἔγκυλον* M *πήχεως* M ut solet 17 *τὸ* M, *ὃ* cet. 19 *ἀναπλάσσεται* J Litt. *οἵη τε* vulg., *οἱ τε* M, ⟨*εἰ*⟩ *οἷον* (*οἷον* rec.) *τε* Litt. *αὐθηρόν* M 20 *τοῦτο κοινόν* M, om. cet. *ἐντίθεται* M vulg., *-τιθέναι* Litt., *-τίθεσθαι*, quod Foes. proposuit, uncis inclusum Pq. 21 *ἐν ἄλλῳ* vulg., *ἐν* om. M 23 *καταποιέει* vulg., *γρ. καὶ κακοποιέει* M i. m., *κακὰ ποιέει* Litt. e coniectura 23 — p. 248, 1 *ἰ. ἄλλη· ἅμα δὲ τῷ ξυμβαλεῖν ἢ*

*<ἀλή>τῳ σὺν μάννῃ ἢ θείῳ σὺν κηρωτῇ· αὐτίκα ἀναπλάσεις· ἔπειτα ἀνακωχεῖν τοῖσι δακτύλοισι ἐσματευόμενον καὶ παραστρέφοντα· καὶ τὸ Καρχηδόνιον· πωροῖτο δ' ἄν, καὶ ἢν ἕλκος ἐνῇ· καὶ ἢν ὀστέα ἀπιέναι μέλλῃ — οὐ γὰρ παλιγκοτώτατα —, οὕτω ποιητέα.*

3. *Οὖς καταγὲν μὴ ἐπιδεῖν μηδὲ καταπλάσσειν· ἢν δέ τι δέῃ, ὡς κουφότατον ἡ κηρωτή· καὶ θείῳ κατακολλᾶν. ὧν δὲ ἔμπυα, διὰ παχέος εὑρίσκεται· πάντα δὲ τὰ ὑπόμυξα καὶ τὰ ὑγρῇ σαρκὶ πλήρεα ἐξαπατᾷ· οὐ μὴ βλαβῇ στομωθὲν τὸ τοιοῦτο· ἐστὶ γὰρ ἄσαρκα καὶ ὑδατώδεα, μύξης πλέα· ὅπου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι, παρεῖται. ὤτων καῦσις πέρην τάχιστα ὑγιάζει· κυλλὸν δὲ καὶ μεῖον γίνεται τὸ οὖς, ἢν πέρην καυθῇ. ἢν δὲ στομωθῇ, κούφῳ ἐναίμῳ δεήσει χρῆσθαι.* |

348 4. *Γνάθοι δὲ κατασπῶνται μὲν πολλάκις καὶ καθίστανται, ἐκπίπτουσι δὲ ὀλιγάκις, μάλιστα μὲν χασμωμένοισιν· οὐ γὰρ ἐκπίπτει, εἰ μή τις χανὼν μέγα παραγάγοι· ἐκπίπτει δὲ μᾶλλον, ὅτι τὰ νεῦρα ἐν πλαγίῳ καὶ λελυγισμένα συνδιδοῖ. σημεῖα· προέχει ἡ κάτω γνάθος καὶ παρέστραπται τἀναντία τοῦ ἐκπτώματος, συμβάλλειν οὐ δύνανται· ἢν δ' ἀμφότεραι, προΐσχουσι*

*θ. ξ. κ.* vulg., *ἰ. ἀλλὴ· τῷ ξυμμανῇ ἢ θ. ξυν κ.* M *ἀλήτῳ ξ. μ.* pro *ἄλλη τῷ σ. μ.* Litt. (cf. p. 156, 14), *ἰ. ἄ.· ἅμα δὲ τῷ ξυμβ., ξὺν μ.* Pq.
1. 2 *ἀναπλάσεις* M Litt., *-πλάσσειν* vulg. 2 *ἀνακωχεῖν* (cf. p. 159, 13) scripsi, *-κωχήσεις* M Litt., *-κογχίζειν* vulg. *ἐσματευόμ.* scripsi, *ἐσμαντευόμ.* M, *ἐσματτευόμ.* cet. *ἐσματτευόμενος κ. παραστρέφων* Litt. 6 *κατεαγὲν* codd. 7 *κουφ.* H[2] Merc. Lind., *κυφ.* M vulg. 8 *δ'* M post *ἔμπ.* add. *τὰ ὦτα* vulg., om. M 9 *τὰ ὑγρίῃ* M *τῇ* pro *τὰ* vulg. *ἐξαπαταίου* vulg. *ἐξαπατᾷ· οὐ* Litt. 10 *βλάβη γένηται* vulg., *γέν.* om. M 11 *ἔντα* pro *ἐόντα* M 12 *παρεῖται* M, *παρεθέντα* vulg. 17. 18 *χασμωμένοισι* M 18 *εἰ* M, *ἢν* vulg. 19. *παραγάγοι* M, *-ανάγοι* vulg. *πλάγῳ* M 20 *προέχει* M, *παρέχει* vulg. 22 *ξυμβάλλειν* codd. *προίσχουσι* M, *προ(σvulg.)ίσχωσι* rel. codd. et vulg.

μᾶλλον, συμβάλλουσιν ἧσσον, ἀστραβέες· δηλοῖ δὲ τὰ ὅρια τῶν ὀδόντων τὰ ἄνω τοῖσι κάτω κατ' ἴξιν. ἢν οὖν ἀμφότεραι ἐκπεσοῦσαι μὴ αὐτίκα ἐμπέσωσι, θνήσκουσι δεκαταῖοι οὗτοι μάλιστα πυρετῷ συνεχεῖ νωθρῇ τε καρώσει· οἱ γὰρ μύες οὗτοι τοιοῦτοι· γαστὴρ ἐπιταράσσεται, ὀλίγα ἄκρητα, καὶ ἢν ἐμέωσιν, τοιαῦτα ἐμέουσιν. ἡ δ' ἑτέρη ἀσινεστέρη. ἐμβολὴ δὲ ἡ αὐτὴ ἀμφοτέρων· κατακειμένου ἢ καθημένου τῆς κεφαλῆς ἐχόμενον περιλαβόντα τὰς γνάθους ἀμφοτέρας ἀμφοτέρῃσι χερσὶν ἔσωθεν καὶ ἔξωθεν, τρία ἅμα ποιῆσαι· ὦσαι ἐς ὀρθὸν καὶ ἐς τοὐπίσω καὶ συσχεῖν τὸ στόμα. ἴησις· μαλάγμασι καὶ σχήμασι καὶ ἀναλήψει γενείου· ποιοῦσι ταὐτὰ τῇ ἐμβολῇ.

5. Ὦμος δὲ ἐκπίπτει κάτω· ἄλλῃ δὲ οὔπω ἤκουσα· δοκεῖ μὲν γὰρ ἐς τοὔμπροσθεν ἐκπίπτειν, ὧν αἱ σάρκες αἱ περὶ τὸ ἄρθρον μεμινυθήκασι διὰ τὴν φθίσιν, οἷον καὶ βουσὶ χειμῶνος φαίνεται διὰ | λεπτότητα. 350
καὶ ἐκπίπτει μᾶλλον τοῖσι [δὲ] λεπτοῖσιν ἢ ἰσχνοῖσιν ἢ ξηροῖσι καὶ τοῖς ὑγράσματα περὶ τὰ ἄρθρα ἔχουσιν ἄνευ φλεγμονῆς· αὕτη γὰρ συνδεῖ. οἱ δὲ καὶ βουσὶν ἐμβάλλοντες καὶ ἀποπερονῶντες ἐξαμαρτάνουσι καὶ ὅτι διὰ τὴν χρῆσιν ὡς χρῆται βοῦς σκέλει λήθει, καὶ ὅτι κοινὸν καὶ ἀνθρώπῳ οὕτως ἔχοντι τὸ σχῆμα τοῦτο· τό τε Ὁμήρειον καὶ διότι λεπτότατοι βόες τηνικαῦτα.

2 κάτηξιν M  3 ἐκπέσωσιν M  4 ξεχεῖ M  5 τε om. M  6 ἐμέωσι vulg., -ν M  τὰ τ. vulg., τὰ om. M  8 post καθημ. add. τοῦ ἀνθρώπου vulg., om. M  10 χερσὶ M  τρίαμμα codd., τρία ἅμα Foes in notis  11 στόμα M, σῶμα vulg.  13 ταῦτα vulg., τὰ αὐτὰ Litt.  15 δοκέει codd.  16 φύσιν codd., φθ. Litt. conferens π. ἄρθ. ἐμβ. c. 1  17 ante βουσὶ add. τοῖσι vulg., om. M  18 δὲ ipse uncis inclusi  λεπτοῖσι M  19 τοῖς ὑ. M, τοῖσιν ὑ. cet.  20 αὕτη KU, αὐτὴ M rel.  συνδίοιδε· καὶ β. codd., corr. Litt.  24 ὁμήρειον DFHIJKU, ὁμήριον M

*ὅσα τε τὸν πῆχυν πλάγιον ἀπὸ πλευρέων ἄραντες δρῶσιν, οὐ πάνυ δύνανται δρᾶν, οἷσιν ἂν μὴ ἐμπέσῃ· οἷσι μὲν οὖν ἐκπίπτει μάλιστα καὶ ὡς ἔχουσιν, εἴρηται· οἷσι δ' ἐκ γενεῆς, τὰ ἐγγύτατα μᾶλλον βραχύνεται ὀστέα, οἷον ἐν τούτῳ οἱ γαλιάγκωνες· πῆχυς δὲ ἧσσον, χεὶρ δὲ ἔτι ἧσσον, τὰ δ' ἄνωθεν οὐδέν· καὶ ἀσαρκότατα ἐγγύς· μινύθει δὲ μάλιστα τὰ ἐναντία τῶν ὀλισθημάτων καὶ τὰ ἐν αὐξήσει, ἧσσον δέ τινι τῶν ἐκ γενεῆς. καὶ τὰ παραπνήματα τὰ κατ' ἄρθρον βαθέα νεογενέσι μάλιστα παρ' ὦμον γίνεται καὶ τούτοισιν ὥσπερ τὰ ἐξαρθρήσαντα ποιεῖ. ἢν δ' ηὐξημένοισι, τὰ μὲν ὀστέα οὐ μειοῦται· οὐδὲ γὰρ ἔχει ᾗ ἄλλα οὐ συναύξεται ὁμοίως, αἱ δὲ μινυθήσιες τῶν σαρκῶν· τοῦτο γὰρ* 352 *καθ' ἡμέρην καὶ αὔξεται καὶ | μειοῦται καὶ καθ' ἡλικίας. καὶ ἃ δύναται σχήματα καὶ ἃ σημαίνει τὸ παρὰ τὸ ἀκρώμιον κατεσπασμένον καὶ κοῖλον, διότι ὅταν τὸ, ἀκρώμιον ἀποσπασθῇ καὶ κοῖλον ᾖ, οἴονται τὸν βραχίονα ἐκπεπτωκέναι· κεφαλὴ δὲ τοῦ βραχίονος ἐν τῇ μασχάλῃ φαίνεται· αἴρειν οὐ δύνανται οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως· ὁ ἕτερος ὦμος μηνύει. ἐμβολαί· αὐτὸς μὲν τὴν πυγμὴν ὑπὸ μασχάλην ὑποθεὶς τὴν κεφαλὴν ἀνωθεῖν, τὴν δὲ χεῖρα ἐπιπαράγειν ἐπὶ τὸ στῆθος. ἄλλη· ἐς τοὐπίσω περιαναγκάσαι ὡς ἀμφισφαλῆ. ἄλλη·*

4 *δ'* M, *δὲ* cet. 5 pro *ἐν τούτῳ* malim *ἐκ τούτου* 6 *οὐθ' ἓν* M, *οὐδὲν* vulg. 8 *ἐγγενὴς* M 9 *παρὰ ποιηματα* M 10 *τουτέοισιν* codd. 11 *ποιέει* codd. *δ'* M, *δὲ* rel. 12 *οἱ* MH, *οἷ* vulg., *ᾗ* Litt. *οὐ* M, *οὗ* vulg. *συν.* J, *ξ.* cet. 15 *δύναται* FHIJK Foes in notis Litt., *δύνανται* M vulg. *καὶ αὖ σημεῖον* M in textu, vulg., *γρ. καὶ ἃ σημεῖαι* i. m. M 19 post *αἴρειν* add. *γὰρ* vulg., om. M 20 *ἔνθα ἢ ἔ.* M post *ἐμβολαὶ* add. *δὲ* vulg., om. M 22 *ἀνωθέειν* codd. 23 *ἄλλη·* Litt., *ἄλλ' ἡ* vulg. *ἄλλη* Litt., *ἀλλ' ἡ* M, *ἀλλ' ἢ* cet. codd.

*κεφαλῇ μὲν πρὸς ἀκρώμιον, χερσὶ δὲ ὑπὸ μασχάλην, κεφαλὴν ἀπάγειν βραχίονος, γούνασι δὲ ἀγκῶνα ἀπωθεῖν ἢ ἀντὶ τῶν γουνάτων ἕτερον τὸν ἀγκῶνα παράγειν, ὡς τὸ πρότερον, ἢ κατ' ὤμου ἵζεσθαι, ὑποθεὶς τῇ μασχάλῃ τὸν ὦμον, ἢ τῇ πτέρνῃ ἐνθέντα ἐκπληρώματα τῇ μασχάλῃ δεξιῇ δεξιὸν ἢ περὶ ὕπερον ἢ περὶ κλιμακτῆρα ἢ περίοδος σὺν τῷ ξύλῳ τῷ ὑπὸ χεῖρα τεινομένῳ. ἴησις· τὸ σχῆμα, πρὸς πλευρῆσι βραχίων, χεὶρ ἄκρη ἄνω, ὦμος ἄνω· οὕτως ἐπίδεσις, ἀνάληψις. ἢν δὲ μὴ ἐμπέσῃ, ἀκρώμιον προσλεπτύνεται.*

6. *Ἀκρώμιον ἀποσπασθέν· τὸ μὲν εἶδος φαίνεται οἷόν περ ὤμου ἐκπεσόντος, στερίσκεται δ' οὐδενός, ἐς δὲ τὸ αὐτὸ οὐ καθίσταται. σχῆμα τὸ αὐτὸ ὃ καὶ ἐκπεσόντι ἐν ἐπιδέσει καὶ ἀναλήψει· ἐπιδέσιος καὶ ὡς νόμος.*

7. *Ἀγκῶνος ἄρθρον παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν ἢ ἔξω μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος ἐς ἰθὺ κατατείνοντα τὰ ἐξέχοντα ἀνωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον.*

8. *Τὰ δὲ τελέως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα· κατάτασις μέν, ἐν ᾗ | ὁ βραχίων ἐπιδεῖται· οὕτω γὰρ τὸ* 354
*καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρέων μέρος. τὰς δὲ κατορθώσιας,*

1 *κεφαλὴ* M ante *ἀκρωμ.* add. *τὸ* vulg., om. codd. 2 *ἀπάγειν* H al. m. M Litt., *ὑπάγ.* cet. 2. 3 *ἀπωθέειν* codd. 3 *ἕ. τ. ἀγκ.* M, *τ. ἄγκ. τ. ἕ.* cet. 4 *κατωμίζεσθαι* (cf. *ἄρθ. ἐμβ.* c. 4) suspic. Foes. in notis 5 *ἔνθεν τὰ ἐ.* codd., *ἐνθέντα τὰ ἐ.* Foes. 7 *ξὺν* codd. 8 *πλευρίῃσι* vulg., corr. Litt. 9 *ἀνάληψις* Parr. MN Litt., *ἀνάληξις* M vulg. 13 *ὃ* M, *ᾧ* cet. 14 *καὶ ὡς* om. in textu, *γρ. καὶ ὡς νόμος* i. m. M 16 c. 7—18 repetita ex libri *π. ἄρθρων ἐμβ.* c. 17—29 18 *ἀνωθέειν* codd. 20. 21 *κατάτασις* DFHIKU, *κατάστ.* M vulg. 23 *ἐς τὸ* MH, *ἐκ τοῦ* rel. codd. *πλευρέων* M, *πλεύρεα* vulg. Pq., *ε* corr. ex *ι* U, *πλευρία* Litt.

*ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύσῃ τῆς κορώνης ἡ κεφαλή, μετέωρον περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι, ἅμα δὲ ὠθεῖν τἀναντία ἐφ' ἑκάτερα καὶ παρωθεῖν ἐς χώρην. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισιν, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἴησις δέ, σχήματος μέν· ὀλίγῳ ἀνωτέρω ἄκρην χεῖρα ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ πλευράς· οὕτω δὲ καὶ ἀνάληψις ⟨καὶ θέσις⟩ εὔφορον καὶ φύσις καὶ χρῆσις ἐν τῷ κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ· πωροῦται δὲ ταχέως. ἴησις ὀθονίοσι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν.*

9. *Παλιγκοτώτατον δὲ ἀγκὼν πυρετοῖσιν, ὀδύνῃ ἀσώδει, ἀκρητοχόλῳ· ἀγκῶνος δὲ μάλιστα ὀπίσω διὰ τὸ ναρκῶδες, δεύτερον τὸ ἔμπροσθεν. ἴησις δ' ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω, ἐκτείνοντα κατατεῖναι· σημεῖον δέ, οὐ γὰρ δύνανται ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται συγκάμπτειν. τούτῳ δ' ἐνθέντα τι σκληρὸν συνειλιγμένον, περὶ τοῦτο συγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης.*

10. *Διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι.* |

356 11. *Ταῦτα δὲ ταχέως διαπωροῦται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω ὀστέα τοῦ σίνεος, πλεῖστον τὰ*

2 post *μετέωρ.* add. *δὲ* vulg., om. M 3 *ὠθέειν* codd. *ἑκάτερον* M 4 *παρωθέ* M, *-θέειν* cet. codd. 4. 5 *ἐπιστρέψας* codd., corr. Cornarius 6 *ἴησις* M, *ἐμβολὴ* cet. *ὀλίγῳ* B *π. ἄρθ. ἐμβ.* c. 18 et Pq., *ὀλίγον* codd. 8 ante *πλευράς* add. *τὰς* vulg., om. M *καὶ θέσις* addidi ex libro *π. ἄρθ. ἐμβ.* c. 18 12 *πυρετοῖσιν* M, *-σι* cet. 14 *δ'* M, om. cet. 17 *ξυγκάμ.* bis codd. *δ'* M, *δὲ* cet. 18 *συνειλεγμ.* codd. *συνειλιγμ.* Ap. in c. 19 libri *π. ἄρθρων ἐμβ.* 21 ante *βραχ.* add. *τὸν* vulg., om. M, cf. *π. ἄρθ. ἐμβ.* c. 20 21 *διαψαύοντι*, *ψ.* in raso l., M 23 *πλείστωι* M

ἐγγύτατα πήχεος, δεύτερον χειρός, τρίτον δακτύλων. βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροφήν· ἡ δ' ἑτέρη χεὶρ διὰ τὰ ἔργα πλείω ἔτι ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσω· εἰ δὲ μή, ἐς τοὐναντίον ⟨ἢ⟩ ᾗ ἐξέπεσεν.

12. Ἀγκὼν δὲ ἢν μὲν ἔσω ἢ ἔξω ἐκβῇ, κατάτασις μὲν ἐν σχήματι ἐγγωνίῳ τῷ πήχει [κοινῷ] πρὸς βραχίονα· καὶ μασχάλην μὲν ἀναλαβὼν ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποθείς τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάσαι. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖσι θέναρσιν ὡς τὰ ἐν χερσίν. ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις.

13. Τὰ δ' ὄπισθεν ἐξαίφνης ἐκτείνοντα διορθοῦν τοῖσι θέναρσιν ἅμα [δὲ] δεῖ ἐν τῇ διορθώσει καὶ τοῖσιν ἑτέροισιν. ἢν δὲ πρόσθεν, ἀμφὶ ὀθόνιον συνειλιγμένον εὔογκον συγκάμπτοντα ἅμα διορθοῦσθαι.

14. Ἢν δ' ἑτεροκλινὲς ᾖ, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα χρὴ ποιεῖν· τῆς δὲ μελέτης κοινὸν καὶ τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται δὲ καὶ ἐκ τῆς διατάσιος κοινῇ συμπίπτειν πάντα. |

15. Τῶν δ' ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος 358
ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος·

1 ante ἐγγ. add. δ' vulg., om. π. ἄρθ. ἐμβ. c. 21 δάκτυλον M 4 εἴσω codd. 5 ἢ addidi, cf. π. ἄρθ. ἐμβ. c. 21 6 ἔσω ἢ ἔξω M, ἔξω ἢ ἔσω vulg. κατάτ. H et π. ἀρθ. ἐ. c. 22, κατάστ. vulg. 7 κοινῷ τ. πήχει Litt. Pq. κοινῷ del. Wb. 8 καὶ μ. μὲν M, τὴν γὰρ μ. (μὲν om.) vulg. τινι pro ταινίῃ M ἀνακρεμμ. et ἐκκρεμμ. M 9 τι om. M παρὰ δὲ τὸ ἀ. M 10 ἢ in raso l. M 15 θέναρσι M [δὲ] cf. p. 144, 2 16 συνειλεγμ. codd., corr. Pq., cf. supra c. 9 et π. ἀγμ. c. 42 17 ξυγκ. codd. 18 ἑτεροκαινὲς M 19 ποιέειν codd. καὶ MDFHIJKU (cf. π. ἄρθ. ἐμβ. c. 24) Pq., om. cet. 20 δὲ καὶ M, γὰρ cet., cf. π. ἄρθ. ἐμβ. c. 24 20. 21 διαστάσιος M 21 ξυμπ.

*αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει.*

16. *Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα δ' εὔσημα· ἢν μὲν ἔσω, συγκάμπτειν τοὺς δακτύλους οὐ δύνανται, ἢν δ' ἔξω, ἐκτείνειν. ἐμβολὴ δέ· ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων τοὺς μὲν τείνειν, τοὺς δ' ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι ἢ πτέρνῃ ἅμα ἀπωθεῖν πρόσω καὶ κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλθακὸν ὑποθείς, κἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίοις.*

17. *Ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει ἢ ἔσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα· μάλιστα δὲ ἔσω· ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη· ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη, καὶ τὸ μὲν ἐξέχον ἀπωθεῖν, τὸ δ' ἕτερον ἀντωθεῖν, δύο εἴδεα ἅμα καὶ ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον, ἢ χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ. παλίγκοτα δὲ καὶ ἀσχήμονα, τῷ χρόνῳ δὲ κρατύνεται ἐς χρῆσιν. ἴησις ὀθονίοισι σὺν τῇ χειρὶ καὶ τῷ πήχει, καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι· ἐν νάρθηξι δὲ τεθέντα ταῦτα πυκνότερον λύειν ἢ τὰ κατήγματα καὶ καταχύσει πλέονι χρῆσθαι.*

18. *Ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται, καὶ ἡ μινύθησις σαρκῶν μάλιστα τὰ ἐναντία ἢ ᾗ τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.* |

4 post *πλεῖστα* add. *μεν* M 4. 5 *ξυγκ.* codd. post *συγκ.* vulg. add. *ὅλως σφῶν*, om. M (cf. *π. ἄρθ. ἐμβ.* c. 26) 8 *ἀπωθέειν* codd. 9 post *ὄγκον* add. *τε* vulg., om. M 10 *ὀθονίοις* M, *-νίοισι* vel *-νίῃσι* cet. 11. 12 *ἔνθα ἢ ἔ.* post *ἔξω* M sicut *π. ἄρθ. ἐμβ.* c. 27, post *μάλ. δὲ ἔσω* rel. 14 *τουτέοις* M, *-τέοισι* rel. 15 *ἀπωθέειν . . . ἀντωθέειν* codd. 18 *ξὺν* codd. 21 *τὰ* ante *κατηγμ.* ss. M[1] 23 *τὰ ἐν.* M, *τἀν.* rel. *ἢ ὡς τὸ ἔ.* codd. et edd., scripsi *ᾗ* cf. *π. ἄρθ. ἐμβ.* c. 28 24 *τὰ* DLitt. (ut *π. ἄρθ. ἐμβ.* c. 28), om. M

19. *Δακτύλου δὲ ἄρθρον ὀλισθὸν μὲν εὔσημον* [*οὐ δεῖ γράφειν*]. *ἐμβολὴ δέ· κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθεῖν, τὸ δ' ἐναντίον ἀντωθεῖν. ἴησις ἢ σταιτὶ ἢ ὀθονίοισι· μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα βραχύνεται κάτω τοῦ ὀλισθήματος, καὶ σάρκες μινύθουσι ἀντία μάλιστα ᾗ ᾗ τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.*

20. *Μηροῦ ἄρθρον ἐκπίπτει κατὰ τέσσαρας τρόπους· ἔσω πλεῖστα, ἔξω δεύτερον, τὰ δ' ἄλλα ὁμοίως. σημεῖα· κοινὸν μὲν τὸ ἕτερον σκέλος, ἴδιον δὲ τοῦ μὲν ἔσω· παρὰ τὸν περίνεον ψαύεται ἡ κεφαλή, συγκάμπτουσιν οὐχ ὁμοίως, δοκεῖ δὲ καὶ πολύ μακρότερον τὸ σκέλος, ἢν μὴ ἐς μέσον ἀμφότερα ἄγων παρατείνῃς· καὶ γὰρ οὖν ἔξω ὁ πους καὶ τὸ γόνυ ῥέπει. ἢν μὲν οὖν ἐκ γενεῆς ἢ ἐν αὐξήσει ἐκπέσῃ, βραχύτερος ὁ μηρός, ἧσσον δὲ κνήμη, κατὰ λόγον δὲ τἄλλα· μινύθουσι δὲ σάρκες, μάλιστα δὲ ἔξω. οὗτοι κατοκνέουσιν ὀρθοῦσθαι καὶ εἰλέονται ἐπὶ τὸ ὑγιές· ἢν δ' ἀναγκάζωνται, σκίπωνι ἢ ἑνὶ ἢ δυσὶν ὁδοιπορέουσι, τὸ δὲ*

1. 2 *οὐ δεῖ γρ.* quia glossema est, delevi; neque est *π. ἄρθ. ἐμβ.* c. 29 neque exhibet Apollonius 2 post *ἐμβ. δὲ* add. *αὐτοῦ ἧδε* vulg., om. M 3 *ἀπωθέειν . . . ἀντωθέειν* codd. *δ' ἐν.* M, *δὲ ἐν.* cet. *ἴησις ἧς γε τι ἡ ὀθ.* M, quod est *ἰ. ἢ σταιτὶ ἢ ὀθ.*, cf. Apollon. ed. Schoene p. 12, *ἴησις δὲ ἡ προσήκουσα, τοῖσιν ὀθονίοισιν ἐπίδεσις·* cet., *ἐπίδεσις* om. M, *π. ἄρθ. ἐμβ.* c. 29, Ap. 4 *δὲ* M Ap., *γὰρ* cet. *ἔξω* Ap. 7 *ἀντία* MDHIK, *τἀναντία* vulg. *ἢ ὡς τὸ ἐ.* codd., *ᾗ* pro *ὡς* Erm. 9 *κατὰ* om. M 9. 10 *τέσσ. τρ.* M, *τρ. τέσσ.* cet. 11 *σημεῖα* in raso l. M 12 *εἴσω* codd. *τὸν* D, *π. ἄρθ. ἐμβ.* c. 51, Ap. Schoene p. 18, om. M cet. codd. *περίναιον* DHKN 12. 13 *συγκ.* DHK, *ξ.* M 13 *μακρ. τὸ σκ. δοκέει δὲ καὶ πολὺ* M, *δοκέει δὲ μακ. τ. σκ. καὶ π.* cet. 19 *ἀλλ'* pro *καὶ* M 20 *σκίπωνι* MD, *σκίμπωνι* vel *σκίμπονι* cet. *ἢ* ante *ἑνὶ* M, om. cet.

σκέλος αἴρουσιν· ὅσῳ γὰρ μεῖον, τόσῳ ῥήιον. ἢν δ'
ηὐξημένοισι, τὰ μὲν ὀστέα μένει, αἱ δὲ σάρκες μινύ-
θουσιν, ὡς προείρηται· ὁδοιπορέουσι δὲ περιστροφά-
δην ὡς βόες, ἐν δὲ τῷ κενεῶνι καμπύλοι, ἐπὶ τὸ ὑγιὲς
362 ἐξίσχιοι ἐόντες· | τῷ μὲν γὰρ ἀνάγκη ὑποβαίνειν ὡς
ὀχῇ, τῷ δ' ἀποβαίνειν — οὐ γὰρ δύναται ὀχεῖν —
ὥσπερ οἱ ἐν ποδὶ ἕλκος ἔχοντες. κατὰ δὲ τὸ ὑγιὲς
πλάγιοι τῷ ξύλῳ τῷ σώματι ἀντικοντέουσι, τὸ δὲ
σιναρὸν τῇ χειρὶ ὑπὲρ τοῦ γούνατος καταναγκάζουσιν
ὡς ὀχεῖν ἐν τῇ μεταβάσει τὸ σῶμα. ἰσχίων κατωτέρω
ἢν χρῆται, κάτω τε ἧσσον μινύθει καὶ ὀστέα, μᾶλλον
δὲ σάρκες.

21. Τοῦ δ' ἔξω τἀναντία καὶ τὰ σημεῖα καὶ αἱ
στάσιες, καὶ τὸ γόνυ καὶ ὁ πους ἔσω ῥέπει βραχύ.
τοῖσι δ' ἐν αὐξήσει ἢ ἐκ γενεῆς παθοῦσιν οὐχ ὁμοίως
364 συναύξεται· κατὰ τὸν αὐτὸν λόγον | ἰσχίον ἀνωτέρω
τινὶ οὐχ ὁμοίως. οἷσι δὲ πυκνὰ ἐκπίπτει ἐς τὸ ἔξω
ἄνευ φλεγμονῆς, ὑγροτέρῳ τῷ σκέλει χρῶνται, ὥσπερ
ὁ μέγας τῆς χειρὸς δάκτυλος· μάλιστα γὰρ οὗτος ἐκ-
πίπτει φύσει· οἷς μὲν ἐκπίπτει μᾶλλον ἢ ἧσσον καὶ
οἷς μὲν ἐκπίπτει χαλεπώτερον ἢ ῥήιον καὶ οἷσιν ἐλπὶς
θᾶσσον ἐμπεσεῖν καὶ οἷσιν οὐκ ἄκη τούτου καὶ οἷσι
πολλάκις ἐκπίπτει, ἴησις τούτου. ἐκ γενεῆς δὲ ἢ ἐπ'

1 et 21 ῥᾷον codd. 3. 4 περιφοράδην M 4 κάμπυλοι M 5 τὸ μὲν . . . τὸ δὲ (6) M 6 ὀχέῃ et ὀχέειν codd. 8 πλάγιοι M, πλάγιον cet. τῷ M, om. cet. ἀντικοντέουσι (in syllaba κον deletum ν H) Litt. Pq., ἀντικότ. cet. 10 ὀχέειν codd. ἰσχίων U Litt., ἰσχίῳ cet. κατωτέρω MD¹H, κάτωθεν cet. 11 ἢν M, εἰ cet. κάτω τε MD¹FHIJKU, κάτωθεν cet. 13 et 15 δ' M, δὲ cet. 16 συναύξ. I, ξ. cet. Littraeus suos codd. secutus sententiam post λόγον puncto concludit, distinctione vacat M 17 πυκινὰ i. m. H, Pq. 20 φύσις M 21 οἷσιν pro οἷς μὲν M 22 καὶ οἷσιν οὐκ, ἄκη τούτου Litt. ἀκὴ codd.

*αὐξήσει ἢ ἐν νούσῳ — μάλιστα γὰρ ἐκ νούσου — ἔστι μὲν οἷσιν ἐπισφακελίζει τὸ ὀστέον· ἀτὰρ καὶ οἷσι μή, πάσχει μὲν πάντα, ἧσσον δὲ ἢ τὸ ἔσω, ἢν χρηστῶς ἐπιμεληθῶσιν, ὥστε καὶ ὅλῳ βαίνοντας τῷ ποδὶ διαρρίπτειν· διὰ μελέτης πλείστης τοῖσι νηπιωτάτοισιν· ἐαθέντα κακοῦται, ἐπιμεληθέντα δὲ ὠφελεῖται· τοῖς ὅλοις, ἧσσον δέ τι, μινύθουσιν.*

22. *Οἷσι δ' ἂν ἀμφότερα οὕτως ἐκπέσῃ, τῶν ὀστέων ταὐτὰ παθήματα· εὔσαρκοι δὲ πλὴν ἔσωθεν, ἐξεχέγλουτοι, ῥοικοὶ μηροί, ἢν μὴ ἐπισφακελίσῃ. εἰ κυφοὶ τὰ ἄνωθεν ἰσχίων γένοιντο, ὑγιηροὶ μέν, αναυξέες δὲ τὸ σῶμα πλὴν κεφαλῆς.*

23. *Οἷσι δ' ὄπισθεν, σημεῖα· ἔμπροσθεν λαπαρώτερον, ὄπισθεν ἐξέχον, ποὺς ὀρθός, συγκάμπτειν οὐ δύνανται, εἰ μὴ μετ' ὀδύνης, ἐκτείνειν ἥκιστα· τούτοισι σκέλος βραχύτερον· ἀτὰρ οὐδ' ἐκτανύειν δύνανται κατ' ἰγνύην, ⟨ἢν⟩ μὴ κατὰ βουβῶνα, ἢν μὴ πάνυ αἴρωσιν, οὐδὲ συγκάμπτειν. ἡγεῖται ἐν τοῖσι πλείστοισι τὸ ἄνω ἄρθρον τὸ | πρῶτον· κοινὸν τοῦτο ἄρθροισι, νεύ-* 366
*ροισι, μυσίν, ἐντέροισιν, ὑστέραις, ἄλλοισι· τούτοις τοῦ ἰσχίου τὸ ὀστέον καταφέρεται ἐς τὸν γλουτόν· διὰ τοῦτο βραχὺ καὶ ὅτι ἐκτείνειν οὐ δύνανται.*

2 post *μὲν* add. *οὖν* vulg., om. M 3 *πάσχει* (η suprascr.) M 4. 5 *διαρρέπ.* cf. *π. ἄρθ. ἐμβ.* c. 55 6 *ὠφελέεται* codd. *τοῖς ὅλοις* M, *τοῖσιν ὅλοισιν* cet. 7 *δ' ἔτι* M 9 *ταῦτα* codd., *ταὐτὰ* Litt. *δὲ* M, *μὲν* cet. 10 *ἢ* pro *εἰ* M *κυφοι* M 13 *δ'* M, *δὲ* cet. 13. 14 *λαπαρώτεροι* DHK 14 *ξυγκ.* M, *σ.* vulg. 15. 16 *τούτοις* vulg., *-σι* DHK, *ουτοι* M 16 *ἐκτανύειν* DHK, *ἐκτανν.* M vulg. 17 *κατ' ἰγνύην μὴ κ. β.* M, *κ. ἰ. ἢ κ. β.* cet., restitui *ἢν* cf. *π. ἄρθ. ἐμβ.* c. 57 17. 18 *αἴρωσιν* K, *αἴρῃ* M cet. codd. 18 *ξυγκ.* codd. 20 *μυσὶ ἐντέροισι* M *ὑστέραις ἄλλῃσι ταύταις* vulg., *ὑστέρῃσιν* J, *ἄλλοισι* M, *ταύτῃ* Litt., *τούτοις* Foesium secutus Pq. 21 *καταφέρεσθαι* codd., *καταφερὲς* Litt., *-φέρεται* Foes. in not. Pq.

σάρκες παντὸς τοῦ σκέλεος ἐν πᾶσι μινύθουσιν· ἐφ' οἷσι δὲ μάλιστα καὶ ᾗ, εἴρηται. τὰ ἔργα τὰ ἑωυτοῦ ἕκαστον τοῦ σώματος ἐργαζόμενον μὲν ἰσχύει, ἀργέον δὲ κακοῦται, πλὴν κόπου, πυρετοῦ, φλεγμονῆς. καὶ τὸ ἔξω, ὅτι ἐς σάρκα ὑπείκουσαν, βραχύτερον· τὸ δ' ἔσω, ὅτι ἐπ' ὀστέον προέχον, μακρότερον· ἢν μὲν οὖν ηὐξημένοισι μὴ ἐμπέσῃ, ἐπὶ βουβῶσι καμπύλοι ὁδοιπορέουσι καὶ ἡ ἑτέρη ἰγνύη κάμπτεται· στήθεσι μόγις καθικνεῖται· χειρὶ τὸ σκέλος καταλαμβάνει, ἄνευ ξύλου, ἢν ἐθέλωσιν· ἢν μὲν γὰρ μακρότερον ᾖ, οὐ βήσεται· ἢν δὲ βαίνῃ, βραχύ. μινύθησις δὲ σαρκῶν, οἷσι πόνοι καὶ ἡ ἴξις ἔμπροσθεν, καὶ τῷ ὑγιεῖ κατὰ λόγον· οἷσι δ' ἐκ γενεῆς ἢ αὐξομένοισιν ἢ ὑπὸ νούσου ἐνόσησε καὶ ἔξαρθρα ἐγένετο — ἐν αἷς, εἰρήσεται, — οὗτοι μάλιστα κακοῦνται διὰ τὴν τῶν νεύρων καὶ ἄρθρων ἀργίην· καὶ τὸ γόνυ διὰ τὰ εἰρημένα συγκακοῦνται· συγκεκαμμένον οὗτοι ἔχοντες ὁδοιπορέουσιν ἐπὶ ξύλου ἑνὸς ἢ δύο· τὸ δ' ὑγιὲς εὔσαρκον διὰ χρῆσιν.

24. Οἷσι δ' ἐς τοὔμπροσθεν, σημεῖα τἀναντία· ὄπισθεν λαπαρόν, ἔμπροσθεν ἐξέχον· ἥκιστα συγκάμπτουσιν οὗτοι τὸ σκέλος, μάλιστα δὲ ἐκτείνουσιν· ὀρθὸς πούς, σκέλος ἴσον, πτέρνη· βραχεῖ ἄκρος ἀνέσταλται. [ἢ] πονέουσι μάλιστα οὗτοι αὐτίκα, καὶ οὖρον
368 ἴσχεται μάλιστα | ἐν τούτοισι τοῖσιν ἐξαρθρήμασιν· ἐν

1 *μινύθουσι* M 2 *ᾗ* M, i. m. H., *οἷ* cet. 5 *δ'* M, *δὲ* cet. 7 *ηὐξημένοισιν* M 7. 8 *ὁδοιπορέουσιν* M 8 *μόγις* M, *μόλις* cet. 9 *κινεῖται* codd., *ἱκν.* Litt., *καθικν.* Foes. Pq. sicut *π. ἀρθ. ἐμβ.* c. 58 10 *ἐθισθέωσιν* Wb. sicut *περὶ ἀ. ἐ.* 204, 12 12 *ἴηξις* J, *ἤιξις* cet. codd., *ἡ ἴξις* Foes. Litt. 13 *νούσου* DN, *νόσου* M vulg. 18 *δ'* M, *δὲ* cet. 19 *δ'* M, *δὲ* cet. 20. 21 *ξυγκ.* vulg., *ξυγκάμπτουσι* M 22 *πτέρνα* codd. *ἄκρος* cf. *π. ἄρθ. ἐμβ.* c. 59, *ἄκρως* codd. et Ap. p. 31 23 *ἢ* delevi, *ᾖ* Wb. 24 *ἐξαρθρήμασι* M

*γὰρ τόνοις ἔγκειται τοῖσιν ἐπικαίροισιν. τὰ ἔμπροσθεν κατατέταται[, ἀναυξέα, νοσώδεα, ταχύγηρα], τὰ ὄπισθεν στολιδώδεες. οἷσιν ηὐξημένοισιν, ὁδοιπορέουσιν, ὀρθοί, πτέρνῃ μᾶλλον βαίνοντες· εἰ δὲ ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ· σύρουσι δέ· μινύθει δὲ ἥκιστα, τούτοισι δὲ ἡ χρῆσις αἰτίη, μάλιστα δ' ὄπισθεν· διὰ παντὸς τοῦ σκέλεος ὀρθότεροι τοῦ μετρίου ξύλου δέονται κατὰ τὸ σιναρόν. οἷσι δὲ ἐκ γενεῆς ἢ αὐξανομένοισι, χρηστῶς μὲν ἐπιμεληθεῖσιν ἡ χρῆσις ὥσπερ τοῖσιν ηὐξημένοισιν· ἀμεληθεῖσι δὲ βραχύ, ἐκτεταμένον· πηροῦται γὰρ τούτοῖσι μάλιστα ἐς ἰθὺ τὰ ἄρθρα· αἱ δὲ τῶν ὀστέων μειώσιες καὶ αἱ τῶν σαρκῶν μινυθήσιες κατὰ λόγον.*

25. *Μηροῦ δὲ κατάτασις μὲν ἰσχυρή· καὶ ἡ διόρθωσις κοινὴ ἢ χερσὶν ἢ σανίδι ἢ μοχλῷ, τὰ μὲν ἔσω στρογγύλῳ, τὰ δὲ ἔξω πλατεῖ, μάλιστα δὲ τὰ ἔξω. καὶ τὰ μὲν ἔσω ἀσκοῖσιν ἀκεσάμενον ἐς τὸ ὑπόξηρον τοῦ μηροῦ, κατατάσιος δὲ καὶ συνδέσιος σκελέων· κρεμάσαι διαλείποντα σμικρὸν τοὺς πόδας, ἔπειτα πλέξαντα ἐκκρεμασθῆναί τινα, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα*

1 *τόνοις* M, *-οισιν* cet. 2 *ἀναυξέα, νοσ., ταχ.* Foesio et Littraeo huc nullo merito videntur irrepsisse, cum nihil tale scribatur *π. ἄρθ. ἐμβ.* c. 59, cf. ibid. c. 58 *ὄπισθε* M 3 *στολιδώδεις* (*-δης* D) codd. *ηὐξημένοισι ὁδοιπορέουσι* M *ὀρθοὶ* M, Litt., *ὀρθῇ* cett. codd. 4 *εἰ* M, *οἱ* cet. codd., I mutatam in *εἰ*, unde iam Litt. dedit *εἰ* 6 *αἰτίη* scripsi, *αἰτία* cet. *δ'* M, *δὲ* cet. 8 *ἢ* supra lin. I, Litt., om. cet. codd. 10 *πωροῦται* codd., *πηρ.* Erm., cf. *π. ἄρθ. ἐμβ.* c. 60, qua de re iam monuerunt Foes. et Litt. 11 post *μάλ.* add. *δὲ* vulg., om. DHK Litt. 14 *ἡ* om. Ap. 15 *κοινὴ διόρθ.* M *ἢ σαν.* om. Ap. *ἔσω* vulg. Litt. Pq., *ἔξω* MD(mut. in *ἔσω*)HIKU 16 *ὑποπλατεῖ* Ap. *μαλ. δὲ τὸ ἔσω καὶ τὸ ἔξω* Ap. 17 *ἔξω* M *ὑπόξυρον* MAp., *ὑπόξηρον* cet. *ἀσκοὺς δη ωσαμενον τω υπ.* Ap. 18 *ξυνδ.* MDHIJKU, *σ.* vulg. *κατατάσιας δ. κ. συνδέσιας* Wb. 19 *διαλιπ.* M 20 *κρεμασθῆναι καὶ ἐν τῇ διορθ. ἅμα ἀμφ.* Ap.

*ποιεῦντα. καὶ τῷ ἔμπροσθεν τοῦτο ἱκανὸν καὶ τοῖσιν ἑτέροις, ἥκιστα δὲ τῷ ἔξω· ἡ τοῦ ξύλου ὑπότασις, ὥσπερ ὤμῳ ὑπὸ τὴν χεῖρα, οἷς ἔσω· τοῖσι γὰρ ἄλλοισι ἧσσον. καταναγκάσεις δὲ μετὰ διατάσιος, μάλιστα τῶν ἔμπροσθεν ἢ ὄπισθεν ἢ ποδὶ ἢ χειρὶ ἐφίζεσθαι ἢ τῇ σανίδι.* |

370 26. *Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος διὰ τὴν εὐσταλίην καὶ εὐφυίην· διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥήιον. ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω, καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἢ ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως, ἢ συνελίξας ταινίης ὄγκον ἐν ἰγνύῃ θεὶς ἀμφὶ τοῦτον ἐξαίφνης ἐς ὄκλασιν ἀφεῖναι τὸ σῶμα, μάλιστα ἐν τῇ τῶν ὄπισθεν· δύναται δὲ καὶ κατατεινόμενα μετρίως, ὥσπερ ἀγκών, ἐμπίπτειν τὰ ὄπισθεν. τὰ δ' ἔνθα ἢ ἔνθα ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι [ἢ κατατάσει· μάλιστα δὲ αὐτῇ τὸ ὄπισθεν]· ἀτὰρ καὶ ἐκ κατατάσιος μετρίης. ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν συγκάμπτειν οὐ δύνανται· ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι πάνυ τι· μινύθει δὲ μηροῦ καὶ κνήμης τὸ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι,*

2 *ἑτέροις* MH[1] vulg., *-οισιν* H[2] *ἥκιστα τῷ ἔσω. τοῦ ξύλου ὑπότ.* Ap. *ὑπότασις* MAp. Foes. in notis, *ὑπόστ.* cet. 3 *οἷς ἔσω* om. Ap. *ἄλλοισι* M, *-ν* cet., *τοῖς ἄλλοις* (*γὰρ* om.) Ap. 4 *μ. τὸ ἔμπρ. καὶ ὄπ.* Ap. 5 *ἐφίζεσθαι*, *ε* prius in raso loco, M, *ἢ ἐφέζ.* Ap. *τῇ* M, om. cet. 6 *ἀγκ. εὐήθ. ἐστιν* Ap: 6. 7 *εὐσταλίαν, εὐφυΐαν* MAp. 7 *ῥήιον* scripsi, *ῥᾷον* codd. 8 *ἔμπ.* M *εσωτε* Ap. 9 *ξυγκ.* codd. *ἢ* ante *ἐκλ.* om. M 10 *συνελ.* JAp., *ξ.* cet. 10. 11 *ἐν τῇ ἰγν. θείς, ἀμφι τουτου τον εξεφνης* Ap. 11 *αφιέναι* Ap. *ἐν τῇ* J, Litt. Pq., *αὕτη* Ap., *αὐτῇ* M cet. 12 *ὄπισθε* M *δύναται . . . ὄπισθεν* (17) om. Ap. *δ'* M, *δὲ* cet. 14 *ξυγκ.* M *ἢ* ante *ἐκλ.* om. M ante *κατατ.* add. *ἐν* vulg., *ἐν* om. M 14. 15 *κατατισι*, i. m. *γρ. καὶ κατατάσει* M, *ἢ ἐν καταστάσει* Litt. e Parisinis DK 15 *αὐτῇ* Wb., *αὐτὴ* vulg. *ἢ κατατ.—ὄπ.* del. Wb., cf. p. 242, 7. 8 *ἐγκατατ.* M 16 *ἡ* M 17 *ὄπισθε* M *ξυγκ.* codd. 18 *τοῖσι* M *τι* om. Ap. 19 post *κνήμ.* add. *ὀστέον* codd., om. Ap., del. Litt., cf. *π. ἄρθ. ἐμβ.* c. 82 *τὰ ἐμπ.* Ap. *βλ$\overset{αι}{ε}$σότεροι* M, *βλεσωτεροι* Ap.

*μινύθει δὲ τὰ ἔξω· ἢν δ' ἐς τὰ ἔξω, γαυσότεροι, χωλοὶ δ' ἧσσον, κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχεῖ· μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν.*

27. *Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ τῆσι χερσὶ* ⟨*ἢ ἄλλοισι τοῖσι*⟩, *κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεύσης· κοινὸν δὲ πᾶσι.* |

28. *Τὰ δὲ ἐν ποδὶ, ὡς τὰ ἐν χειρὶ ὑγιᾶ.* 372

29. *Τὰ δ' ἐν τῇ κνήμῃ συγκοινωνέοντα καὶ μὴ ἐμπεσόντα, ἐκ γενεῆς καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταὐτὰ ἃ καὶ ἐν χειρί.*

30. *Ὅσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐκχυμωθῆναι καὶ νεῦρα ἀμφιφλασθῆναι, ὅταν γένηται οἷα τὰ δεινότατα, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν· ῥοιώδεα μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. ἐπεὶ καὶ οἷσιν ἂν καταγεῖσιν ἢ ὑπὸ τρώματος οἷα ἐν κνήμῃ ἢ μηρῷ, νεύρων ἀπολυθέντων, ἃ κοινωνεῖ τούτοισιν, ἢ ἐξ ἄλλης κατακλίσιος ἀμελέος μελανθῇ ἡ πτέρνη, καὶ τούτοισι παλίγκοτα ἐκ τοιούτων. ἔστιν ὅτε πρὸς σφακελισμῷ*

1 *δ' ἐς τὰ* M, *δὲ τὰ* DFINU, *δὲ ἐς τὸ* Ap. 2 *δ'* M, *δὲ* cet. *παχύτατον* Ap. *ὀχέει* codd. 4 *τῶν* MDFJKUAp. *ἐμπρ.* Ap. 6 *ἢ αλλοισι τοισι* Ap. p. 32 Schoene, om. codd., *ἢ ἄλλ. τοιούτοισι* Litt., Pq., cf. *π. ἄρθ. ἐμβ.* c. 84 *διορθ.* Ap. 7 *ἅμα* om. Ap. p. 33 *τουτων πᾶσιν* Ap. p. 32, *τούτων ἅπασιν* p. 33 8 *ὑγιές* M, *ὑγιῆ* DHJKU Litt., Pq. (scripsi *ὑγιᾶ* cf. *π. ἄρθ. ἐμβ.* c. 83) *ὑγιῶς* vulg. 9 *δ'* M, *δὲ* cet. 10. 11 *ταῦτα* codd., scripsi *ταὐτὰ* cf. *π. ἄρθ. ἐμβ.* c. 83 13. 14 *ἐκχυμ.* M, H ex emend., Litt., *ἐγχ.* vulg. 14 *ἀμφιφλ.* MPq., *ἀμφιθλ.* cet. 16 ante *ῥοι.* add. *καὶ* vulg., om. M *ῥοιώδη* MH², *γρ. καὶ ῥυκώδη* i. m. M, *ῥυκώδη* FH¹IJKU, *ῥοικώδη* cet. *γὰρ* M, om. cet. 17 *οἷσι* M 19 *κοινωνέει τουτέοισιν* codd. 20 *μελανθῇ* Wb., *ἐμελάνθη* cet. *τουτέοισι* codd. 21 *παλίγκοτα* D, *-κοτωτατα* cet. codd. *τοιουτέων* codd. *προσφακελισμῳ* M

γίνονται πυρετοὶ ὑπεροξέες, λυγγώδεες, τρομώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι, καὶ ἔτι φλεβῶν αἱμορρόων πελιώσιες καὶ γαγγραινώσιες. σημεῖα τῶν παλιγκοτησάντων· ἢν τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα ᾖ· ἢν γὰρ σὺν σκληρύσματι πελιωθῇ, κίνδυνος μελανθῆναι· ἢν δ' ὑποπέλια ᾖ καὶ πέλια μάλα καὶ κεχυμένα ἢ ὑπόχλωρα καὶ μαλθακά, ταῦτ' ἐν πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἴησις· ἢν μὲν ἀπύρετοι ἔωσιν, ἐλλεβορίζειν· ἢν δὲ μή, μή· ἀλλὰ ποτὸν ὀξύγλυκυ, εἰ δέοι. ἐπίδεσις δὲ ἡ ἄρθρων σύνδεσις· ἐπιδε⟨ῖν⟩ πάντα, μᾶλλον τοῖσι
374 φλάσμασι, καὶ | ὀθονίοισι πλέοσι καὶ μαλθακωτέροισι χρῆσθαι, πίεξις ἧσσον· ὕδωρ πλέον· προσπεριβάλλειν τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται· ἀνωτέρω γούνατος ἔστω εὔθετος· νάρθηξι μὴ χρῆσθαι.

31. Ὅταν δ' ἐκστῇ ὁ πους ἢ αὐτὸς ἢ σὺν τῇ ἐπιφύσει, ἐκπίπτει μᾶλλον ἐς τὸ ἔσω· ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον ἰσχίου καὶ μηροῦ καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ ὡς καρποῦ, κατάτασις δὲ ἰσχυροτέρη. ἴησις, νόμος ἄρθρων. παλιγκοτεῖ ἧσσον καρποῦ, ἢν ἡσυχάσῃ. δίαιτα μείων· ἐλινύουσι

3 πελιώσιος M γα$^{γ}$νγραινωσιος M 4 ἐκχυμώτατα M 5 ἠ pro καὶ M 6 ξὺν codd. 7 ὑπόπνα ἢ τὰ πέλια καὶ μαλθακὰ καὶ κεχ. M 8 τοιούτοισι M 9 post ἴησις add. δὲ vulg., om. M ἔωσιν om. M 10 ποτὸν, τὸ in raso loco M post ποτὸν add. διδόναι vulg., om. M (cf. π. ἄρθ. ἐμβ. c. 86) 11 ἡ M σύνθεσις vulg., om. M, σύνδ. Litt. cf. π. ἀγμ. c. 11 ἐπὶ δὲ vulg., cf. π. ἄρθ. ἐμβ. p. 244, 2, ἔτι δὲ codd. πάντα codd., ταῦτα vulg. πάντα μᾶλλον deleri vult Wb. 14 τῇ om. M ὥσπερ Erm., οἷηπερ Wb. 16 χρῆσθαι M, χρήσασθαι cet. 17 δ' M, δὲ cet. αὐτὸς M, μοῦνος cet. σὺν M, ξ. cet. 18 εἰ . . . ἐμπέσῃ codd., scripsi ἢν . . . ἐ., cf. π. ἄρθ. ἐμβ. c. 87, εἰ . . . ἐμπέσοι Litt. unum codicem D secutus 20 ante καρποῦ add. ἡ vulg., om. M 21 παλιγκοτέει codd. 22 μεῖον M

*γάρ. τὰ δ' ἐκ γενεῆς μὲν ἢ ἐν αὐξήσει κατὰ λόγον τῶν πρότερον. (32.) ἐπεὶ τὰ σμικρὸν ὠλισθηκότα ἐκ γενεῆς ἔνια οἷά τε διορθοῦσθαι· μάλιστα δὲ ποδὸς κύλλωσις· κυλλώσιος γὰρ οὐχ εἷς τρόπος. ἡ δὲ ἴησις τούτου, κηροπλαστεῖν κηρωτῇ ῥητινώδει· ὀθόνια συχνὰ ἢ πέλμα ἢ μολύβδιον προσεπιδεῖν, μὴ χρωτί· ἀνάληψις τά τε σχήματα ὁμολογείτω.*

33. *Ἢν δὲ ἐξαρθρήσαντα ἕλκος ποιησάμενα ἐξίσχῃ, ἐώμενα ἀμείνω, ὥστε δὴ μὴ ἀπαιωρεῖσθαι μηδ' ἀπαναγκάζεσθαι. ἴησις δὲ πισσηρῇ ἢ σπλήνεσιν οἰνηροῖσι θερμοῖσιν — ἅπασι γὰρ τούτοισιν τὸ ψυχρὸν κακὸν — καὶ φύλλοισι· χειμῶνος δὲ εἰρίοισι ῥερυπωμένοισι τῆς σκέπης εἵνεκα· μὴ καταπλάσσειν, μηδ' ἐπιδεῖν. δίαιτα λεπτή, ψῦχος, ἄχθος πολύ, πίεξις, ἀνάγκη, σχήματος τάξις. εἰδέναι μὲν οὖν ὀλέθρια ταῦτα πάντα. μετρίως δὲ θεραπευθέντες χωλοὶ αἰσχρῶς· ἢν γὰρ παρὰ πόδας γένηται, ποὺς ἀνασπᾶται, καὶ ἤν πη ἄλλῃ, κατὰ λόγον. ὀστέα οὐ μάλα ἀφίσταται· σμικρὰ γὰρ ψιλοῦται, | πε-* 376
*ριωτειλοῦται λεπτῶς· τούτων τὰ μέγιστα κινδυνότατα καὶ τὰ ἀνωτάτω· ἐλπὶς δὲ μούνη σωτηρίης, ἐὰν μὴ ἐμβάλλῃ, πλὴν τὰ κατὰ δακτύλους καὶ χεῖρα ἄκρην· ταῦτα δὲ προειπόντα τοὺς κινδύνους ἐγχειρεῖν ἐμβάλ-*

1 *δ'* M, *δὲ* cet. 2 *τῶν πρ.* M, *τῶν τὸ πρ.* DHIKU, *τὸν πρ.* vulg. *ἔπειτα* codd., *ἐπεὶ τὰ* Litt., cf. *π. ἄρθ. ἐμβ.* c. 62 *ὀλ.* MFHKNU 3 *δὴ ὀρθοῦσθαι* M 4 post *εἷς* add. *ἐστὶ* omnes praeter M 5 *τουτέου* codd. *κηροπλαστεῖν* KN, *-έειν* M, om. rel. codd. *ῥιτινώδη* M, *κηρωτὴ ῥητινώδης* Litt. ex Parr. HK 6 *πέλμα* MIJU, *-ματα* vulg. *χρῶτι* M 9 *ἀπαιωρέε-* codd. 10 *πισσηρῇ* M, *-ρὴ* vulg. 11 *τουτέοισι(ν* M) codd. 13 *μηδ'* M, *μηδὲ* cet. 14 *ψύχος* codd. *πολὺ* om. M 15 *ὀλ. τ. π.* M, *τ. π. ὀλ.* cet. 18 *ἀφίσταται* M, *-νται* cet. *σμ.* scripsi, *μ.* cet. 19 *τουτέων* codd. *κινδυνωδέστατα* M, *κινδυνώτατα* vulg. 20 *μούνη* M, Par. N, *μόνη* vulg. 21 *ἐμβάλη* M, Par. N 22 *πρὸ εἶπεν τὰ* M, *πρόειπε* (*προεῖπε* N) *τῶ* cet. codd., *προειπέτω* Litt., scripsi *προει-*

*λειν ἢ τῇ πρώτῃ ἢ τῇ δευτέρῃ· εἰ δὲ μή, πρὸς τὰς δέκα· ἥκιστα τεταρταῖα. ἐμβολὴ οἱ μοχλίσκοι. ἴησις δὲ ὡς κεφαλῆς ὀστέων καὶ θέρμη· ἐλλεβόρῳ δὲ καὶ αὐτίκα καὶ ἔπειτα τοῖσιν ἐμβαλλομένοισι βέλτιον χρῆσθαι. τὰ δ' ἄλλα εὖ εἰδέναι δεῖ, ὅτι ἐμβαλλομένων θάνατοι· τὰ μέγιστα καὶ τὰ ἀνωτάτω μάλιστα καὶ τάχιστα. ποὺς δ' ἐκβάς, σπασμός, γάγγραινα· καὶ γὰρ ἢν ἐμβληθέντι ἐπιγένηταί τι τούτων, ἐκβάλλοντι ἐλπίς, εἴ τις ἄρα ἐλπίς· οὐ γὰρ ἀπὸ τῶν χαλώντων οἱ σπασμοί, ἀλλ' ἀπὸ τῶν ἐντεινόντων.*

34. *Αἱ δ' ἀποκοπαὶ ἢ ἐν ἄρθρῳ ἢ κατ' ὀστέα, μὴ ἄνω, ἀλλ' ἢ παρὰ ποδὶ ἢ χειρί, ἐγγὺς περιγίνονται, ἢν μὴ αὐτίκα ἅμα λειποθυμίῃ ἀπόλωνται. ἴησις δ' ὡς κεφαλῆς, θέρμη.*

35. *Ἀποσφακελίσιος μέντοι σαρκῶν, καὶ ἐν τρώμασιν αἱμορρόοις ἀποσφιγχθὲν καὶ ἐν ὀστέων κατήγμασι πιεχθὲν καὶ ἐν δεσμοῖσι ἀπομελανθὲν. καὶ οἷσι μηροῦ μέρος ἀποπίπτει καὶ βραχίονος ὀστέα τε καὶ σάρκες ἀποπίπτουσι, πολλοὶ περιγίνονται, ὡς τά γε ἄλλα εὐφορώτερα. οἷσι μὲν οὖν καταγέντων ὀστέων,*

*πόντα* iam a Foesio commendatum, cf. *π. ἄρθ. ἐμβ.* c. 67 *ἐγχειρέειν* codd.

1 *εἰ* M, *ἢν* cet. codd. 2 post *ἐμβ.* add. *δὲ* vulg., om. M 3 *κεφαλὴ* codd., *-ῆς* Litt, cf. *π. ἄρθ. ἐμβ.* c. 67, *π. ἀγμ.* c. 36 4 *καὶ* ante *ἔπ.* add. unus M (cf. *π. ἄρθ. ἐμβ.* c. 63 *αὐθημ. τε δοθεὶς καὶ αὖθις πιν.*), *καὶ αὐτίκα ἔπειτα τοῖσιν* vulg. Pq., *καὶ αὐτ. ἐπὶ τοῖσιν ἐμβ.* Litt. *ἐμβαλλομένοισιν* M 5 *δεῖ ὅτι* Litt., *διότι* codd. 7 *δ'* M, *δὲ* cet. *γὰρ* om. N Litt. 8 *τουτέων* codd. 11 *ἢ* prius om. M *κατ' ὀ.* M, *κατὰ τὰ ὀ.* vulg. 12 *παρὰ ποδὶ ἢ χ.* M, *παρὰ τῷ π. ἢ παρὰ τῇ χ.* cet. 13 *ἅμα* M, *μάλα* cet. *λιπ.* M 13. 14 *ἀπόλλωνται* M vulg., *ἀπολ.* JNLitt. *δ'* M, om. cet. *θερμῆς* vulg., *θέρμη* Litt. Pq., scripsi *θέρμη* 15 *ἀποσφακελίξιος* M 17 *δεσμοῖσι* M, *δεσμοῖς* cet. 18 *βραχίονες* MHJKU 19 *ἀποπίπτουσι* delendum esse Litt. suspicatur *περιγίγν.* M

αἱ μὲν περιρρήξιες ταχεῖαι, αἱ δὲ τῶν ὀστέων ἀποπτώσιες, ᾗ ἂν τὰ ὅρια τῆς ψιλώσιος ᾖ, ταύτῃ ἀποπίπτουσι, 378
βραδύτερον δέ. χρὴ δὲ τὰ κατωτ|έρω τοῦ τρώματος καὶ τοῦ σώματος τοῦ ὑγιέος προσαφαιρεῖν — προθνήσκει γὰρ — φυλασσόμενον ὀδύνην· ἅμα γὰρ λειποθυμίῃ θνήσκουσι. μηροῦ ὀστέον ἐκ τοιούτου ἀπελύθη ὀγδοηκοσταῖον, ἡ δὲ κνήμη ἀφῃρέθη εἰκοσταίη, κνήμης δὲ ὀστέα κατὰ μέσην ἑξηκοσταῖα ἀπελύθη· ἐκ τοιούτων ταχὺ καὶ βραδέως αἱ πιέξιες αἱ ἰητρικαί. τὰ δ' ἄλλα ὅσα ἡσυχαίως, τὰ μὲν ὀστέα οὐκ ἀποπίπτει οὐδὲ σαρκῶν ψιλοῦται, ἀλλ' ἐπιπολαιότερα. προσδέχεσθαι ταῦτα χρή· τὰ γὰρ πλεῖστα φοβερώτερα ἢ κακίω. ἡ ἴησις πρηεῖα, θέρμη, διαίτῃ ἀκριβεῖ· κίνδυνος αἱμορραγιῶν, ψύχεος. σχήματά τε ὡς μὲν ἀνάρροπα, ἔπειτα ὑποστάσιος πύου εἵνεκα ἐξ ἴσου ἢ ὅσα συμφέρει. ἐπὶ τοῖσι τοιούτοισι καὶ ἐπὶ τοῖσι μελασμοῖσι αἱμορραγίαι· δυσεντερίαι περὶ κρίσιν λάβροι μέν, ὀλιγήμεροι δέ· οὐκ ἀπόσιτοι οὐδὲ πάνυ πυρετώδεες· οὐδέ τι κενεαγγητέον.

36. Ὕβωσις· ἡ μὲν ἔσω ἐπιθάνατος οὔρων σχέσιος, ἀποναρκώσιος· τὰ δὲ ἔξω, τούτων ἀσινέα τὰ πλεῖστα πολὺ μᾶλλον ἢ ὅσα σεισθέντα μὴ ἐξέστη· αὐτὰ μὲν

1 περιρήξ. M 3 χρὴ M, δεῖ cet. 4 καὶ τοῦ σώμ. τ. ὑ. om. in textu, γρ. κ. τ. σῶμ. τ. ὑ. προάφαιρέειν i. m. M, προσαφαιρέειν κ. τ. σώμ. τ. ὑ. cet. 5 φυλασσόμενον· ὀδύνῃ ἅμα γ. λειπ. θν. Pq. ὀδύνην Foes. in notis, ὀδύνη vulg. 5. 6 λιπ. M 6 ἐκ τ. ἀπελ. M, ἀπελ. ἐκ τ. cet. τοιουτέων codd. 9 αἱ ἰητρεῖαι (cf. π. ἄρθ. ἐμβ. c. 69) legendum esse suspicatur Litt. 11 ἐπιπολαιότερα MDHK, -ον rel. codd. 13 πρηΐα M, πραεῖα aut πραεία rel. codd. θερμῇ codd., θέρμη Litt. 14 τε M, δὲ cet. 16 ξυμφ. codd. τοιουτέοισι codd. μελασμοῖσι M, -ν cet. 17 λαβροῖ M, λαῦροι cet. 18 ἀπόσιτοι, οι in raso loco, M οὐδὲ M, δὲ cet. codd. 19 κενεαγγιητέον codd., corr. Aemil. Portus 20 ὑβρῶσις M εἴσω codd. 21 τουτέων codd. 22 πολὺ M, πουλὺ cet. codd. μὲν DFHIJKU Litt., ἐν M vulg.

ἑωυτοῖσι κρίσιν ποιησάμενα, κεῖνα δὲ ἐπὶ πλέον τῷ σώματι ἐπιδιδόντα καὶ ἐν ἐπικαίροις ἐόντα. οἷον πλευραὶ καταγεῖσαι μὲν ὀλίγαι πυρετώδεες καὶ αἵματος πτύσιος καὶ σφακελισμοῦ, ἤν τε μία, ἤν τε πλείους, μὴ καταγεῖσαι δὲ . . . καὶ ἴησις φαύλη, μὴ κενεαγγοῦντα, ἢν ἀπύρετος ᾖ· ἐπίδεσις, ὡς νόμος· ἡ δὲ πώρωσις ἐν εἴκοσιν ἡμέρῃσι· χαῦνον γάρ. ἢν δ' ἀμφιφλασθῇ,
380 φυματίαι καὶ βηχώδεες καὶ ἔμμοτοι | καὶ πλευρὰς ἐσφακέλισαν· παρὰ γὰρ πλευρὴν ἑκάστην ἀπὸ πάντων τόνοι εἰσίν.

37. Τὰ δ' ἀπὸ καταπτώσιος ἧσσον δύναται ἐξιθύνεσθαι· χαλεπώτερα δὲ τὰ ἄνω φρενῶν ἐξιθύνεσθαι. οἷσι δὲ παισίν, οὐ συναύξεται, ἀλλ' ἢ σκέλη καὶ χεῖρες καὶ κεφαλή· ηὐξημένοισι ὕβωσις, παραχρῆμα μὲν τῆς νούσου ῥύεται, ἀνὰ χρόνον δ' ἐπισημαίνεταί τι ὧνπερ καὶ τοῖσι νεωτέροισιν, ἧσσον δὲ κακοήθως. εἰσὶ δ' οἳ εὐφόρως ἤνεγκαν, οἷσιν ⟨ἂν ἐς⟩ εὔσαρκον καὶ πιμελῶδες τράπηται· ὀλίγοι δὲ τούτων περὶ ἑξήκοντα
382 ἔτεα ἐβίωσαν. ἀτὰρ καὶ ἐς | τὰ πλάγια διαστρέμματα γίνεται· συναίτια δὲ καὶ τὰ σχήματα, ἐν οἷσιν ἂν κατακέωνται· καὶ ἔχει προγνώσιας. πολλοὶ δὲ καὶ αἷμα ἔπτυσαν καὶ ἔμπυοι ἐγένοντο. ἡ δὲ μελέτη, ἴησις, ἐπίδεσις, ὡς νόμος. διαίτης τὰ πρῶτα ἀτρεκέως, ἔπειτα

1 ἑωυτοῖσιν M 4 σφακελισμ$\overset{οῦ}{ῶν}$ M 5 μὴ κατασχισθεῖσαι δὲ Litt. μὴ καταγῇ ἔσω δέ Pq., ego sententiam mutilam esse existimo εἴη codd., ἔῃ Litt. 7 ἡμέραις M 10 Littraeus a vulgari ordine decedens post τόνοι εἰσίν inserit πολλοὶ δὲ . . . οὕτω καὶ δίαιται cf. infra v. 21 11 δύναται MN, -νται cet. codd. 12 ἐξιθύνασθαι M, -εσθαι DK 14 ηὐξημένοισι M, -ν cet. ὕβρωσις M 15. 16 δι' ὧνπερ vulg., διῶν περ M, scripsi τι, cf. π. ἄρθ. ἐμβ. p. 166, 10: ἀνὰ χρ. μέντοι ἐπισημαίνει τι τῶν αὐτῶν, ὥσπερ καὶ τοῖσι νέοισιν 16 τοῖσιν M 17 δ' M, δὲ cet. ἂν ἐς om. codd., restituit Litt. ex libr. π. ἄρθ. ἐμβ. p. 166, 14 18 τουτέων codd. 20 ἐν οἷσι ἂν καὶ καταχ. M

ἁπαλύνειν· ἡσυχίῃ, σιγῇ· σχήματα, κοιλίῃ, ἀφροδίσια. ἀτὰρ οἷς ἄναιμα, ἐπωδυνώτερα τῶν καταγνυμένων καὶ φιλυποστροφώτερα χρόνοισιν. οἷσι δὲ καταλείπεται μυξῶδες, ὑπομιμνήσκει ἐν πόνοισιν. ἴησις· καῦσις, τοῖσι μὲν ἀπ' ὀστέου, μέχρι τοῦ ὀστέου, μὴ αὐτὸ δέ· ἣν δὲ μεταξύ, μὴ πέρην, μηδὲ ἐπιπολῆς· σφακελισμός· καὶ τὰ ἔμμοτα πειρᾶσθαι. εἰρήσεται ἅπαντα τὰ ἐπεσιόντα. ὁρατά, λόγοις δὲ μή, βρώματα, πόματα, θάλπος, ψῦχος, σχῆμα, ὅτι καὶ φάρμακα, τὰ μὲν ξηρά, τὰ δὲ ὑγρά, τὰ δὲ πυρρά, τὰ δὲ μέλανα, τὰ δὲ λευκά, τὰ δὲ στρυφνά, ἐπὶ ἕλκη, οὕτω καὶ δίαιται.

38. Νόμος ἐμβολῆς καὶ διορθώσιος· ὄνος, μοχλός, σφηνίσκος, ἴπος· ὄνος μὲν ἀνάγειν, μοχλὸς δὲ παράγειν. τὰ δὲ ἐμβλητέα ἢ διορθωτέα διαναγκάσαι δεῖ ἐκτείνοντα, ἐν ᾧ ἂν ἕκαστα σχήματι μέλλῃ ὑπεραιωρηθήσεσθαι· τὸ δ' ἐκβὰν ὑπὲρ τούτου, ὅθεν ἐξέβη· τοῦτο δὲ ἢ χερσὶν ἢ κρεμασμῷ ἢ ὄνοισιν ἢ περί τι. χερσὶ μὲν οὖν ὀρθῶς κατὰ μέρεα· καρπὸν δὲ καὶ ἀγκῶνα ἀπόχρη διαναγκάζειν, καρπὸν μὲν ἐς ἰθὺ ἀγκῶνος, ἀγκῶνα δὲ ἐγγώνιον πρὸς βραχίονα ἔχοντα, οἷον παρὰ

2 ἂν αἷμα ἀνωδ. vulg., em. Litt. ἀνωδύνῳ τεράτων M 4 πόνοις M 5 μέχρι τοῦ ὀστ. M, μέχρις ὀστ. cet. αὐτόδε M 6 μὴ δ' ἐπολῆς M 7. 8 ἐπεσ. DHJKU, εἰσιόντα M 8 δὲ μὴ M, δ' οὐ μὴ cet. 10 πυρρά, ρρα in raso loco M
11 ἕλκη Foes. Litt., ἕλκει codd. 12 ἐντωλης διορθ. Ap. ὄνος Litt., om. Ap., νόμος vulg. 13 σφήν Ap. ἵππος, ὄνος Ap. „Forte ἴπος" Dietz in notis, unde Litt. emendat glossam Galeni ἴπος, ἡ πόσις ἐν μοχλικῷ restituens ἴπος, ἴπωσις ἐν μ., ὑπόσονος vulg. ἀπάγειν Litt. ὁ μοχλ. Ap. 14. 15 διεκτείνοντα vulg., δὴ ἐκτείναντα Ap. ἐν ᾧ ἑ. σχήματα μέλλει Ap.
15. 16 ὑπερθεωρ. Ap. 16 δ' om. Ap. ἐμβ. Ap. 17 ἢ ante χερσ. om. Ap. ὄνοις M, -ιν cet. τι χερσὶν χερσὶν Ap.
18 οσως κατα περι τε κ. ἀ. ἀπὸ χειρι ἀναγκ. Ap. καρπόν τε καὶ ἀγκ. M 19 καρποῦ M εὐθὺ ἀγκωνος δε αγκωνος ἐπι ενιοι προς βραχιωνι Ap. 20 post ἐγγ. add. τῶν M,

*τῷ βραχίονι τὸ ὑπὸ τὴν χεῖρα ὑποτεινόμενον. ἐν οἷσι δὲ δακτύλου ποδός, χειρός, καρποῦ, ὑβώματος τὸ ἔξω διαναγκάσαι δεῖ καὶ καταναγκάσαι, τὰ μὲν ἄλλα ὑπὸ χειρῶν αἱ διαναγκάσιες ἱκαναί, καταναγκάσαι δὲ τὰ ὑπερέχοντα ἐς ἕδρην πτέρνῃ ἢ θέναρι ἐπί τινος, ὥστε κατὰ μὲν τὸ ἐξέχον ὑποκεῖσθαι ὄγκον σύμμετρον μαλθακόν, κατὰ δὲ τὸ ἕτερον μήστωρα ἅμα χρὴ ὠθεῖν ὀπίσω καὶ κάτω, ἤν τε ἔσω ἤν τε ἔξω ἐκπεπτώκῃ· τὰ δ' ἐκ πλαγίων τὰ μὲν ἀπωθεῖν, τὰ δὲ ἀντωθεῖν ὀπίσω ἀμφότερα κατὰ τὸ ἕτερον. τὰ δὲ ὑβώματα τὰ μὲν |*
384 *ἔσω οὔτε πταρμῷ οὔτε βηχὶ οὔτε φύσης ἐνέσει οὔτε σικύῃ· δεῖ δέ τι, ἡ κατάστασις· ἡ δὲ ἀπάτη, ὅτι οἴονταί ποτε καταγέντων τῶν σπονδύλων, καὶ τὰ λορδώματα διὰ τὴν ὀδύνην δοκεῖ ἔσω ὠλισθηκέναι· ταῦτα δὲ ταχύφυα καὶ ῥηίδια. τὰ δ' ἔξω, κατάτασις, τὰ μὲν ἄνω ἐπὶ πόδας, τὰ δὲ κάτω τἀναντία· κατανάγκασις δὲ σὺν κατατάσει ἢ ἕδρῃ ἢ ποδὶ ἢ σανίδι. τὰ δ' ἔνθα ἢ ἔνθα, εἴ τις κατάτασις, καὶ ἔτι τὰ σχήματα ἐν τῇ διαίτῃ.*

*Τὰ ἅρμενα πάντα εἶναι πλατέα, προσηνέα, ἰσχυρά·*

*τὸν* cet. codd. p. 267, 20 *ἔχ. περὶ τοῖον τὸ τῳ βραχίονι τὸ ὑπὸ τ. χ. ἀποτεινόμενον* Ap. *περὶ* codd., *παρὰ* vulg. 1 *τὸ* pro *τῷ* M *οἷς* pro *ἐν οἷσι* Ap. 2 *δακτύλους* codd., *-ου* Ap.. Litt. *χειρὸς ποδὸς* Ap. *ὑβλώμ.* M post *ὑβ.* add. *ἐς* Schoene post *ἔξω* add. *ταῦτα* M Ap. 3 *καὶ καταν. δεῖ* Ap. *ἀπὸ* Ap. 4 *αἱ* om. Ap. *διανάγκασις* Ap., *-κάσεις* codd. *ἱκ. καταναγκάσαι* om. Ap. 5 *δραν* pro *ἐς ἕδρην* Ap. *θ. τινι επι τηνος* Ap. 6 *ὑποκέε.* codd. 7 *μήστωρ δ' ἂν* codd., *μήστωρα δ' ἂν* Foes. Pq., *μὴ στορέσαντα* Litt., scripsi *μήστωρα ἅμα* *ὠθέειν* (item infra *ἀπ-*, *ἀντ-*) codd. 10 *καὶ τὸ ἕτ.* codd., *κατὰ τ. ἕ.* Litt. 12 *κατάτασις* HK *εἰ δέ τι, ἡ κατάτ.* Litt.

*ἀπάτῃ* M 12. 13 *οἴονται* (ε supra) M, *οἴονται* Litt., *οἷόν τέ* vulg. Pq., cf. *π. ἄρθ. ἐμβ.* c. 46 13 *τῶν* om. M 14 *δοκέει* codd *ὠλ.* DJN, *ὀλ.* vulg. 15 *ῥάδια* codd., scripsi *ῥηίδια* *δ'* M, *δὲ* cet. *κατάσεισις* pro *κατάτ.* Litt. 18 *εἴ τι, ἡ κατάτ* Litt. 19 *ἅρμ.* M

εἰ δὲ μή, δεῖ ῥάκεσι προκατειλίχθαι· ἐσκευάσθαι πρὶν ἢ ἐν τῇσιν ἀνάγκῃσι πάντα συμμεμετρημένως τὰ μήκεα καὶ ὕψεα καὶ εὔρεα. διάτασις οἷον μηροῦ· τὸ παρὰ σφυρὸν δεδέσθαι καὶ ἄνω τοῦ γούνατος, ταῦτα μὲν ἐς τὸ αὐτὸ τείνοντα· παρὰ δ' ἰξὺν καὶ περὶ μασχάλας, καὶ κατὰ περίνεον καὶ μηρῶν τὸ μεταξύ, τῆς ἀρχῆς τὸ μὲν ἐπὶ τὸ στῆθος, τὸ δ' ἐπὶ νῶτον τείνοντα, ταῦτα δ' ἐς τὰ ἀπεναντία τεινόντων προσδεθέντα ἢ πρὸς ὑπεροειδέα ἢ πρὸς ὄνον. ἐπὶ μὲν οὖν κλίνης ποιέοντι τοῦτο μὲν τῶν ποδῶν πρὸς οὐδὸν χρὴ ἐρεῖσαι, πρὸς δὲ τὸ ἕτερον ξύλον·| ἰσχυρὸν πλάγιον παραβεβλῆσθαι, 386 τὰ δὲ ὕπερθεν ὑπεροειδέα πρὸς ταῦτα ἀντιστηρίζοντα διατείνειν, ἢ πλήμνας κατορύξαντα ἢ κλίμακα διαθέντα ἀμφοτέρωθεν ὠθεῖν. τὸ δὲ κοινόν· σανὶς ἑξάπηχυς, εὖρος δίπηχυς, πάχος σπιθαμῆς, ἔχουσα ὄνους δύο ταπεινοὺς ἔνθεν καὶ ἔνθεν, ἔχουσα δὲ καὶ κατὰ μέσον στυλίσκους συμμέτρους, ἐφ' ὧν ὡς κλιμακτὴρ ἐπέσται ἐς τὴν ὑπόστασιν τῷ ξύλῳ, ὥσπερ τῷ κατ' ὦμον· καταγλύφους δὲ ὥσπερ ληνοὺς λείας ἔχειν, τετραδακτύλους εὖρος καὶ βάθος, καὶ διαλιπεῖν τοσοῦτον, ὅσον αὐτῇ τῇ μοχλεύσει ἐς διόρθωσιν· ἐν μέσῳ δὲ τετρά-

1 εἰ δὲ Litt., ἰδέι ἢ pro εἰ δὲ M, ἰδέῃ vel εἰδέῃ cet. codd., εἰ δέῃ vulg. Pq., εἰ δέοι, ῥάκ. (μή, δεῖ del.) Erm. προσκατειλ. M ἔσκευᾶσθαι M vulg. 5 δεῖξυν M, δ' ἰξύι cet. 6 περίναιον DHKN, περιναΐου M (ε supra) μηροῦ M, μηρὸν cet., scripsi μηρῶν τὸ μετ. scripsi, τὰ μ. codd. καὶ μ. τὸ μετ. glossema ad κατὰ περ. pertinens esse suspicatur Erm. 8 ἐς τὰ ἀπεναντία scripsi, ἐς τὸ ὑπὸ ἅπαντα codd., ἐς τὸ αὐτὸ ἅπαντα Litt. τείνοντα Litt. 13 κατορύξας codd., -αντα Litt. 14 ὠθέειν codd. περὶ τῆς τοῦ βάθρου κατασκευῆς i. m. MHIJKU 17 ξυμμ. codd. ἐφ' M, ἐξ cet. κλιμακτῆρεπεσται M, κλιμακτῆρες πεσταὶ cet. codd., κλιμακτὴρ ἥρμοσται Litt. 18 κατ' ὦμον Litt., κατ' ὤμῳ codd. 19 καταγλυφὰς vel καπέτους verum esse suspicatur Litt.

*γωνον καταγλυφὴν ὥστε στυλίσκον ἐνεῖναι, ὃς παρὰ περίνεον ἐὼν περιρρέπειν τε κωλύσει ἐών τε ὑποχαλαρὸς ὑπομοχλεύσει. χρὴ δὲ τῆς σανίδος ἢ ἐν τῷ τοίχῳ τὸ ἄκρον καταγεγλυμμένον τι ἐχούσης τοῦ ξύλου ὦσαι τὸ ἄκρον, ἐπὶ δὲ θάτερα καταναγκάζειν ὑποτιθέντα μαλθακὰ σύμμετρα.*

39. *Οἷσιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθεν, μέση ἵζει ἡ ῥὶς τούτοις. οἱ δὲ φλώμενοι κεφαλὰς ἄνευ ἕλκεος ἢ πεσόντος ἢ κατάξαντος ἢ πιέσαντος, τούτων ἐνίοισι τὰ δριμέα ἔρχεται ἀπὸ κεφαλῆς κατὰ τὰς φάρυγγας καὶ ἀπὸ τρώματος ἐν τῇ κεφαλῇ ἐς τὸ ἧπαρ καὶ ἐς τὸν μηρόν.*

40. *Σημεῖα παραλλαγμάτων καὶ ἐκπτωμάτων, καὶ*
388 *ᾗ καὶ ὅπως | καὶ ὅσον διαφέρει ταῦτα πρὸς ἄλληλα, καὶ οἷσι κοτύλη παρέαγε καὶ οἷσι νευρίον ἀπεσπάσθη καὶ οἷσιν ἐπίφυσις ἀπέαγε καὶ οἷσι καὶ ὡς καὶ ἓν ἢ δύο, ὧν δύο ἐστίν· ἐπὶ τούτοισι κίνδυνοι, ἐλπίδες· οἷσι κακαί, καὶ ὅτε κακώσιες θανάτου, ὑγιείης, ἀσφαλείης. καὶ ἃ ἐμβλητέα ἢ χειριστέα, καὶ ὅτε καὶ ἃ οὒ ἢ ὅτε οὔ· ἐπὶ τούτοισιν ἐλπίδες, κίνδυνοι· οἷα καὶ ὅτε χειριστέα, καὶ τὰ ἐκ γενεῆς ἔξαρθρα, τὰ αὐξανόμενα, τὰ ηὐξημένα καὶ ὅ τι θᾶσσον καὶ ὅ τι βραδύτερον καὶ ὅ τι χωλὸν καὶ ὡς καὶ οὔ· καὶ διότι καὶ ὅτι μινυθήσει καὶ ᾗ καὶ ὡς καὶ οἷσιν ἧσσον, καὶ ὅτι τὰ*

1 *ἐνεῖναι*, *ει* in raso loco M 2 *περὶ νεὸν* M, *περίναιον* DHN *καταρρέπειν* legi vult Litt. *κωλύσει ἐῶ τε* M, *κωλύσειεν ὅ τε* vulg., *ἐών τε* Litt. 3 *ἢ* et prius *τὸ ἄκρον* del. Litt. 6 post *μαλθ.* add. *τινα* codd. omnes praeter M 7 *ἀπῆλθεν* M, *-θε* cet. 8 *τουτέοις* M, *-τέοισιν* cet. *θλώμ.* M 9 *πεσόντες κτλ.*, nominativos solutos, vult Wb. *τουτέων* codd. 11 *ἐν τῇ κεφ.* deleri vult Wb. post *κεφαλῇ* add. *καὶ* vulg., om. M 13 *ὅκ.* DK, *ὅπ.* vulg. 14 *οἷσι κοτ.* M, *οἷσιν ἡ κ.* cet. 15 *ἀπέαγεν* M *ἐν* pro *ἓν* vulg. 16 *τουτέοισι* codd. 17 *ὑγίης* M 19 *τουτέοισιν* codd. *καὶ* post *οἷα* om. M 20. 21 *τὰ αὐξανομένων, τὰ ηὐξημένων* Wb.

καταγέντα θᾶσσον καὶ βραδύτερον φυόμενα, ᾗ αἱ διαστροφαὶ καὶ ἐπιπωρώσιες γίνονται, καὶ ἄκη τούτων. οἷσιν ἕλκεα αὐτίκα ἢ ὕστερον γίνονται. οἷσι καὶ ὀστέα καταγεῖσι μείω, οἷσιν οὔ· οἷσι καταγέντα ἐξέσχεν καὶ ᾗ ἐξίσχει μᾶλλον· οἷσιν ἐκβάντα ἢ ἄρθρα ἐξίσχια·
ἃ ἀπα|τῶνται καὶ δι' ἅ, ἐν οἷσιν ὁρῶσιν, ἐν οἷσι δια- 390
νοεῦνται, ἀμφὶ τὰ παθήματα, ἀμφὶ τὰ θεραπεύματα.

41. *Νόμοισι τοῖσι νομίμοισι, περὶ ἐπιδέσιος·* παρασκευή, πάρεξις, κατάτασις, διόρθωσις, ἀνάτριψις, ἐπίδεσις, ἀνάληψις, θέσις, σχῆμα, χρόνοι, δίαιται. τὰ χαυνότατα τάχιστα φύεται, τὰ δ' ἐναντία ἐναντίως. διαστροφαί, ᾗ κυρτοί· ἄσαρκοι, ἄνευροι. τὸ ἐμπεσὸν ὡς προσωτάτω [ἢ τὸ ἐκπεσὸν] ἔσται τοῦ χωρίου, ᾗ ἐξέπεσε. νεύρων τὰ μὲν ἐν κινήσει καὶ ἐν πλάδῳ ἐπιδοτικά· τὰ δὲ μή, ἧσσον. ἄριστον, ᾗ ἂν ἐκπέσῃ, εἰ ἐμπέσοι τάχιστα. πυρεταίνοντι μὴ ἐμβάλλειν, μηδὲ τεταρταῖα, πεμπταῖα, ἥκιστα ἀγκῶνα· καὶ τὰ ναρκώδεα πάντα, ὡς τάχιστα ἄριστα, ⟨ἢ⟩ τὴν φλεγμονὴν παρέντα. τὰ ἀποσπώμενα, νεῦρα ἢ χόνδρια ἢ ἐπιφύσιες, ἢ διϊστάμενα κατὰ συμφύσιας, ἀδύνατα ὁμοιωθῆναι· διαπωροῦται ταχέως τοῖσι πλείστοισιν· ἡ δὲ χρῆσις σῴζεται. ἐκβάντων τὰ ἔσχατα ῥήιον· τὰ ῥήιστα ἐκπεσόντα ἥκιστα φλεγμαίνει· τὰ δὲ ἥκιστα φλεγμαίνοντα

1 ἢ vulg., ᾗ Litt. 2 τουτέων codd. 4 μέζω, i. m. μείω M 5 οἷσι δ' υπη ἐκβ. M ἢ del. Litt. ἐξίσχια παγῶνται. καὶ δι' ἃ vulg., ἐξίσχει. ἀπατῶνται, κ. δι' ἃ Litt., scripsi ἃ ἀπ. 12 ἄνευροι, ᾗ τὸ ἐκπεσόν. Τὸ ἐμπ. ὡς πρ. ἔ. τ. χ. οὗ ἐξέπ. Litt., ἢ τὸ ἐκπ., glossema ad τὸ ἐμπ., delevi 13 ᾗ M, οὗ cet. 16 εἰ Foes. in not., Litt., ἢ vulg. 17 ἀγκ. κ. τ. ν. π. ὡς τ. ἄ., τ. φ. π. Litt. 18 ἢ add. sententiamque restituit Pq. 19 ante νεῦρα add. ἢ codd. praeter M 20 διστάμενα M συμφύσεις M vulg., φύσεις (D sup. lin. al. m. συμφύσεις) FHIJKU, -ιας Erm. 22 ῥήιον et ῥήιστα scripsi, ῥᾷον et ῥᾷστα codd. 23 φλεγμ. M, θερμαίνοντα rel.

*καὶ μὴ ἐπιθεραπευθέντα μάλιστα αὖτις ἐκπίπτει. κατατείνειν ἐν σχήματι τοιούτῳ, ἐν ᾧ μάλιστα ὑπεραιωρηθήσεται, σκεπτόμενον ἐς τὴν φύσιν καὶ τὸν τόπον, ᾗ ἐξέβη. διόρθωσις· ὀπίσω ἐς ὀρθὸν καὶ ἐς πλάγιον*
392 *παρωθεῖν· τὰ δὲ ταχέως | ἀντισπάσαντα ἀντισπάσαι ταχέως, ᾗ δεῖ ἐκ περιαγωγῆς. τὰ πλειστάκις ἐκπίπτοντα ῥήιον ἐμπίπτει· αἴτιον λύσις ἢ νεύρων ἢ ὀστέων, νεύρων μὲν μῆκος ἢ ἐπίδοσις, ὀστέων δὲ κοτύλης ὁμαλότης, κεφαλῆς φαλακρότης. τὸ ἔθος τρίβον ποιεῖ· αἰτίη καὶ σχέσις καὶ ἕξις καὶ ἡλικίη. τὸ ὑπόμυξον ἀφλέγμαντον.*

42. *Οἷσιν ἕλκεα ἐγένετο ἢ αὐτίκα [ἢ] ὀστέων ἐξισχόντων ἢ ἔπειτα ἢ κνησμῶν ἢ τρηχυσμῶν, ταῦτα μὲν ἢν αἴσθῃ, εὐθέως λύσας πισσηρὴν ἐπὶ τὸ ἕλκος ἐπιθείς, ἐπιδεῖν ὡς ἐπὶ τὸ ἕλκος πρῶτον τὴν ἀρχὴν βαλλόμενος, καὶ τἄλλα ὡς οὐ ταύτῃ τοῦ σίνεος ἐόντος· οὕτω γὰρ αὐτό τε ἰσχνότατον καὶ ἐκπυήσει καὶ ⟨τὰ σαρκία⟩ τάχιστα καὶ περιρρήξεται καὶ καθαρθέντα τάχιστα φύσεται· νάρθηκας δὲ μήτε κατ᾽ αὐτὸ τοῦτο προσάγειν μήτε πιέζειν· καὶ ὧν ὀστέα μὴ μεγάλα ἄπεισιν, ὡσαύτως·*

1 *αὖτις* M, *αὖθις* rel. 2 *τοιουτέον* codd., *-τέῳ* Aemil. Portus, editores, scripsi *τοιούτῳ* 3 *σκεπτ.* M Aemil. Portus, editores, *σκεπόμ.* cet. codd. 4 *πλάγιον. παρωθέντα* vulg. 5 *παρωσθέντα* M, *παρωθεῦντα* Portus, *παρωθεῖν· τὰ* Litt. 5. 6 *ταχέως ταχέως διαντισπάσαντα ἀντισπᾶσαι ἡ δεῖ ἐκ π.* M *ἡ δεῖ* M, *ἡ δὴ* cet. codd., *ἤδη* Foes., edd. 7 *ῥήιον* scripsi, *ῥᾶον* codd. *αἴτ.* (*α* in ras.) M *νύσις* vulg., ▒*ύσις* M, *νύξις* D, *λύσις* Foes., *φύσις* Litt., *νεῦσις* Pq., *ἕξις* Wb. 8 *μήκιος ἢ ἐπιδόσιος* vulg., Foes. legendum censet *μῆκος* et *ἐπίδοσις* 9 *ποιέει* codd. 11 *ἀφλέγματον* M 12 *ἢ* alterum ipse uncis inclusi 15 *ἐπιτιθεὶς* M 17 *τε* M Parr. decem Litt., *τὸ* vulg. *ἐκπυήσει* Litt. (cf. *περὶ ἀγμ.* c. 26), *ἐκπέσει καὶ* M, *ἐκπέσῃ* vulg. *τὰ σαρκία* suppl. Wb. cf. s. p. 85 19 *προσάγειν* om. M, exhibent cet. 20 *ὡσαύτως* M, om. cet.

*ὧν δὲ μεγάλα, δῆλον· πολλὴ γὰρ ἐμπύησις, καὶ ταῦτ' οὐκέτι οὕτως, ἀλλ' ἀνέψυκται τῶν ὑποστασίων εἵνεκα. τὰ δὲ τοιαῦτα ὁπόσα ἐξέσχε, καὶ εἴτ' ἐνεβλήθη εἴτε μή, ἐπίδεσις μὲν οὐκ ἐπιτήδειον, διάτασις δέ, σφαῖραι ποιηθεῖσαι, οἷαι πέδαι, ἡ μὲν παρὰ σφυρόν, ἡ δὲ παρὰ γόνυ, ἐς κνήμην πλατεῖαι, προσηνέες, ἰσχυραί, κρίκους ἔχουσαι· ῥάβδοι δὲ σύμμετροι καὶ μῆκος καὶ πάχος κρανίης, ὥστε διατείνειν· ἱμάντια δὲ ἐξ ἄκρων ἀμφοτέρωθεν ἔχοντα ἐς τοὺς κρίκους ἐνδεδέσθαι, ὡς τὰ | ἄκρα ἐς τὰς σφαίρας ἐνστηριζόμενα διαναγκάζῃ.* 394
*ἴησις δὲ πισσηρῇ θερμῇ· σχήματα, καὶ ποδὸς θέσις καὶ ἰσχίου· δίαιτα ἀτρεκής. ἐμβάλλειν τὰ ὀστέα τὰ ὑπερίσχοντα αὐθήμερα ἢ δευτεραῖα· τεταρταῖα ἢ πεμπταῖα μή, ἀλλ' ἐπὴν ἰσχνὰ ᾖ. ἡ δ' ἐμβολὴ τοῖσι μοχλικοῖσιν, ἢ τὸ ἐμβαλλόμενον τοῦ ὀστέου, ἢν μὴ ἔχῃ ἀποστήριξιν, ἀποπρῖσαι τῶν κωλυόντων· ἀτὰρ καὶ ὣς τὰ ψιλωθέντα ἀποπεσεῖται καὶ βραχύτερα τὰ μέλεα.*

43. *Τὰ ἄρθρα τὰ μὲν πλέον, τὰ δὲ μεῖον ὀλισθάνει· τὰ μεῖον ἐμβάλλειν ῥήιον, τὰ δὲ ἐαθέντα μέζους*

1 *δῆλον* M, *οὕτω ποιέειν* pro *δῆλον* cet. 3 *ἐνεβλήθη* Wb., *ἐμβληθῇ* cet. 5 *οἷα* M, *οἷαι* HJIKU *πεδὲς* (ss. *αι*) M, ss. ead. m., *πέδαις* DFHIJN, *πέδαι* vulg. 7 *δὲ* M, *τε* cet. 8 *κραν.* inter *σύμμ.* et *καὶ μῆκος* collocant omnes praeter M 9 *εἰς* codd., *ἐς* Pq. *ἐνδεῖσθαι* M 11 *πισσηρὴ θερμὴ* vulg., *πισσηρὴν θέρμην* M, scripsi *-ρῇ*, *-μῇ* *ποδὸς* M, *δ* in raso loco 13 post *τετ.* add. *δὲ* omnes praeter M 14 *ἰσχνὰ* M (D al. m. in m.), *ἰσχρὰ* aut *ἰσχυρὰ* cet. codd. 16 *ἀποπρίσαι* codd., *-πρῖσαι* Litt. 17 scripsi *καὶ ὣς* (cf. *περὶ ἀγμ.* p. 98, 19 sq.), *καὶ ὡς* codd. et edd. *ἀποπέσει τε* M, *ἀποπέσητε* vulg., corr. Litt. 19 ante *ἄρθρα* add. *δὲ* omnes praeter M
20 *τὰ μ. ἐμβάλλειν ῥᾷον* M, *καὶ τὰ μὲν μ. ἐμβαλεῖν ῥάδιον* cet. *τὰ δὲ* ⟨*πλέον*⟩ Litt. *ἐαθέντα* om. omnes praeter M *μείζ.* MD, *μέζ.* cet.

*ποιεῖ τὰς κακώσιας καὶ ὀστέων καὶ ἄρθρων καὶ νεύρων καὶ σαρκῶν καὶ σχημάτων. μηρὸς καὶ βραχίων ὁμοιότατα ἐκπίπτουσιν.*

1 ποιεῖ om. M  καὶ ἄ. καὶ ν. M, καὶ ν. καὶ ἄ. cet.
2 post σχημ. add. ποιέεται M  μηρὸς ὁμ. κ. βρ. ἐμ͂π. M, μ. δὲ κ. βρ. ὁμ. ἐκπ. vulg.

# INDEX VOCABVLORVM MEMORABILIVM

Asterisco notantur aut quae in lexicis vel apud grammaticos non reperiuntur aut ex fide librorum restituta. Numeris paginae et versus significantur


Ἄγχιστα 215, 8
ἀδελφίζεσθαι 94; 172, 11
ἀδέλφιξις 202
Αἰγύπτιον σκύτος 91
ἄκανθα, ἡ 137, 7; 175, 11; 181, 7
ἄκος 91
ἄκρεα, τὰ 74; 146
ἀκρητόχολος 106; 142, 17
ἄλθεξις 62; 154
ἅλις 32
ἄλορδος 61
Ἀμαζόνες 193, 14
ἄμβη, ἡ 118, 8; 240
*ἀμβλακεύειν 75
ἀμφίσφαλσις 226, 19
ἀνακλᾶν 114, 5
ἀνακωχεῖν 125, 4; 159, 13; 248, 2
ἀνάτριψις 41; 125
ἀνδραγαθικός 236, 18
ἀντικνήμιον 75
*ἀντικοντέω 256, 8
ἀντικόντωσις 190, 18; 204, 15
ἀποκαυλίζω 107, 19
*ἀπομυλλαίνω 152, 2
ἀπόπατος 182, 12
ἀποπερονάω 249, 21
ἀπότοκος 184, 12
ἀρβύλαι 214, 10
ἀρθριτικός 142, 15
ἀρίς, ἡ 132, 21
ἀρτηρία 171, 19; 223, 7
ἀστραβής 149, 6; 249
ἀσώδης 142, 17
ἀτονέω 122, 3
ἄχνη ὀθονίου 157, 10; 247, 20

Βαθμίς (τοῦ πήχεως) 48; 101; 104
βαλβιδώδης 247, 14
βήχιον 215, 17
βλαισός 194, 11; 213, 5; 242, 11
βλιχώδης 25, 20
βόες λεπτότατοι 121
βουβών 203, 10; 257, 17; 258, 7

Γαγγλιώδης 163, 5
γαγγραινοῦσθαι 215, 5
γαγγραίνωσις 65
γαλιάγκων 131, 23; 200, 10
γαστροκνημίη 213, 14
γαυσός 261, 1
γειτονεύομαι 76
γιγγλυμοειδές 48
γιγγλυμοῦσθαι 172, 4
γληνοειδής 239, 10
γυῖον 121, 9
γυιόω 192, 2

Διακιγκλίζω 239, 17
διανταῖος 171, 17
διασχίς, ἡ 107
διάφυσις 66, 18
διισχυριείω 111
δίκλεις 120, 13
διπλόη, ἡ 24
δοκίς, ἡ 68

Ἐγκέλλω 92, 5
*ἐγκριμνάμενος 234, 15
εἰλίπους 123, 6
ἐκθήλυνσις 192
ἐκθηλύνω 192; 200
ἐκλακτίζω 260, 14

ἐκπαλεῖν 199, 8
*ἐκπαλή 201, 12
ἐκπαλής 196, 20
ἐκπάλησις 105
ἐκπλίσσω 82, 18; 97; 131, 9
ἐκχαυνοῦν 167, 11
ἐκχυμοῦσθαι 63
ἐκχύμωμα 43; 188, 5
ἐλκύδριον 216, 20
ἔμμοτος 184, 19; 266, 8
ἔναιμον 81
ἐνθράσσω 176, 7
ἔξαλσις 174
ἐξάρτησις 102
ἐξαστία, ἡ 37
ἐξεχέγλουτος 201; 257, 9
ἐξιποῦσθαι 187, 16
ἐπιγουνίδες 225, 7; 235, 11
ἐπιμυλίς 245, 13
ἐπιπώρωσις 185, 10
ἐπισφακέλισις 184, 20
ἐπίφυσις 66
ἐπουλοῦν 131, 16
ἐπωμίς 112; 126; 128
ἑρματίζω 80
ἐρρητινωμένος 213
ἐρυσιπελατῶδες (οἴδημα) 26, 21
ἐσμασάμενος 175, 1
*ἐσματεῖσθαι 150, 11
ἐσματεύομαι 159, 8; 248, 2
ἐσχάρη 128
εὔγηρος 206, 17

Ἡμισπιθαμιαῖος 89
ἡμιτύβιον 157, 10

Θεσσαλικὸν ἕδος 120, 6

Ἰγνύη 78
ἰθύλορθος 173, 7
ἰθυσκόλιος 173, 2
ἰθυωρίη 204
ἰξαλή 90
ἰξύς, ἡ 78; 178, 12
ἶπος 267, 13
ἰπόω 180, 18
ἴπωσις 181, 4
ἰσχνασμός 69

Καθίννυσθαι 51; 59
κάπετος, ἡ 229, 16; 232, 13
καπυρός 26, 16
Καρχηδόνιον δέρμα 151, 4
καρχήσιον 170, 3
*καταμβλακεύω 192, 16
καταναισιμόω 130
κατάτασις 68, 18; 182, 22
κατάσεισις 174, 18; 182, 21
κατοικίδιοι κατατάσιες 237, 3
κατωμίζω 115, 19
κενεαγγεῖν 185; 224; 265, 19
κερχώδης 164, 17; 186, 9
κηροπλαστεῖν 213, 15; 263, 5
κηρωτή 63; 133; 213
κιβδηλίη 237, 1
κίγκλισις 226, 18
κιγκλισμός 138, 8
κιρσός 164
κλιμακτήρ 230
κνησμός 86
κόνδυλος 113, 10
κονδυλώδης 247, 14
κορίσκω 155, 7
κορώνη 142. 5: 247, 15
κορωνός 107, 14
κοτύλη 119, 17; 120, 17; 247
κραίνω 172, 2
Κρητικὰ ὑποδήματα 214, 13
κρίκος 273, 6
κροταφίτης 146, 12
κροταφῖτις 147, 1
κρόταφος 18
κυλλός 194, 10
κυλλόω 194, 6
κύλλωσις 263, 4
κυφός 257, 10

Λαπαρός 36, 5; 257, 13
λατύπος, ὁ 95, 7
λειποθυμεῖν 220, 21; 222
λειποθυμίη 221, 10; 222
ληνός 269, 19

*λιθοβόλησις 48
λιμαγχέω 124
λιμαγχονέω 241, 17
λιχανός 33; 158, 9
λοπὸς Καρχηδόνιος 160, 8; 247, 21
λυγγώδεες πυρετοί 99, 17
λυγίζω 248, 20

Μάζα 19
μάννα 156, 13
μασητήρ 146, 12
μάσσειν 19
μετεξέτεροι 64; 97
μήλωσις 94
μήστωρ 268, 7
μολυβδίου ἴχνος 213, 5
μοτός, ὁ 19
μοτοῦν 17, 12
μότωσις 163, 14
μόχλευσις 68, 22
μοχλίσκος 264, 2
μυξώδης 267, 4

Νάρθηξ 55; 56
ναρκώδης 142, 18; 247, 16
νεφριτικά 165, 16
νωτιαῖος μυελός 177, 2

Ξενοπρεπές 46
ξῦσις 19, 19

Ὀδόντας ζεῦξαι χρυσίῳ 150
ὀδυναίτερος 75, 10
οἰνηρὴ ἰητρείη 99
ὄκλασις 260, 11
ὀκριοειδής 156, 3
ὀκρίς, ἡ 135, 4
Ὁμήρειον, τὸ 249, 24
Ὅμηρος 122, 2
ὀνίσκος 68; 180
ὄνος 95, 18
ὀξυγλυκές 66
ὀργᾶν 88, 14
οὐλομελείη (ἀδένων) 129, 12
ὀφθαλμός (εἶδος ἐπιδέσιος) 34
ὀχετός 185, 14

Παλαίστρη 116, 13; 179, 10
παλιγκοτέω, -ταίνω 65
παλιγκοτίη 220, 3
παλίγκοτος 145; 261, 21
παραίρημα 39; 40
παραπνήματα 250
παρασχίδες ὀστέων 80, 18
πάροξυς 96
*πάχιστον (τὸ ὀστέον) 28, 23; 41, 9
πελεκᾶν 132, 21
πέλμα 263, 6
πέπειρα (σάρξ) 14, 2
περίνεος, ὁ 68; 189, 19; 255, 12
περίρρηξις 265, 1
περιστροφάδην 256, 3
περίσφαλσις 144, 10; 253, 23
περιφοράδην 190, 2
περκνός 25, 22
πηλοπάτιδες 214, 11
πισσηρή 81
πλάδος, ὁ 88, 15
πλήμνη 67
πλιχάς, ἡ 78; 197, 10
πλοώδης 138, 10
*ποδεών 235, 13
πολυόφθαλμος 219, 15
ποτί 122, 17; 203, 1; 223, 20
πρίσις 27
προσκεφάλαιον 73
πτερνοβάται 208, 18
πυγαῖον, τὸ 202; 233, 13
πυκινοκίνητος 138, 11
πώρωσις 80, 12

Ῥαιβοιδής 172, 15
ῥαιβός 201
ῥερυπωμένος 263, 12
ῥηίζω 77
*ῥηιστῶναι 56
ῥητίνη 216, 9
ῥητινώδης 263, 5
ῥιπτέω 167, 13
ῥοικός 257, 10
ῥοιώδης 243
ῥόμβος 34
ῥυθμός 214, 2

ῥυπαρὰ εἴρια 78
ῥύφημα 66
ῥυώδης 182, 15

Σαλεύω 200, 20
σανίς 233, 12
σαπρίζομαι 97, 16
σαρκία ἐν τῷ τρώματι 85
σαύρη 241, 2
σειρή 59
σεσηρός 97, 9
σεύτλων φύλλα 215, 17
σηραγγώδεα (ὀστέα) 24
σικύη 183, 8
σιμός 34; 156, 16
σινάμωρος 183, 20; 184, 12
σκεθρός 186, 6
σκεπαρνηδόν 89
σκέπαρνος 34; 155
σκίπων 193; 204; 255, 20
σκύτινον ὑποκεφάλαιον 59; 148, 21.
σολοικός 72
σπιθαμή 269, 15
σπιθαμιαῖος 228, 18
σπλὴν πολύπτυχος 61
σπυρίς 238, 15
σταίς 159; 255
στειλαιοὶ τῶν σκαφίων 59
στενυγροχωρίη 137, 15
στῆθος τοῦ ποδός 198, 4
στολιδώδης 208
στόμα τοῦ βέλεος 9, 8
στρέμμα 43, 12
στρωτήρ 119
στύλοι τετράγωνοι 69
σύμμηρος 236, 6
συμπορσύνω 140, 17
συμφυάς, ἡ 107
συρμαϊσμός 162, 11
σφακελίζω 64
σφηνίσκος 267, 13
σφήνωσις 95, 19
σφόνδυλος 164; 172; 173; 175; 182
σφυγμός 83, 6
σωλήν 73

Τάριχος 25, 20
ταρσός, ὁ 61, 17
ταχύγηρος 206, 19
ταχυθάνατος 262, 2
τέτανος 96
τρίβος 35; 119, 18
τρύπανον 25
τρυχίον 179, 16; 237, 7
τρωματίης, ὁ 26
τυρβή 79

Ὕβωμα 184, 8; 233, 13
ὕβωσις 265, 20
ὑπεραιώρησις 144, 9
ὑπεροειδής 178
ὕπερον, τὸ 117
ὑποβρύχιος 132, 5
ὑποδεσμίς 39; 224, 8
ὑποδημάτιον μολύβδινον 214
ὑποκεφάλαιον σκύτινον 168, 15; 179, 17
ὑπόκοιλος 18
ὑπόξηρος (-ξυρος) 53; 259, 17; 236, 7

Φαλακρός 128, 14
φιλύρινος 179, 14
φλιή 180, 8; 228, 20; 230
φλυκταῖναι 26
φλυκταίνωσις 79
φυματίης 165, 10; 185, 17; 266, 8

Χαμαίζηλος 102; 133
χαρακτὸς (πρίων) 28
χαῦνος 247, 2; 266, 7
χείριξις 58
Χῖαι 214, 2
χονδρίον 172, 10
χονδρώδης 107
χώλωμα 213, 21

Ψόαι 173, 9, 246, 5

Ὠμοπλάτη 112; 133

# CONTINENTVR HOC VOLVMINE:

| | pag. |
|---|---|
| Praefatio | V |
| Index notarum | XV |
| Corrigenda | XVI |
| *Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων* | 1 |
| *Κατ' ἰητρεῖον* | 30 |
| *Περὶ ἀγμῶν* | 46 |
| *Περὶ ἄρθρων ἐμβολῆς* | 111 |
| *Μοχλικόν* | 245 |
| Index vocabulorum memorabilium | 275 |

Bell [illegible]

UNIVERSITY OF N.C. AT CHAPEL HILL
00037279836